A Quæ pupillis tenebras offundunt exterget: itémque vuluę perfrictionibus medetur, cum cerato rosaceo appositus. Menses quoque, secundas & fœtus extrahit: rigores illitu soluit, sordidáque vlcera expurgat. Quin & potus concoctionem iuuat, vrinásque ciet: ægrè spirantibus conuenit, necnon & iis qui aconi- B tum hauserunt, si cum lacte exhibeatur, itémque à vipera demorsis. Miscetur & acopis, malagmatis & antidotis. Ac in vniuersum efficacissimá vim habet balsami liquor, proximam huic fructus, minimam verò lignum. Fructus potui datus conuenit pleuriticis, peripneumonicis, tussientibus, ischiadicis, comi- C tialibus, vertiginosis, orthopnoicis, torminosis, difficulter meientibus, & à vipera venenatísque alijs animalibus demorsis. Porrò & ad muliebres suffitus accommodatur: itémque decoctus insessu vuluam aperit, humiditatémque exhaurit. Lignum easdem cum fructu vires habet, attamen minores: ex aqua D decoctum & potum cruditatibus, torminibus, virulentorum morsibus, conuulsísque opitulatur. Vrinas quoque cit, & capitis vulneribus cum iride sicca conuenit: squamas etiam ossium extrahit. Denique ad vnguentorum etiam spissamenta additur.

E *De Aspalatho. Cap. XIX.*

ASPALATHVS, alijs erysisceptrum, frutex est lignosus, spinis crebris aculeatus. Nascitur in Istro, Nisyro, Syria & Rhodo: eóque vnguentarij ad spissanda vnguenta vtuntur. Probatur ponderosus, detracto cortice ru- F bens aut in purpuram vergens, densus, odoratus, & gustu amarescens. Est & alterum genus, candidum, lignosum, inodorum, quod etiam deterius habetur.

Vim calfactricem cum astrictione obtinet. Quo fit vt ad tetra oris vlcera in vino decoctus collutúsque conueniat, atque etiam ad G genitalium nomas, immundámque illuuiem, necnon ad ozænas commodè infundatur. Pesso additus, fœtus detrahit. Eius verò decoctum aluum sistit. Quin

& potu sanguinis reiectionem cohibet, vrinæq; difficultatem ac inflationes discutit.

De Musco. Cap. XX.

MVSCVS Græcis bryon, à nonnullis etiã splanchnon appellatur. In arboribus, cedro, populo alba aut quercu reperitur. Præstat verò cedrinus: proximus huic populneus: quo in genere probatur qui odoratior est & candidus: nigricãs autem deterior censetur. Muscus astringendi vim habet in caliditate ac frigiditate medius, facítque decoctus insessu ad vuluę affectus. Miscetur & vnguentis balaninis ac oleis seu illitibus, propter eam qua præditus est inspissandi vim. Est & ad suffituum & acoporum medicamentorum præparationes vtile & accommodatum.

De Agallocho. Cap. XXI.

AGALLOCHVM lignum est, quod ex India & Arabia deportatur, Thyiæ ligno simile, punctis maculísve distinctũ, odoratum, gustu quodammodo astringens cum quadam amaritudine, cortice vestitum cutis instar molli & aliquantulum versicolore. Facit autem commanducatũ, itémque decocto collutum, ad commẽdandum oris halitũ: ac toti quoque corpori siccũ tritúmque odoris gratia inspergitur. Ad suffimẽta denique thuris instar adhibetur. Radix verò drachmæ vnius pondere pota, stomachi superfluos humores, imbecillitatẽ ardorémque mitigat. Ijs quoque quos lateris & iecinoris dolor excruciat, ac dysentericis aut torminosis ex aqua bibita opitulatur.

De Nascaphtho. Cap. XXII.

NASCAPHTHVM, alijs narcaphthũ, etiam ex India defertur. Est verò corticosum, mori libro simile, quod iucundi odoris gratia suffitur. Factitijs suffimentis inseritur: vuluam quoque astrictam suffitum iuuat.

De Cancamo. Cap. XXIII.

CANCAMVM est arboris Arabicæ lachryma, myrrham quadantenus referens, virosi gustus: qua quidem tanquam suffimento vtuntur. Ea quoque vestes additis

A αἵματος ἀναγωγὴν ποθὲν, δυσουρίαν τε καὶ ἐμπνευμάτωσιν λύει.

Περὶ Βρύου. Κεφ. κ'.

ΒΡΥΟΝ, ὑπὸ τινῶν δὲ σπλάγχνον καλεῖται, εὑρισκόμενον ἐπὶ δένδρων κεδρίνων, ἢ λευκίνων, ἢ δρυΐνων. Διαφέρει δὲ τὸ κέδρινον· δεύτερον δὲ τὸ λεύκινον. ἔστι δὲ αὐτοῦ τὸ εὐωδέστερον καὶ λευκὸν, καλὸν, τὸ δὲ μελανίζον, χεῖρον. Δύναμιν δὲ ἔχει στυπτικὴν, μέσην θερμοῦ καὶ ψυχροῦ, ποιοῦν πρὸς τὰ περὶ μήτραν ἐν ἀφεψήμασιν εἰς ἐγκάθισμα. μίγνυται δὲ καὶ μύροις βαλανίνοις καὶ χρίσμασι διὰ τὸ ἐν αὐτῷ στυπτικὸν, καὶ εἰς θυμιαμάτων δὲ καὶ ἀκόπων σκευασίαν ἐστὶν εὔθετον.

Par. hæc nõ habet.
V. ἀφεψήματι.
V. add. καὶ
Pal. σκευασίας

Περὶ Ἀγαλλόχου. Κεφ. κα'.

ΑΓΑΛΛΟΧΟΝ ξύλον ἐστὶ φερόμενον ἐκ τῆς Ἰνδίας, καὶ Ἀραβίας, ἐοικὸς θυΐνῳ ξύλῳ, ἐστιγμένον, εὐῶδες, D παραστῦφον ἐν τῇ γεύσει μετὰ ποσῆς πικρίας, φλοιὸν ἔχον δερματώδη, καὶ ὑποποίκιλον. ποιεῖ δὲ διαμασώμενον καὶ διακλυζόμενον τὸ ἀφέψημα πρὸς εὐωδίαν στόματος. καὶ διάπασμα δὲ ὅλου τοῦ σώματός ἐστι. θυμιᾶται δὲ ἀντὶ λιβανωτοῦ. ἡ δὲ ῥίζα αὐτοῦ < α ὁλκὴ πινομένη, στομάχου E πλάδον καὶ ἀτονίαν καὶ καύσωνα παρηγορεῖ. τοῖς τε ἀλγοῦσι πλευρὰν καὶ ἧπαρ ἢ δυσεντερικοῖς ἢ στροφουμένοις βοηθεῖ πινομένη μεθ' ὕδατος.

Vetus addit ad marginem τὸ τινὲς ξυλαλόη.
Ita legunt Orib. AEgin. Ruellius, Goupylus, Hermolaus & Marcell. at impressi codices habẽt θυΐνως
V. ὅλον.
Pal. καὶ θυμιᾶται δὲ

Περὶ Νασκάφθου. Κεφ. κβ'.

ΝΑΣΚΑΦΘΟΝ, οἱ δὲ νάρκαφθον, καὶ τοῦτο ἐκ τῆς Ἰνδικῆς κο- F μίζεται. ἔστι δὲ φλοιῶδες, συκαμίνου λεπίσματι ἐοικὸς, θυμιώμενον διὰ τὴν εὐωδίαν, καὶ μιγνύμενον τοῖς σκευαστοῖς θυμιάμασι, ὠφελοῦν καὶ μήτραν ἐστεγνωμένην ὑποθυμιαθέν.

Vet. addit, ἢ στροφουμένοις ἀρήγει.
V. σκευαστικοῖς
Al. ἐστενωμένην

Περὶ Κακάμου. Κεφ. κγ'.

G ΚΑΓΚΑΜΟΝ δάκρυόν ἐστιν Ἀραβικοῦ ξύλου σμύρνῃ* προσεοικὸς, βρωμῶδες ἐν τῇ γεύσει, ᾧπερ ὡς θυμιάματι χρῶνται. ὑποκαπνίζουσι δὲ καὶ τὰ ἱμάτια μετὰ

V. ποσῶς ἐοικός

σμύρνης καὶ στύρακος. Δύναμιν δὲ ἱστορεῖται ἔχειν ἰσχναντικὴν τῶν καταπιμέλων, τριωβόλου πλῆθος πινόμενον σὺν ὕδατι ἢ ὀξυμέλιτι ἐφ' ἱκανὰς ἡμέρας· δίδοται καὶ σπληνικοῖς, καὶ ἐπιληπτικοῖς, καὶ ἀσθματικοῖς· ἔμμηνά τε ἄγει σὺν μελικράτῳ· καθαίρει δὲ καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ταχέως, καὶ ἀμβλυωπίας ἰᾶται, διεθὲν οἴνῳ· πρός τε μυδώσας οὔλων καὶ ὀδονταλγίας, ὡς οὐδὲν ἕτερον ποιεῖ.

Περὶ Κύφεως. Κεφ. κδ'.

Multi manu exarati codices hoc capite carent: aliqui verò eũ margini adiectum habent.

ΚΥΦΙ θυμιάματός ἐστι σκευασία κεχαρισμένη θεοῖς. χρῶνται δὲ αὐτῷ κατακόρως οἱ ἐν Αἰγύπτῳ ἱερεῖς. μίγνυται δὲ καὶ ἀντιδότοις, καὶ ἀσθματικοῖς δίδοται ἐν πόμασι. σκευασίαι δὲ αὐτοῦ ἐμφέρονται πλείονες, ἐν αἷς ἐστι καὶ αὕτη· κυπείρου ἡμίξεστον· ἀρκευθίδος ἁδρᾶς τὸ αὐτό· σταφίδων λιπαρῶν ἐκγεγιγαρτισμένων μνᾶς ιβ'· ῥητίνης ἀποκεκαθαρμένης μνᾶς ε'· καλάμου ἀρωματικοῦ, ἀσπαλάθου, σχοίνου, ἑκάστου μνᾶν α'. σμύρνης < ιβ'· οἴνου παλαιοῦ ξέστας θ'. μέλιτος μνᾶς β'. ἐκγιγαρτίσας τὴν σταφίδα κόψον καὶ λέανον μετ' οἴνου καὶ σμύρνης, καὶ τὰ ἄλλα κόψας καὶ σήσας, μίξον τούτοις, ἔασόν τε συμπιεῖν ἡμέραν α'. εἶτα ἑψήσας τὸ μέλι ἄχρι κολλώδους συστάσεως, μίξον ἐπιμελῶς τὴν ῥητίνην τετηκυῖαν· εἶτα τὰ λοιπὰ συνανατρίψας ἐπιμελῶς ἀπόθεσο εἰς ἀγγεῖον ὀστράκινον.

V. ποτήμασι

Περὶ Κρόκου. Κεφ. κε'.

ΚΡΟΚΟΣ ἐστι "κράτιστος ἐν ἰατρικῇ χρήσει, ὁ Κωρύκιος, πρόσφατός τε καὶ εὔχρους, ὀλίγον τὸ λευκὸν ἔχων ἐπὶ τῆς ἕλικος, ἐπιμήκης, ὁλομελής, "ἄθραυστος, ἀλιπής, πλήρης, "βάπτων ἐν διέσει "τὰς χεῖρας, οὐκ εὐρωτιῶν ἢ ἰκμάζων, "ἐπακτικὸς δὲ ἐν τῇ ὀσμῇ καὶ "ὑπόδριμυς. ὁ γὰρ μὴ τοιοῦτος ἢ" παλαιός ἐστιν, ἢ βεβρεγμένος. δευτερεύει δὲ ὁ ἐκ τῆς πρὸς Λυκίαν Κωρυκείου, καὶ ὁ ἀπὸ τοῦ Λυκιακοῦ Ὀλύμπου· εἶτα ὁ ἐξ Αἰγῶν τῆς* Αἰτωλίας, ὁ δὲ Κυρηναϊκὸς ὁ ἐκ Κεντορίας, πάντων τῶν κατὰ τὴν Σικε-

In v. non legitur κράτιστος, sed deinceps habetur: χρήσιμος δὲ ὁ πρόσφ.

Al. ἄθραυστος.

Aët. βάπτων μὲν τῇ παρατρίψει τοὺς δακτύλους εὐχερῶς.

V. πείχας

V. caret

Parif. δριμὺς

Addit Marcellus ἄπυρος ἢ

A myrrha & ſtyrace ſuffumigantur. Porrò corpora obeſa emaciãdi vim habere perhibetur, ſi ternûm obolorum pondere ex aqua aut aceto mulſo pluſculos dies ebibatur. Datur & lienoſis, comitialibus & ſuſpirioſis. Menſes ex aqua mulſa prolicit. Oculorum cicatrices confeſtim exterit, & eorundẽ hebetudinibus
B medetur, vino dilutum. Quin & aduerſus gingiuas humore prægnantes & ad dẽtium dolores eſt ſi quid aliud efficax.

De Cyphi. Cap. XXIIII.

CYPHI ſuffimenti cõpoſitio eſt Dijs grata & accepta, qua Ægyptij ſacerdotes abundè vtuntur.
C Sed miſcetur & antidotis, ac ſuſpirioſis datur in potu. Plures verò circunferuntur componendi rationes, quarum vna hæc eſt: Sumito cyperi dimidium ſextarium, craſſiorum iuniperi baccarum tantundem, vuarum paſſarum pinguium à vinaceis expurgatarum minas xij. reſinę repurgatę minas v. calami aromati-
D ci, aſpalathi & iunci odorati ſingulorũ minam. myrrhæ drachmas xij. vini veteris ſextarios ix. mellis minas ij. Vuam paſſam exemptis nucleis tundito, & cum myrrha ac vino ſubigito: cætera verò tuſa & cribrata his admiſceto, ſinitóque humorem cõbibere diem vnum. Deinde cocto melle dum ſibi glutinis
E aſciſcat craſſitudinem, eliquatã reſinam ei accuratè permiſceto, ac tum demum etiam reliqua diligẽter ſimul contrita: tandem vaſe fictili recondito.

De Croco. Cap. XXV.

CROCVM in vſu medico prȩſtãtiſſimum eſt Corycium, recens
F ac probè coloratũ, paulum candidi gerens in capreolo, oblongum, ſuis partibus omnibus conſtãs, minimè fragile aut pingue, plenũ, cuius dilutum manus inficiat, nõ carioſum aut humidũ, odore illiciens ac leuiter acre. Nam quod tale non eſt, aut vetuſtum eſt, aut maceratum. Secundum verò à Corycio locum
G obtinet, quod è tractu Lyciæ contermino, itémque quod ex Olympo Lyciæ monte: mox quod ex Ægis Æoliæ defertur. Cyrenaicum verò & quod ex Centuripino Sici-

liæ agro, viribus minùs pollet: quippe cum ſint omnia olerũ inſtar ſatiua. Veruntamen propter ſucci copiam & coloris bonitatem, qui in Italia ligna thyina inficiunt, hoc poſtremo vtuntur: atque ideò etiam magno vẽditur: ſed ad medicamẽta quod primo loco deſcriptum eſt vtiliſſimum exiſtit. Adulteratur autem admixto crocomagmate tuſo, aut ſapæ ſublitu, intrita, ſimul quò pondus adijciatur argẽti ſpuma aut plumbagine. Sed maleficium indicát, tum quod occurrit puluerulentum, tum etiam defruti odor. Porrò vim habet crocus concoquendi, emolliendi, leuiter aſtringendi, & vrinas ciendi. Elegantem colorem præſtat, crapulámque arcet ex paſſo bibitus: oculorũ fluxiones illitus ex lacte muliebri cohibet. Miſcetur & vtiliter potionibus quę ad internos parantur affectus, itémque ſubdititijs nodulis & cataplaſmatis vtero ſedíve adhibẽdis. Venerem quoq; ſtimulat, inflammationéſque eryſipelate comitatas inunctus demulcet: ac denique ad auriculares inflámationes confert. Aiunt etiam exitioſum eſſe, ſi triũ drachmarũ pondere ex aqua bibatur. Quò verò faciliùs ad ſummum læuorem conteratur, apud ſolem in fictili calido exiccari, túmque celeriter idẽtidem verſari oportet. Cæterùm & ipſius radix ex paſſo pota vrinas mouet.

De Crocomagmate. Cap. XXVI.

CROCOMAGMA ex crocino fit vnguẽto, expreſſis aromatis & in paſtillos digeſtis. Probatur quod odoratum eſt, modicè myrrheum, ponderoſum, nigrum, ligni ramentorum expers: quódque ſufficienter dilutum croci colorem reddat, læue, ſubamarum, ac dentes linguámque vehemẽter & ad horas multas permanente colore inficiens. Tale verò eſt quod è Syria defertur. Vim habet ea detergendi quæ pupillis caliginem offundunt, vrinam ciendi, molliendi, concoquẽdi & excalfaciendi. Denique ad croci vires quadantenus accedit: quippe cuius etiam plurima parte ſit particeps.

A λίαν, "ἀσθενὴς κατὰ δύναμιν, λαχανώδεις ὄντες πάντες. διὰ μέντοι τὸ πολύχυλον καὶ εὔχροον οἱ ἐν τῇ Ἰταλίᾳ τὴν θύαν βάπτοντες, τούτῳ χρῶνται. πολλοῦ δὲ πιπράσκεται διὰ τοῦτο. εἰς δὲ τὰ φάρμακα ὁ προγεγραμμένος ἐστὶ χρήσιμος. δολοῦται δὲ μίξει κροκομάγματος
B κεκομμένου, "ἢ δι' ἑψήματος ὑπαλειφόμενος συντετριμμένου, εἰς δὲ βαρυσταθμῆσαι, λιθαργύρου ἢ μολυβδαίνης. δηλοῖ δὲ ταῦτα τό, τε ἐντρέχον κονιορτῶδες, καὶ τὸ τὴν ὀσμὴν ἑψηματώδη τυγχάνειν. Ἔχει δύναμιν πεπτικήν, μαλακτικήν, ὑποστύφουσαν, οὐρητικήν·
C παρέχει εὔχροιαν, καὶ ἀκραίπαλός ἐστι μετὰ γλυκέος πινόμενος· ῥεῦμά τε ὀφθαλμῶν ἐπιχριόμενος στέλλει σὺν γάλακτι γυναικείῳ. μίγνυται δὲ καὶ τοῖς πρὸς τὰ ἐντὸς πόμασι χρησίμως, καὶ προσθέμασι καὶ καταπλάσμασι τοῖς πρὸς τὴν μήτραν καὶ δακτύλιον. παρί-
D στησι δὲ καὶ πρὸς ἀφροδίσια, τάς τε ἐρυσιπελατώδεις φλεγμονὰς πραΰνει καταχριόμενος, καὶ εἰς τὰς ὠτικὰς χρησιμεύει. "φασὶ δὲ καὶ ἀναιρετικὸν αὐτὸν εἶναι μεθ' ὕδατος πινόμενον, πλῆθος < γ'. πρὸς δὲ τὸ εὐλέαντον αὐτὸν γίνεσθαι, δεῖ ἐν ἡλίῳ "ψύχειν" ἐν ὀστρακίνῳ θερμῷ. ταχέως δὲ δεῖ
E στρέφειν. καὶ ἡ ῥίζα δὲ αὐτοῦ πινομένη σὺν γλυκεῖ, οὖρα κινεῖ.

Περὶ Κροκομάγματος. Κεφ. κϛ'.

ΤΟ ΔΕ κροκόμαγμα γίνεται ἐκ τοῦ κροκίνου μύρου, τῶν ἀρωμάτων ἐκπιεσθέντων, καὶ ἀναπλασθέντων. ἔστι δὲ αὐτοῦ τὸ εὐῶδες καλόν, μέσως κατάσμυρνον, βαρύ, μέλαν,
F ἄξυλον, ἐν τῷ διεθῆναι ἱκανῶς κροκῶδες τὴν χρόαν, λεῖον, ὑπόκιρρον, βάπτον ἰσχυρῶς τοὺς ὀδόντας καὶ τὴν γλῶσσαν, ἐπιμένον τε "συχνὰς ὥρας." τοιοῦτον δὲ ἐστι τὸ ἀπὸ Συρίας. Δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις, οὐρητικήν, μαλακτικήν, πεπτικήν, θερ-
G μαντικήν. ἀναλογεῖ δὲ κατὰ ποσὸν τῇ τοῦ κρόκου δυνάμει. πλεῖστον γὰρ τούτου μετείληφεν.

Vetus addit μελανίζων

V. codex ita legit, καὶ λιθαργύρου ἢ μολυβδαίνης διὰ τὸ βάρος ἑψήματί τε ἀλείφεται. δηλοῖ δὲ ταῦτα &c.

Hæc aliqui codices non habẽt vſque ad πρὸς δὲ τὸ

Ald. ψύχειν. Aët. ἐπ' ὀστράκῳ καινῷ. Marcellus legiſſe videtur ἐν ἡλίῳ ψύχειν ἢ φρύγειν ἐν ὀστρακίνῳ θερμῷ.

Ruellius malè legiſſe videtur συχνὰ ἔτη. Iſta non habentur in Pariſ. quæ tamen agnoſcũt Serapio, Hermolaus & Ruellius.

Περὶ Ἑλενίου. Κεφ. κζ.

A ΕΛΕΝΙΟΝ φύλλα ἔχει φλόμῳ τῷ στενοφύλλῳ παραπλήσια, τραχύτερα δὲ καὶ ἐπιμήκη. καυλὸν δ' οὐκ ἀνίησιν ἐν ἐνίοις τόποις. ῥίζαν ὑπόκιρρον, εὐώδη, μεγάλην, ὑπόδριμυν, ἀφ' ἧς εἰς τὴν φύτευσιν, καθάπερ ἐπὶ τῶν* κρίνων ἢ ἄρων, λιπαραὶ παραφυάδες λαμβάνονται.

V. addit ἰσάτιᾳ. Pena pro στενοφύλλῳ legit πλατυφύλλῳ. V. carent. V. caret. Al. κιρραὶ. V. δριμεῖαν ὑπόλευκον, εὐαφῆ. Alius εὐφυῆ male. V. caret.

B γίνεται δὲ ἐν ὀρεινοῖς καὶ συσκίοις καὶ ἐνίκμοις τόποις. ὀρύσσεται δὲ ἡ ῥίζα θέρους, καὶ τεμνομένη ξηραίνεται. κινεῖ δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον οὖρα καὶ ἔμμηνα. αὐτὴ δὲ ἡ ῥίζα λαμβανομένη ἐν ἐκλεικτῷ μετὰ μέλιτος, ἁρμόζει βηξὶν, ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασιν, ἐμπνευματώσεσι,

Vulg. cod. ἐνίκμοις. V. carent. V. ἀναλαμβανομένη.

C θηρίων δήγμασι, καθόλου θερμαντικὴ ὑπάρχουσα. τὰ δὲ φύλλα αὐτῆς ἐπιπλάττεται ἀφεψηθέντα μετ' οἴνου ἰσχιαδικοῖς ὠφελίμως. ἔστι δὲ καὶ εὐστόμαχος ταριχευθεῖσα ἐν γλυκεῖ· ξηράναντες γὰρ αὐτὴν ἐπ' ὀλίγον οἱ ἀλμευταὶ, εἶτα ἀφεψήσαντες, ἀποβρέχουσιν ὕδατι ψυχρῷ·

V. add. καὶ. V. addit αὐτὴ πυρέσσουσι. V. εὔστομος.

D εἶτα βάλλοντες εἰς ἕψημα, ἀποτίθενται εἰς χρῆσιν. ποιεῖ δὲ λεία πινομένη, αἱμοπτοϊκοῖς.

Pal. ποιοῦσι δὲ λεῖαι πινόμεναι.

Περὶ Ἑλενίου Αἰγυπτίου. Κεφ. κη.

Ἑλένιον ἄλλο ἱστορεῖ Κρατεύας φύεσθαι ἐν Αἰγύπτῳ· πόα δέ ἐστι κλῶνας ἔχουσα πηχυαίους, ἐπὶ γῆς ἐρριμμένους ὥσπερ ὁ ἕρπυλλος.

E φύλλα δὲ τοῖς τοῦ φακοῦ ὅμοια, μακρότερα δὲ καὶ πολλὰ περὶ τοῖς κλωνίοις, ῥίζαν ὠχρὰν, πάχος δακτύλου μικροῦ, κάτωθεν λεπτὴν, ἄνωθεν δὲ παχυτέραν, φλοιὸν ἔχουσαν μέλανα. φύεται δὲ ἐν παραθαλασσίοις τόποις καὶ γεωλόφοις.

Quidam addit καὶ μακρὰν.

F Δύναμιν δὲ ἔχει μετ' οἴνου πινομένη μία ῥίζα, θηριοδήκτοις βοηθεῖν.

Marc. legendum putat λεία.

Περὶ Ἐλαίου ὠμοτριβοῦς. Κεφ. κθ.

ΕΛΑΙΟΝ πρὸς τὴν ἐν ὑγιείᾳ χρῆσιν ἄριστον τὸ ὠμοτριβές, ὃ καὶ ὀμφάκινον καλεῖται· τούτου διαφέρει τὸ νέον, ἄδηκτον, εὐῶδες. χρήσιμον δὲ τὸ τοιοῦτον καὶ εἰς τὴν τῶν μύρων κατασκευήν.

G ἔστι δὲ καὶ εὐστόμαχον διὰ τὸ στῦφον, καὶ οὔλων σταλτικόν, καὶ ὀδόντων κρατυντικόν, κρατούμενον ἐν τῷ στόματι. καὶ ἱδρώτων ἐφεκτικόν.

V. καλοῦσι. καὶ τούτω διαφ. V. quidam, μέσον ... μοῦ καὶ ψυχεῖ τὸ γλυκύτατον. Flor. μετὰ θερμοῦ. V. διακρατυντικόν.

De Helenio. Cap. XXVII.

HELENIVM folia habet verbasco angustioribus folijs prædito similia, sed asperiora & oblonga: caulẽ vero quibusdã in locis non emittit. Radice est subruffa, odorata, grandi, subamara: ex qua ad consitionem, velut in serendis cinaris, opimi & insignes oculi decerpuntur. Prouenit in montibus, locis vmbrosis & humidis. Æstate radix eruitur, & concisa siccatur. Huius decoctũ potum vrinas mensésque ciet. Ipsa verò radix in eclegmate sumpta cũ melle prodest tussi, orthopnœę, ruptis, conuulsis, inflationibus & venenatorum morsibus: quippe quæ in vniuersum excalfaciendi vi polleat. Folia ex vino decocta vtiliter Ischiadicis illinuntur. Est & radix stomacho vtilis, dulci misto condi- in pass.
ta. Siquidem salgamarij paululum exiccatam eam, mox decoctam, aqua frigida demergunt: postea in defrutum conijciũt & ad vsum reponunt. Trita potáque ad sanguinis reiectiones est efficax.

De Helenio AEgyptio. Cap. XXVIII.

Helenij genus alterum in Ægypto gigni Crateuas memorat. Herba verò est ramis cubitalibus, serpylli modo humi sese spargentibus: folijs lenticulæ proximis, sed longioribus numerosísque circa ramulos: radice pallida, digiti minimi crassitudine, ac per ima quidem tenui, supernè verò crassiore, nigro vestita cortice. Nascitur locis maritimis & tumulosis. Radix vnica ex vino bibita contra serpẽtium ictus auxiliandi vim habet.

De oleo omphacino. Cap. XXIX.

OLEVM ad vsum per sanitatem optimum: quod, quia ex crudis & acerbis seu immaturis oliuis exprimitur, crudum nec non etiam omphacinum appellatur. Excellit in hoc genere recẽs, minimè mordens, atque odoratũ. Est & tale ad vnguentorum compositionem vtile: quinetiam propter astringendi vim stomacho accommodatum. Ore si contineatur, gingiuas contrahit, dentésque firmat: sudores denique cohibet.

De oleo communi. Cap. XXX.

Quod vetustius ac pinguius est, ad medicamentorum vsum est accommodatum. In vniuersum autem oleum omne calfaciendi vim habet, carnem emollit, corpus contra algores munit, ipsúmque ad actiones obeundas expeditius reddit. Bonam etiam aluum facit, éstq; molliendi vi præditum. Exulcerantium medicamentorum vires permistũ hebetat. Exhibetur quoque contra venena, sic vt subinde bibatur ac reuomatur. Purgat heminæ mensura cũ pari ptissanæ succo aut aqua epotum. Torminosis vtiliter datur in potu cum ruta decoctum sex cyathorum mensura, lumbricósq; pellit. Infunditur & idipsum ad ileosos maximè affectus. At vetus tum magis excalfacit, tum etiã vehementiùs discutit, & ad exacuendam oculorum aciem sublinitur. Sin desit vetus, hac præparatione opus est. De eo cuius est copia quod præstantius erit in vas defundito, & ad mellis crassitudinem decoquito, atque ita vtitor. Eandem enim cum prædicto vim asciscit.

ventrísque animalia

oculorũ claritati sublitũ prodest

De oleo syluestris oliuæ. Cap. XXXI.

Quod è syluestri oliua exprimitur oleum vehementiùs astringit, & ad vsum sanorum secundum sibi locum vendicat. Caput dolentibus rosacei vice cõuenit. Sudores sistit, & defluos capillos inhibet. Quinetiam furfures & vlcera capitis manantia, scabiem ac lepras extergit: moratúrque canos, si quotidie illinatur.

Oleum candidum. Cap. XXXII.

Candidatur oleum hunc in modum: sumito album colore, nec anniculo vetustius, & in fictile nouum lati oris infundito centum heminarum mensura. Mox in sole expositum quotidie circa meridiem concha refundito, ex alto deturbãs, vt frequenti volutatione ac verberatu agitatum alteretur & spumescat. Octaua deinde die fœnũgræcum purgatum drachmarum 50 põdere, aquáque calida maceratũ, atque adeo remollitũ, aqua interim neutiquã expressa, in supradictum

permixtione

Περὶ ἐλαίου κοινοῦ. Κεφ. λ.

A Τὸ δὲ καὶ παλαιότερον καὶ λιπαρώτερον, εἰς τὴν τῶν φαρμάκων χρῆσιν εὔθετον. κοινῶς δὲ πᾶν ἔλαιον, θερμαντικόν ἐστι καὶ μαλακτικὸν τῆς σαρκός, δυσπερίψυκτον φυλάσσον τὸ σῶμα, ἑτοιμότερον πρὸς τὰς ἐνεργείας ποιοῦν. ἐστὶ δὲ B καὶ εὐκοίλιον καὶ μαλακτικόν, ἀμβλῦνόν τε τὰς τῶν ἑλκούντων φαρμάκων δυνάμεις ἐν τῇ μίξει. δίδοται δὲ καὶ πρὸς τὰ θανάσιμα συνεχῶς πινόμενον καὶ ἐξεμούμενον. καθαίρει δὲ ὅσον κοτύλη σὺν πτισσάνης ἴσῳ χυλῷ ποθὲν ἢ ὕδατι. στροφουμένοις τε ἐν ποτῷ ὠφελίμως δίδο- C ται μετὰ πηγάνου ἑψηθὲν κυάθων ἓξ πλῆθος, ἕλμινθάς τε ἐκβάλλει. καὶ ἐνίεται δὲ τὸ αὐτό, μάλιστα πρὸς τὰς εἰλεώδεις. τὸ δὲ παλαιὸν θερμαντικώτερον καὶ διαφορητικώτερον· πρὸς ὀξυδορκίαν τε ὑπάλειμμα. μικτέον δὲ εἰ μὴ παρείη τὸ παλαιὸν ἔλαιον οὕτω, καταχερά- D σας εἰς ἄγγος τοῦ περιόντος τὸ κρεῖσσον, ἕψε ἕως οὗ σχῇ μέλιτος πάχος, καὶ χρῶ. τὴν γὰρ αὐτὴν τῷ προειρημένῳ εἰσφέρεται δύναμιν.

V. addit μαλακτικὸν τῆς σαρκός, καὶ τὸ παλαιὸν εἰς τὴν &c.
Vulg. γαστρὸς
V. δυσπερίψυκτα φυλ. τὰ σώματα καὶ ἑτοιμότερα
Pal. caret.
V. addit θερμοῦ Ald. in noth. θερμοῦ κοτύλας ς'.
Pal. ἕλμεις
V. θερμαντικὸν
Corn. ποιητέον
Cornarius legit κατεράσας & recte.
Veteres his carent.

Περὶ Ἐλαίου ἐκ τῆς ἀγρίας ἐλαίας. Κεφ. λα'.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, στυπτικώτερον, πρὸς μὲν τὴν ἐν ὑγείᾳ E χρῆσιν, δεύτερον. κεφαλαλγοῦσι δὲ ἀντὶ ῥοδίνου ἁρμόζει, ἐπέχον καὶ ἱδρῶτας καὶ τρίχας ῥεούσας. ἀποσμήχει δὲ καὶ πίτυρα, καὶ ἀχῶρας, καὶ ψώρας, καὶ λέπρας· βράδιόν τε πολιοῖ καθ' ἑκάστην ἡμέραν ἐπαλειφόμενον.

Add. Ald. cod. in noth. κομιζόμενοι.
Par. ἱδρῶντας.

Ἔλαιον λευκόν. Κεφ. λβ'.

Λευκαίνεται δὲ ἔλαιον οὕτω· λα- F βὼν τὸ τῇ χρόᾳ μὲν λευκόν, τὴν ἡλικίαν δὲ μὴ πλέον ἐνιαυσίου, ἔγχεε εἰς κεραμεοῦν ἀγγεῖον πλατύστομον, καινόν· ἔστωσαν δὲ μέτρῳ κοτύλαι ρ'. εἶτα θεὶς ὑφ' ἥλιον, ἀνάχει κόχλῳ καθ' ἑκάστην ἡμέραν κατὰ τὸ μέσον, ὑψόθεν τῇ καταφορᾷ χρώμενος, ἵνα τῇ συνεχεῖ κυλίσει καὶ G πληγῇ μεταβάλλῃ τε καὶ ἀφρίσῃ. τῇ δὲ ὀγδόῃ ἡμέρᾳ βρέξας τήλεως καθαρᾶς < ν' ἐν ὕδατι θερμῷ, ἔμβαλε μαλακὴν γενομένην εἰς τὸ προειρημένον ἔλαιον χωρὶς τοῦ

V. τὴν χρόαν
Par. ὑψόθι
V. κυκήσει al. κινήσει
V. μεταβάλλητε καὶ

ϛραγγίσαι τὸ ὕδωρ· προσαποδὸς δὲ καὶ δαλὸν πιτυΐνης ὡς ὅτι λιπαρώτατον καὶ εἰς λεπτὰ κατεσχισμένον τὰς ἴσας ὁλκὰς, καὶ οὕτως ἔασον ἄλλας ὀκτὼ ἡμέρας διελθεῖν· μετὰ δὲ ταύτας ἀνάχει τῷ κόχλῳ τὸ ἔλαιον. τό, τε λοιπὸν εἰ μὲν εἴη τοῦ τέλους τετυχὸς, εἰς καινὸν ἀγγεῖον προεκκεκλυσμένον οἴνῳ παλαιῷ καταχεάσας, ἀπόθεσο προϋπεστρωμένων μελιλώτων στεφανίσκων* ἀλίσκων ὁλκῶν ια΄. καὶ ἴρεως τῆς ἴσης· εἰ δὲ μή, πάλιν ἐν ἡλίῳ θετέον αὐτό. καὶ ἐργαστέον ἄχρις οὗ λευκὸν γένηται.

Corn. καταχέσαι

Par. ὅσης.

Περὶ Σικυωνίου ἐλαίου. Κεφ. λγ΄.

Ἔνεστι δὲ καὶ Σικυώνιον τὸ προειρημένον οὕτω σκευάζειν· εἰς λέβητα κεκασσιτερωμένον, πλατύστομον, ἐγχέας νέου ἐλαίου ὠμοτριβοῦς καὶ λευκοῦ χόαν α΄. καὶ ὕδατος ἡμίσειαν, ἕψε κούφῳ πυρὶ κινῶν πραέως· ὅταν δὲ ἀναζέσῃ δίς, ὑπόσπασον τὸ πῦρ, καὶ ψύξας ἀποκόγχυσον τὸ ἔλαιον. εἶτα ἄλλο ἐπιδοὺς ὕδωρ, συναναζέσον αὐτῷ, καὶ τὰ λοιπὰ ποιήσας καθὼς σοι ὑποδέδεικται, ἀπόθου. σκευάζεται δὲ τοῦτο μάλιστα ἐν Σικυωνίᾳ Σικυώνιον καλούμενον. Δύναμιν δὲ ἔχει πως θερμαντικήν, ἁρμόζον ἐν πυρετοῖς καὶ τοῖς περὶ νεῦρα πάθεσι. χρῶνται δὲ αὐτῷ καὶ αἱ γυναῖκες ἐπὶ τοῦ στιλβωτέρῳ.

Par. χοᾶ paruo discrimine

V non legit κινῶν.

Al. προδέδεικται

Al. προσώπῳ ἐπὶ τοῦ στιλβώτερῳ. fortè legendum προσώπου στιλβώτερῳ

Ῥύπος βαλανείων. Κεφ. λδ΄.

Ὁ δὲ ἐπὶ τοῖς βαλανείοις συναιρούμενος, δύναται θερμαίνειν, μαλάσσειν, διαφορεῖν, ῥαγάσι τε καὶ κονδυλώμασιν ἐν δακτυλίοις.

Hoc caput reperimus Crateuæ attributum.

Ῥύπος ἐκ τῆς παλαίστρας. Κεφ. λε΄.

Ὁ δὲ ἐπὶ τῆς παλαίστρας προσειληφὼς τὴν κόνιν, ἐοικὼς δὲ ῥύπῳ, τὰς περὶ τοῖς κονδύλοις συστροφὰς ἐπιτιθέμενος ὠφελεῖ· ὠφελεῖ καὶ ἰσχιαδικοῖς θερμὸς ἀντὶ μαλάγματος ἢ πυρίας ἐπιτιθέμενος.

Quidam ἐκ

Ῥύπος γυμνασίων. Κεφ. λϛ΄.

Καὶ ὁ ἐν τοῖς τῶν γυμνασίων τοίχοις ῥύπος, καὶ ὁ ἀπὸ τῶν ἀνδριάντων, θερ-

A oleum conijcito: tædam quoque pineam præpinguem & in tenues assulas cōcisam pari pondere insuper addito: atque ita dies octo alios elabi sinito. His transactis concha oleum denuo cōfundito. Postremò, si finē assecutū fuerit, in vas nouum priùs vetere vino elutum, substratis anteà sertulæ Campanæ corollis B drachmas vndecim pendentibus cum iridis pari pondere, decapulato atque recondito. Sin autem candorem nondum cōtraxerit, oleum rursus insolandū, & opus ipsum repetendum, dum candidum illud euaserit.

De Sicyonio oleo. Cap. XXXIII.

C Sed & ex prædicto Sicyoniū hoc modo parare licet. In lebetem oris ampli stanno inductum recentis olei omphacini candidíq; congiū vnum, aquæ verò dimidium infundito: tùm igne leui coquito leniter agitando. At cumprimū bis efferbuerit, ignem subtrahito, & vbi refrixerit, oleum decapulato. Tandē D alia adiecta aqua simul iterum ferueſacito: ac reliquis, veluti præmonstratum est, peractis reponito. Maximè verò cōficitur oleum huiusmodi in Sicyonia: atque inde Sicyonij nomen accepit. Vim habet leuiter calfactoriam, in febribus ac neruorum affectibus accommodatum. Vtuntur & eo mulieres ad in- E ducendum cuti nitorem.

Strigmenta à balneis. Cap. XXXIIII.

STRIGMENTA quæ in balneis destringuntur, calfaciendi, molliendi, discutiendíque vim habent: ad rimas sedis & condylomata pervnctione prosunt.

F *Strigmenta palæstrica. Cap. XXXV.*

Quæ verò in palæstra puluerem sibi asciuere, similia sordibus, articulorum collectiones ac nodos imposita iuuant. Quin & calentia ischiadicis fotus aut malagmatis instar vtiliter admouentur.

G *Strigmenta gymnasiorum. Cap. XXXVI.*

Sordes è gymnasiorum parietibus, simulacrisque derasæ, excalfactoriam

factoriam vim habent, discutiúntq; tubercula quæ ægrè ad coctionem maturitatémve perducuntur: abrasis seu desquamatis & senum vlceribus aptè conueniunt.

De Elæomelite. Cap. XXXVII.

In Palmyreno Syriæ tractu quod Elæomeli vocát ex quodam caudice manat, oleum crassius melle, sapore dulci. Id cyathis duobus bibitum cum vna aquæ hemina, crudũ biliosúmque humorem aluo detrahit. Sed qui assumpsere torpescunt, viribúsque deficiuntur: attamen eo minimè terreri oportet. Quin excitandi sunt, neque permittẽdum vt somno grauiore consopiantur.

Paratur & è germinum oleaginorum pingui oleum: in cuius genere optimũ vetus, crassum, pingue, neque turbidũ. Id verò calefacit, priuatímque superillitum facit ad ea quæ pupillis caliginem offundunt: quin & ad lepras neruorúmque dolores illitum confert.

De Cicino oleo. Cap. XXXVIII.

Cicinum oleũ fit hoc modo: Sumito maturorum ricinorum quantum videbitur, & instratos vuarũ in morem, quæ super cratibus dispositæ insolantur, ad solem exiccato, dũ ambiens cortex disruptus excidat: túmque collectam eorum carnem in pilam conijcito, ac diligenter tusam in lebetem stanno inductũ qui aquam habeat transferto, succensóque igni feruefacito. Cùm verò insitum humorẽ prorsus deposuerint, sublato ab igni lebete innatás oleum conchula tollito atque reponito. At Ægyptij quoniam copiosum ipsum expetunt, aliter conficiũt. Nam repurgatos ricinos molæ mandát accuratéq; molunt: deinde quod molitũ est in sportulas coniectum torculo exprimũt. Tùm porrò tẽpestiui sunt ricini, cùm vestientibus folliculis exuuntur.. Facit verò Cicinum oleum ad vlcera capitis manantia, psoras & sedis inflammationes, nec non ad vteri obstructiones atque euersiones: itémque ad cicatrices fœdas, auriúmque dolores. Quin & emplastris admistum ea reddit efficaciora.

A μαλάσσει τε καὶ διαφορεῖ τὰ δυσπεπτα φύματα, καὶ πρὸς ἀποσύρματα καὶ πρὸς ἕλκη πρεσβυτικὰ ἁρμόζει.

Περὶ Ἐλαιομέλιτος. Κεφ. λζ.

Ἐλαιόμελι κατὰ Παλμυρὰ τῆς Συρίας ἔκ τινος στελέχους ἔλαιον μέλιτος
B παχύτερον ῥεῖ, γλυκὺ τῇ γεύσει· ὅπερ πινόμενον πλῆθος κυάθων β΄ μετὰ κοτύλης μιᾶς ὕδατος, ἄγει κατὰ κοιλίαν ὠμὸν καὶ χολώδες· ἐννωθεῖς δὲ γίνονται καὶ ἔκλυτοι οἱ λαμβάνοντες, ὅπερ οὐ δεῖ εὐλαβεῖσθαι· διεγείρειν δὲ αὐτοὺς μὴ ἐῶντας καταφέρεσθαι. σκευάζεται δὲ καὶ ἐκ τοῖς λί-
C ποις τῶν θαλλῶν ἔλαιον· ἔστι δὲ αὐτοῦ κάλλιστον καὶ παλαιὸν, καὶ παχὺ καὶ λιπαρὸν, οὐ τεθολωμένον· θερμαίνει δὲ ἰδίως ποιοῦν πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἐπιχριόμενον. καὶ λέπρας καὶ ἀλγήματα περὶ νεῦρα ἐγχριόμενον ὠφελεῖ.

Περὶ Κικίνου ἐλαίου. Κεφ. λη΄.

D Κίκινον ἔλαιον σκευάζεται τοῦτον τὸν τρόπον· λαβὼν ὡρίμων κροτώνων ὅσον ἂν δόξῃ, καὶ ψύξας εἰς ἥλιον, καταστρώσας ψιλοπέδου τρόπον, ἕως ἂν ὁ περικείμενος φλοιὸς ἀπορραγεὶς ἐκπέσοι, συναγαγὼν τὴν σάρκα, ἔμβαλε εἰς ὅλμον,
E καὶ κόψας ἐπιμελῶς εἰς λέβητα κεκασσιτερωμένον βάλε, ὕδωρ ἔχοντα, καὶ ἀνάβρασον ὑποκαίων. ὅταν δὲ ἀφῶσι τὴν ἐν αὐτοῖς ὑγρότητα πᾶσαν, ἄρας τὸν λέβητα ἀπὸ τοῦ πυρὸς, ἀπόψα μυακὶ τὸ ἐπιπλέον ἔλαιον καὶ ἀποτίθεσο. οἱ δὲ Αἰγύπτιοι διὰ τὸ δαψιλοῦς χρήζειν, ἑτέρως αὐ-
F τὸ σκευάζουσι. μετὰ γὰρ τὸ καθᾶραι εἰς μύλην ἀποδιδόντες τοὺς κρότωνας, ἀλήθουσιν ἐπιμελῶς· εἶτα εἰς σπυρίδας ἐμβαλόντες τὸ ἀληλεσμένον, δι᾽ ὀργάνου ἐκθλίβουσιν. ὥριμοι δέ εἰσιν οἱ κρότωνες, ὅταν ὑπὸ τῶν περιεχόντων αὐτοὺς σφαιρίων ἀπολύωνται. ποιεῖ δὲ τὸ κίκινον πρὸς ἀχῶρας καὶ
G ψώρας καὶ τὰς ἐν ἕδρᾳ φλεγμονὰς, πρός τε ὑστέρας μύσεις καὶ διαστροφάς· ἔτι δὲ οὐλὰς ἀπρεπεῖς καὶ ὠταλγίας· ἐμπλάστροις τε μιγὲν, ἐμπρακτοτέρας αὐτὰς ἐργάζεται.

Cornarius legẽdum putat κατὰ Θάλμυρα, & sic legisse videtur Plinius lib. 15. cap. 7. cùm ait in maritimis nasci.

V. addit χυμὸν

Marc. legit λίπους

V. ἐγχριόμενον

V. addit ὀρεινῶν

Par. δαψιλῶς

Pal. ἀποδόντες

Ald. ἠλεσμένον & sic Pal.

ἄγει δὲ καὶ κατὰ κοιλίαν ὑδατῶδες ποθὲν, ἐκκρίνει δὲ καὶ ἕλμινθας.

A Potum denique aquas per aluum ducit, lumbricósque pellit.

Περὶ Ἀμυγδαλίνου ἐλαίου. Κεφ. λθ.

Ἀμυγδάλινον ἔλαιον, ὃ τινες μετώπιον καλοῦσι, σκευάζεται οὕτως· ἀμυγδάλων πικρῶν χ. δ. καθάρας καὶ ξηράνας, κόψον ὑπέρῳ ξυλίνῳ ἐν ὅλμῳ κούφως μέχρις μάζα γένηται, ἐπιχέας τε ζεστοῦ ὕδατος κοτύλας β΄. ἔα συμπιεῖν ἡμιώριον, ἀφ᾽ ἧς πάλιν βιαιότερον τρίβε, εἶτα ἀποθλίβων πρὸς πλάκα ἐξίπου, καὶ τὸ ἀπὸ τῶν δακτύλων εἰς μύακα ἀναλάμβανε· εἶτα πάλιν εἰς τὸ ἀποτεθλιμμένον κοτύλην ὕδατος μίαν ἐπιχέας, καὶ συμπιεῖν ἐάσας, τὸ αὐτὸ ποίει. ἀποδίδωσι δὲ κοτύλην ἃ τὸ τετραχοίνικον. ποιεῖ δὲ πρὸς τὰς ἐν μήτρᾳ ἀλγηδόνας καὶ πνίγας ὑστερικὰς, διαστροφάς τε καὶ φλεγμονὰς τῶν αὐτῶν τόπων· ἔτι δὲ κεφαλαλγίας καὶ ὤτων πόνους, καὶ ἤχους καὶ συριγμούς· ὠφελεῖ δὲ καὶ νεφριτικοὺς, καὶ δυσουριῶντας, καὶ λιθιῶντας, καὶ ἀσθματικοὺς, καὶ σπληνικούς· αἴρει δὲ καὶ σπίλους ἐκ προσώπου, καὶ ἐφήλεις καὶ ῥυτίδας, μέλιτι μιγνύμενον καὶ κρίνου ῥίζῃ καὶ κυπρίνῃ ἢ ῥοδίνῃ κηρωτῇ· καὶ ἀμβλυωπίας δέ ἐστιν ἀνασκευαστικόν· σὺν οἴνῳ δὲ ἀχῶρας καὶ πίτυρα σμήχει.

Actuarij interpres legisse videtur κυάθους

De Amygdalino oleo. Cap. XXXIX.

Amygdalinum oleum, quod aliqui Metopium vocant, hoc modo paratur: Amygdalarum amararum repurgatarum & arefactarum chœnices quatuor in pila ligneo pistillo leuiter in offam contundito, affusísque aquæ feruentis heminis duabus sinito semihoræ spatio humorem imbibere, túmque postea maiore vi terito, ac deinde tabellis comprimens exprimito, quódque digitis hæserit concha excipito. Tandem magmati iterum aspersa aquæ hemina quam combibere sieueris, idem facito. Singulas porrò heminas reddunt quaterni chœnices. Est auté efficax contra vuluarum dolores & strangulatus, ac eorundem locorum tum conuersiones tum etiam inflammationes: itémq; ad capitis dolores, auriúmque ægritudines, sonos incertos atque tinnitus. Iuuat & vitijs renum laborantes, ægrè meientes atque calculosos. Suspiriosis itidem lienosísque prodest. Quin & maculas tollit è facie, à sole vstis medetur, & cutem erugat, admixtű melli, lilij radici, ac cyprino rosaceóve cerato. Hebétem etiam oculorum aciem emendat: denique vlcera quoque manantia & furfures cum vino expurgat.

Περὶ Βαλανίνου ἐλαίου. Κεφ. μ΄.

Ἐοικότως δὲ καὶ τὸ βαλάνινον σκευάζεται· δύναμιν δὲ ἔχει καθαρτικὴν σπίλων, φακῶν, ἰόνθων, οὐλῶν μελανίας, κοιλίας καθαρτικήν· ἔστι δὲ κακοστόμαχον· ἁρμόζει δὲ καὶ ὠταλγίαις, καὶ ἤχοις, καὶ συριγμοῖς, μετὰ χηνείου στέατος ἐγχεόμενον.

De Balanino oleo. Cap. XL.

Simili modo fit & oleum balaninum. Vim auté habet repurgandi maculas, lentigines, varos & cicatricum nigritias. Purgat idem F aluum, sed stomacho aduersatur. Cótra dolores aurium, sonos atque tinnitus auxilio est, cum anserino adipe infusum.

Ἔλαιον σησάμινον καὶ καρύϊνον. Κεφ. μα΄.

Ὁμοίως δὲ σκευάζεται τοῖς προειρημένοις, τό, τε σησάμινον ἐκ τοῦ σησάμου, καὶ τὸ καρύϊνον, ἐκ τῶν βασιλικῶν καρύων συντιθέμενον. δύναμιν δὲ ἔχουσι τὴν αὐτὴν τῷ βαλανίνῳ.

Olea Sesaminum & Caryinum. Cap. XLI.

Eodem quoque quo antedicta G modo sesaminum oleum ex sesama præparatur: itémque caryinű, quod è iuglandibus nucibus conficitur. Easdem verò cum balanino vires obtinent.

De Hyoscyamino oleo. *Cap. XLII.*

Hyoscyaminum autem sic præparatur: semen ipsum album, siccum, recens accipito, & contusum aqua calida subigito, veluti in amygdalino dictum est. Dum verò insolabis, arescẽtes eius quæ sub manu sunt [hoc est, superiores] partes toti massæ permisceto. Idipsum tãdiu facito, dum nigrescat graueoléńsque reddatur: mox per linteolũ percolatũ & expressum reponito.

Ad auriũ dolores est efficax, pessisq; ammiscetur: emolliendo vtile.

De Gnidico oleo. *Cap. XLIII.*

Similiter etiam paratur quod ex Gnidio grano fit oleum, decorticato semine atque contuso. Potum id aluum soluendi vim habet.

De Cnicino oleo. *Cap. XLIIII.*

Eodem quoque modo Cnicinũ oleum cõficitur. Vis autem eadem quæ Gnidico, sed remissior.

De Raphanino oleo. *Cap. XLV.*

Raphaninum ex ipso fit raphani semine, quemadmodũ & reliqua. Ijs qui ex mala valetudine phthiriases contraxere conuenit, scabritiásque cutis in facie emendat. Eo vtuntur Ægyptij, vna cum obsonijs ipsum coquentes.

De Melanthino oleo. *Cap. XLVI.*

Melanthinum easdem cum raphanino vires, consimilémque preparationem sortitur.

De Sinapino oleo. *Cap. XLVII.*

Sinapinum fit ad læuorem trito Sinapis semine & aqua calida macerato, adiecto posteà oleo ac simul expresso. Facit ad dolores diuturnos, dum ipsa vitia ex alto extrahit.

De Myrtino oleo. *Cap. XLVIII.*

Myrtei olei præparandi ratio hæc est: Myrti nigræ seu syluestris seu satiuæ tenerrima quæque folia tundito atque exprimito, succo deinde omphacini olei parem mensuram admisceto, & ad prunas calfacito, donec simul cocta fuerint, tollens id quod supernatat. Fuerit verò minùs operosa confectio, si foliorum mollissima contusa in aqua & oleo decoquas, & quod innatat deradas: peculiari quoque modo, si

A Περὶ Ὑοσκυαμίνου ἐλαίου. Κεφ. μβ'.

Καὶ τὸ ὑοσκυάμινον δὲ σκευάζεται οὕτω· λαβὼν τὸν λευκὸν καρπὸν, ξηρὸν, πρόσφατον, καὶ κόψας, ὕδατι θερμῷ φύρα, ὡς προείρηται ἐπὶ τοῦ ἀμυγδαλίνου. ἡλιάζων δὲ τὰ ὑπὸ χεῖρα ξηραινόμενα αὐτοῦ μέρη, τῷ ὅλῳ ἀνάμισγε· καὶ τὸ αὐτὸ B ποίει ἄχρις ἂν μελανθῇ καὶ δυσῶδες γένηται· εἶτα δι' ὀθονίου διηθήσας καὶ ἐκθλίψας ἀπότιθεσο. ποιεῖ δὲ καὶ πρὸς ὠταλγίας, καὶ πεσσοῖς μίγνυται, μαλακτικὸν ὄν. Al. δι' ἠθμοῦ. Par. caret.

Περὶ Κνιδελαίου. Κεφ. μγ'.

Ὁμοίως δὲ καὶ τὸ διὰ τοῦ Κνιδείου σκευάζεται κόκκου λεπισθέντος καὶ κοπέντος· καθαρτικὴν δὲ ἔχει δύναμιν κοιλίας πινόμενον. C Al. λεπτισθέντες

Περὶ Κνικελαίου. Κεφ. μδ'.

Ὡσαύτως δὲ καὶ τὸ κνίκινον σκευάζεται. δύναμις δὲ ἡ αὐτὴ τῷ διὰ τοῦ κνιδείου κόκκου, ἀμβλυτέρα δὲ μᾶλλον. V. τῇ διὰ

Περὶ Ῥαφανελαίου. Κεφ. με'.

D Τὸ δὲ ῥαφάνινον σκευάζεται ἐκ τοῦ αὐτῆς σπέρματος ὡς καὶ τὰ λοιπά. τοῖς ἐκ νόσου δὲ φθειριῶσιν ἁρμόζει, καὶ τὰς περὶ τὸ πρόσωπον σμήχει τραχύτητας. χρῶνται δὲ αὐτῷ οἱ ἐν Αἰγύπτῳ τοῖς προσοψήμασι συνέψοντες αὐτό. V. add. ὁμοίως

Περὶ Μελανθελαίου. Κεφ. μϛ'.

E Καὶ τὸ μελάνθινον δὲ τὴν αὐτὴν ἔχει δύναμιν, [καὶ σκευασίαν] τῷ ῥαφανίνῳ. Hæc Ruellius omisit.

Περὶ Σιναπελαίου. Κεφ. μζ'.

Τὸ δὲ σινάπινον σκευάζεται, λεαινομένου τοῦ σινήπεως καὶ βρεχομένου ὕδατι *θερμῷ, ἔπειτα μιγνυμένου ἐλαίου, καὶ συνεκθλιβομένου. ποιεῖ δὲ πρὸς τὰ χρόνια ἀλγήματα F *μετασυγκρῖνον.

Περὶ Μυρσινελαίου. Κεφ. μη'.

Μυρσίνινον δὲ σκευάζεται οὕτω· λαβὼν τὰ ἁπαλὰ φύλλα τῆς μελαίνης μυρσίνης ἢ ἀγρίας ἢ ἡμέρου, κόπτε πιέζων· ἴσον δὲ τῷ χυλῷ ἐλαίου ὀμφακίνου μίσγων, χλίαινε ἐπ' ἀνθράκων, ἕως ἂν συνεψηθῇ, G αἴρων τὸ ἐφιστάμενον. εὐκοπωτέρα δὲ σκευασία, τὰ ἁπαλὰ τῶν φύλλων κόψαντα, ἕψειν μεθ' ὕδατος καὶ ἐλαίου, καὶ τὸ ἐφιστάμενον ἀποψᾶν· ἰδίως δὲ τὰ φύλ- V. addit ὀρεινῆς. V. σμίξων.

λα καθέντα εἰς ἥλιον, ἐν ἐλαίῳ ἀποβρέχειν. ἔνιοι δὲ προστύφουσι τὸ ἔλαιον σιδίοις, κυπαρίσσῳ, κυπείρῳ, σχοίνῳ. ἔστι δὲ ἐμπρακτικώτερον τῇ γεύσει πικρίζον, καὶ ἐλαιῶδες, χλωρὸν, διαφανὲς, ὄζον μυρσίνης. Δύναμις δὲ αὐτοῦ στυπτική, σκληρυντική· διὸ καὶ ποιεῖ μιγνύμενον ἀπουλωτικοῖς, καὶ πρὸς πυρίκαυστα, ἀχῶρας, πίτυρα, ἐξανθήματα, παρατρίμματα, ῥαγάδας, κονδυλώματα, ἄρθρα κεχαλασμένα· ἱδρῶτας στέλλει, καὶ ὅσα στύψεως ἢ πυκνώσεως ἔχει χρείαν.

Περὶ Δαφνελαίου. Κεφ. μθ'.

Τὸ δὲ Δάφνινον σκευάζεται διὰ τῶν δαφνίδων, ὅταν ὦσι δρυοπετεῖς, ἑψομένων μεθ' ὕδατος· ἐκ γὰρ τοῦ περικειμένου λέπους ἀνίησιν λιπαρίαν τινά, ἣν διαθλίψαντες χερσὶν εἰς μύακας ἀναλαμβάνουσιν. ἔνιοι δὲ ὀμφάκινον ἔλαιον προστύψαντες κυπείρῳ, καὶ σχοίνῳ καὶ καλάμῳ, καὶ μετὰ ταῦτα δάφνης φύλλα ἁπαλὰ βαλόντες, συνέψουσιν. τινὲς δὲ, καὶ δαφνίδας, ἕως ἂν ἱκανὸν γένηται τῇ ὀσμῇ. ἔνιοι δὲ καὶ στύρακα μίσγουσι καὶ μυρσίνην. ἀρίστη δὲ πρὸς σκευασίαν ἡ ὀρεινὴ καὶ πλατύφυλλος δάφνη. διαφέρει δὲ τοῦ δαφνίνου τὸ πρόσφατον, χλωρὸν τῇ χρόᾳ, πικρότατον, δριμύ. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, ἀναστομωτικὴν, κόπων λυτικήν. ἁρμόζει καὶ τοῖς περὶ τὰ νεῦρα πάθεσι πᾶσι, καὶ ὠταλγίαις, καὶ καταρροϊζομένοις [νεφριτικοῖς δὲ τοῖς ἀπὸ ψύξεως ἄλειμμά ἐστιν ἄριστον, ὡς οὐδὲν ἕτερον ὠφελοῦν.] ἔστι δὲ καὶ ναυτιῶδες ποθέν.

Fortè ἀνιᾶσιν

Legēdum σμύρνην

V. addit φρίκαις τε

Par. codex hac periodo caret. Ald. ad notha retulit.

Περὶ Σχινελαίου. Κεφ. ν'.

Τὸ δὲ σχίνινον ὁμοίως ἐκ τοῦ καρποῦ πεπείρου σκευασθὲν, ὡς τὸ δάφνινον, προστυφθὲν, ὑγιάζει ψώρας κτηνῶν καὶ κυνῶν· καὶ εἰς πεσσοὺς καὶ εἰς ἄκοπα καὶ λεπρικὰ ἐπιτηδείως μίγνυται· στέλλει δὲ καὶ ἱδρῶτας. καὶ τὸ τερεβίνθινον δὲ ὁμοίως σκευάζεται· ψύχει δὲ καὶ στύφει.

V. προστυφθέν

Desunt hæc in Ald. Fortè ψύχει

A exposita Soli folia in oleo maceres. Nec desunt qui oleũ prius inspissẽt malicorio, cupresso, cypero ac iunco odorato. Efficacius est quod gustu subamarũ deprehẽditur, oleosũ, viride & translucidum cernitur, ac myrtũ redolet. Vis porrò ei astringẽdi & indurandi: quare efficaciter cicatricẽ obducẽtibus medicamentis
B immiscetur. Facit quoq; ad ambustiones, vlcera capitis manantia, furfures, papularũ eruptiones, attrita, rhagadas, condylomata & laxatos articulos. Sudores compescit, ac denique ad omnia valet, quæ astrictionẽ densationẽmve desiderant.

De Laurino oleo. Cap. XLIX.

C Laurinum è drupis seu maturitate * deciduis lauri baccis in aqua decoctis conficitur. Tùm enim ex ambiente cortice pinguitudinẽ quandã exudãt, quæ manibus priùs expresso è tritis baccis succo cõchis excipitur. Nonnulli verò vbi omphacinũ oleum cypero, iunco odorato & calamo priùs inspissauerũt,
D tenera deinde lauri folia in id cõiecta simul decoquunt. Sunt qui lauri baccas addant, dum iustus odor accesserit: alij styracem & myrrham ammiscent. Porrò ad eiusmodi olei confectionẽ optima est laurus mõtana & latifolia. Laurinum verò oleũ excellit, quod recens est, colore viride, amarissimũ & acre. Vis ei
E excalfaciendi, emolliẽdi, spiracula venarũ aperiẽdi, & lassitudines discutiendi. Quin & malis neruorũ omnibus, doloribus auriũ ac destillationibus cõfert: renum vero vitio ex frigore contracto laborantibus illitus est præstantissimus, & maximè si quid aliud vtilis. At potum idem nauseosum est.

* turgentibus, Pallad.

F

De Lentiscino & Terebinthino. Cap. L.

Lentiscinum verò similiter atque laurinum ex maturo fructu confectum ac priùs inspissatum, scabiem iumentorum canúmque sanat. Pessis, acopis & ad lepras tollendas accommodatis medicamẽ-
G tis aptè & vtiliter immiscetur: ac sudores etiã cohibet. Eodem quoque modo paratur terebinthinum, quod exiccat & astringit.

De Mastichino. Cap. LI.

Mastichinum è trita mastiche paratur. Contra omnia vuluæ mala efficax est, leniter calfaciens, astringens simul & emolliens. Est & vtile ad prominentes circa stomachum scirrhos, vt & ad cœliacorum dysentericorúmque cruciatus. Vitia quæ sunt in facie emendat, colorémque meliorem pręstat. Optimũ verò in Chio insula componitur.

De Vnguentorum compositione. Cap. LII.

QVANDOQVIDEM vnguẽta nonnullis affectibus accommodantur, partim medicamentis admixta, partim instillata seu perfusa, partim etiã naribus obiecta, consequens esse ducimus, vt horum quoque tractationẽ persequamur. Eorũ porrò periculum facientes obseruare oportet, an illud olfactui repręsentent, ex quo temperamentũ ipsorũ constat. Optimum siquidem est huiuscemodi iudiciũ. Attamẽ id in nõnullis locũ non habet, propter vehementiorũ quæ miscentur pręualẽs dominiũ: velut in amaracino, crocino & telino, nec non & alijs quibusdã: quę quidẽ ex crebra circa ipsa exercitatione ꝓbare cõueniet.

De Rosacei præparatione. Cap. LIII.

Rosaceum oleum fit hoc modo: Iunci odorati contusi & aqua subacti libras quinq; & bessem in olei libris xx & quincunce subinde mouẽdo coquito: deinde vbi percolaueris, in olei libris illis xx & quincunce rosarũ numero mille nõ madefactarũ foliola conijcito: vnctísq; melle odorato manibus sensim aliquantulũ premẽs identidẽ moueto: deinde vbi noctẽ vnã siueris, exprimito. Quũ verò id quod fæculentũ est subsederit, mutato recipiẽte vase in craterẽ melle oblitũ recõdito. Porrò expressis rosis in labellũ coniectis olei inspissati libras viij & quadrantẽ affundito, iterũq; exprimito: erítq; hoc tibi secundariũ oleũ. Quòd si volueris ad tertiam vsque quartámve macerationem progredi, toties oleum rosis affundito & exprimito. Fit enim & primarium & secundarium & tertiarium & quartarium vnguentum. Sed quoties id feceris, crateras melle priùs oblinito. Sin secundam iniectionem insti-

A Περὶ Μαστιχελαίου. Κεφ. να΄.

Τὸ δὲ μαστίχινον ἐκ τῆς μαστίχης λείας σκευάζεται. ποιεῖ δὲ πρὸς τὰ ἐν ὑστέρᾳ πάντα, ἠπίως θερμαῖνον, στῦφον, μαλάσσον, καὶ πρὸς τὰ περὶ τὸν στόμαχον ἐπιρριπτόμενα σκιῤῥώματα, καὶ κοιλιακὰ, καὶ δυσεντερικά, καὶ τὰ ἐπὶ τοῦ προσώπου B καθαῖρον, καὶ εὐχροιαν ποιοῦν. συντίθεται δὲ ἐν Χίῳ τῇ νήσῳ κάλλιστον. V. ἐπὶ / Marc. κρεφόμενα

Περὶ συνθέσεως Μύρων. Κεφ. νβ΄.

ΕΠΕΙ δὲ καὶ τὰ μύρα εὔθετα ἐπ᾽ ἐνίων παθῶν, καὶ μιγνύμενα φαρμάκοις καὶ ἐμβρεχόμενα καὶ ὀσφραινόμενα, ἀκόλουθον ἡγούμεθα καὶ τῆς τούτων παραδόσιν ποιήC σασθαι. ἃ δεῖ δοκιμάζοντας ἐπιβλέπειν, εἰ ἀφ᾽ οὗ ἡ κρᾶσις ἐστὶ τοῦ μύρου, ἐκεῖνο ποιεῖ κατὰ τὴν ὄσφρησιν. ἀρίστη δὲ ἐστὶν ἡ τοιαύτη κρίσις. ἐπ᾽ ἐνίων μέντοι οὐ φυλάττεται τὸ τοιοῦτον διὰ ἐπικράτειαν μιγμάτων σφοδροτέρων, ὡς ἐπὶ ἀμαρακίνου καὶ κροκίνου καὶ τηλίνου καὶ ἄλλων τινῶν, ἅπερ ἐκ τῆς περὶ D αὐτὰ γυμνασίας δοκιμαστέον. V. καὶ τῆς τούτων παραδόσεως μεμνῆσθαι. ταῦτα / V. διάκρισις / Al. συγγυμνασίας

Περὶ Ῥοδίνου σκευασίας. Κεφ. νγ΄.

Ῥόδινον ἔλαιον γίνεται οὕτω· σχοίνου λίτρας ε΄. οὐγγίας η΄. τοῦ ἐλαίου λίτρας κ΄. οὐγγίας ε΄ κόψας καὶ φυράσας ὕδατι, ἕψε διακινῶν· εἶτα ἀπηθήσας εἰς τὰς κ΄. λίτρας καὶ οὐγγίας ε΄. ἐλαίου, βάλε ῥόδων E ἀβρόχων ἀριθμῷ χίλια πέταλα καὶ τὰς χεῖρας μέλιτι χρίσας, διακίνει πλεονάκις ὑποθλίβων ἠρέμα· ἔπειτα ἐάσας τὴν νύκτα ἔκθλιβε· ὅταν δὲ τὸ τρυγῶδες ὑποστῇ, διάγαξον τὸ ὑποδεχόμενον ἀγγεῖον· ἀποτίθεσο δὲ εἰς κρατῆρα μέλιτι κατακεχρισμένον. βαλὼν δὲ εἰς λουτηρίδιον τὰ ἐξιF πωθέντα ῥόδα, ἐπίχει λίτρας η΄. οὐγγίας γ΄. τοῦ ἐστυμμένου ἐλαίου, καὶ πάλιν ἔξιπου. ἔσται δέ σοι οὗτο δεύτερον, κἂν βούλῃ, ἄχρι γ΄. ἢ δ΄. ἀποβροχῆς ἐπιχέων ἔξιπου. γίνεται γὰρ τὸ μὲν α΄. τὸ δὲ β΄. τὸ δὲ γ΄. τὸ δὲ δ΄ μύρον. ὁσάκις δ᾽ ἂν ποιῇς, τοὺς κρατῆρας προκατάχριε μέλιτι. εἰ G δὲ θέλεις δευτέραν ἐμβολὴν ποιή- V. ἐν ὕδατι / Al. ἐρύθρων / Aldinũ exẽplar & v. cod. inserũt hoc loco, ἢ κυπείρου λίτραν α΄. ἐλενίου λίτραν α΄. καλάμου λίτραν α΄. ἐλαίου ξέστας ς΄. ῥόδων ξέστην α΄ καὶ ἥμισυ / V. addit ἐνώδει / V. ἡμέραν. εἶτα / Ald. ξ΄. Sic & Pal. / V. ἄχρι τρίτης ἢ τετάρτης βροχῆς / Al. ἐπιβολὴν

σαθαι, εἰς δὲ τὸ πρῶτον ἐξιπωθὲν ἔλαιον A
ἴσον ἀριθμὸν προσφάτων ῥόδων ἀ-
V. ἀνακινήσας
βρόχων ἔμβαλε, καὶ ἀνακινῶν ταῖς χερ-
σὶ προδεδευμέναις μέλιτι, ἐκπίεζε,
καὶ ποίει τὸ δεύτερον καὶ τρίτον καὶ τέ-
ταρτον ὁμοίως ἐκθλίβων. καὶ ὁσάκις
δ' ἂν ποιῇς τοῦτο, νεαρὰ ὀνυχίζων πρόσ-
βαλλε ῥόδα. δυναμικώτερον γὰρ γίνε- B
ται· ἄχρι δὲ ἑβδόμης ἐμβροχῆς ἐπιδέ-
Flor. ἐμβροχῶν
χεται τὸ ἔλαιον τὴν ἐμβολὴν τῶν ῥό-
δων, ἔπειτα δὲ οὐκέτι· χριέσθω δὲ καὶ
ἡ ληνὸς μέλιτι· δεῖ δὲ ἐπιμελῶς τὸ ἔ-
λαιον τοῦ χυλοῦ χωρίζειν· ἀπολειφθὲν
γὰρ τοὐλάχιστον, τὸ μύρον φθείρει. ἔνιοι δὲ
V. θλάσαντες
αὐτὰ μόνα τὰ ῥόδα ὀνυχίσαντες καὶ ἡ- C
λιάσαντες, ἐναποβρέχουσι τῷ ἐλαίῳ ἔ-
χοντα σταθμὸν οὐγγίας ϛ'. εἰς μίαν ξέστην
V. μαλάσσοντες
V. παρ' ἡμέρας ζ' ἡλιάζουσι
ἐλαίου, καὶ ἀλλάσσοντες ἡμέρας η'. καὶ
ἡλιάζοντες ἐπὶ ἡμέρας μ'. ἄχρι τρίτης
V. καὶ οὕτως
ἐμβροχῆς, οὕτως ἀποτίθενται. ἔνιοι δὲ
προστύφουσι τὸ ἔλαιον, κάλαμον καὶ ἀ-
σπάλαθον ἐμβάλλοντες· οἱ δέ, καὶ ἄγχου- D
σαν ἕνεκεν εὐχροίας, καὶ ἅλας πρὸς τὸ
V. & Ruellii codex, μὴ ὄζειν.
V. ψύχουσαν
μὴ φθείρεσθαι. Δύναμιν δ' ἔχει στυπτικήν,
ψυκτικήν. εὔθετον εἰς ἐμβρέγματα καὶ κα-
ταπλασμάτων μίξεις· λύει δὲ καὶ κοιλίαν
V. καύσωνα
ποτιζόμενον, καὶ καῦσον σβέννυσι στομά-
χου. ἔστι δὲ καὶ θρεπτικὸν κοίλων ἑλκῶν,
καὶ τῶν κακοήθων πραϋντικόν, ἀχώρων E
V. ἐπάλειμμα
καὶ ἐκζεμάτων ἐπάλειμμα. καὶ κεφα-
Lacuna legit, ἐμβρεγμα ἐν ἀρχῇ, ὀδονταλγίας τε διάκλυσμα·
λαλγίας ἔμβρεγμα, ἐν ἀρχῇ ὀδον-
ταλγίας διάκλυσμα· ποιεῖ δὲ καὶ πρὸς
βλέφαρα ἐσκληρυμμένα ἐγχριόμενον,
πρός τε ἐντέρων ἐρεθισμοὺς καὶ ὑστέρας
ἐγκλυζόμενον χρήσιμον.

Περὶ Ἐλατίνου σκευασίας. F
Κεφ. νδ'.

V. κλάσας
Ald. διακνήσας
Ἐλάτην θλάσας καὶ διακνί-
V. ἐμβαλών τε εἰς λουτῆρα ἐπίχει
σας ἔμβαλε εἰς λουτῆρα, καὶ ἐπίχει
ὀμφάκινον ἔλαιον ἐπὶ ἡμέρας γ'. ἀνελό-
μενός τε εἰς σπυρίδα ἐξίπου. ἔστω δὲ ἑ-
κάτερα ἰσοσταθμα. εἶτα ἀποθέμενος ἐν G
V. καθαρῷ ἐν ἀγγείῳ
καθαρῷ ἀγγείῳ, χρῶ. Δύναμιν δὲ ἔ-
χει ἀναλογοῦσαν τῷ ῥοδίνῳ, κοιλίαν δὲ
οὐ μαλάσσει.

tuere libet, in primò expressum oleum recentiũ ac minimè madidarũ rosarũ parem numerũ immittito, & manibus melle priùs imbutis agitans exprimito: ac secundò, tertiò aut quartò, simili modo exprimens facito, totiésque recentes rosas detractis vnguibus adijcito. Sic enim oleum multò potentius euadet. Porrò ad septimam infusionẽ oleum iniectionẽ rosarum admittit, præterea verò minimè. Cæterùm melle prælum illinatur: oleum à succo diligenter secerni oportet. Nam si huius vel tantillum relinquatur, vnguentum vitiabit. Sunt qui rosas ipsas solas vnguibus detractis insolatas selibræ põdere immergunt in olei sextarium vnum: ac per dies octo permutantes, & ad dies XL insolátes sic vt tertiò rosarum maceratio fiat, ita recondunt. Nonnulli additis calamo & aspalatho oleum priùs inspissant: alij anchusam pulchri coloris conciliandi gratia & salem quò minus corrumpatur, adijciunt. Vim astringendi & refrigerandi obtinet, irrigationibus & cataplasmatum mixtionibus accommodatam. Aluum quoque potum soluit, ardorémque stomachi restinguit. Caua item vlcera nutrit ac replet: maligna verò demulcet. Ad manantia capitis vlcera ac feruidas eruptiones illinitur. Caput dolens eo perfunditur. Ad dentium dolores inter initia colluitur. Illitum quoque ad palpebras induratas efficax est: denique ad intestinorum ac vuluæ rosionem proritationémve vtiliter infunditur.

De Elatini confectione.
Cap. LIIII.

Tusam discerptámque elaten (hoc est, florentium adhuc palmarum fructus corticem seu inuolucrum) in labrum cõnijcito, & omphacinum oleum affundito: in quo tridui spatio eam macerari sinito. Mox fiscella excipito & exprimito. Sint verò vtraque paria pondere. Tandem vbi vase mundo reposueris, vtitor. Vim habet rosaceo proportione respondentem: sed aluum minimè mollit.

De Melini compositione. Cap. LV.

Oleum melinum hunc in modum præparatur. Vbi olei sextarios sex & aquæ sextarios decem simul commiscueris, spathę seu elatę cõtusæ vnc.iij.iũci odorati vnc.j.adiicito: ac posteaquam diem vnum macerari siueris, coquito. Mox excolatum oleum in vas oris lati coniicito, ac imposita matta arundinacea aut storea rariore, mala cotonea desuper insternito, eáque obuelata vestimẽtis ad dies satis multos sinito, dum oleum malorum vires ad sese allexerit. Alij mala operimentis obuoluunt ad dies decem, vt coerceatur, miniméq; exhalet odoris suauitas: ac postea duorũ dierum totidémque noctium spatio in oleo macerant, tandémque oleum expressum recondunt. Vim porrò astringentem & refrigeratoriã obtinet: facítque ad scabiosa vlcera, furfures, perniones & herpetas. Ad vuluæ exulcerationes commodè instillatur: quin & concitatam vrinam infusum sistit, sudorésque cohibet. Bibitur & contra cantharidas, buprestes & pinorũ erucas. Probatur verò in hoc genere maximè, quod cydonia mala redolet.

De OEnanthini confectione. Cap. LVI.

OEnanthen ex vua (syluestri) odoratam posteaquam marcescere siueris, in oleum omphacinum coniicito, & vndiquaque versando agitato: porrò cum ad biduum siueris, exprimito atque reponito. Vim habet astrictoriã rosaceo proportione respondentem, præterquàm quòd aluum neque soluit neque mollit. Probatissimum verò etiam est, quod œnanthen odore quam maximè refert.

De Telini componendi ratione. Cap. LVII.

Fœnigræci libras v. olei libras IX. calami libram vnam, cyperi libras ij macera in oleo ad dies septem, ita vt ter quotidie agites: dein exprimito atque reponito. Sũt qui pro calamo quidem cardamomum, pro cypero verò xylobalsamum simul macerant: alij oleum iis ipsis priùs inspissant, ac deinde fœnumgræcum in ipso macerant,

A Περὶ Μηλίνου σκευασίας. Κεφ. νε'.

Ἔλαιον μήλινον σκευάζεται ⓐ τρόπον τοῦτον· ἐλαίου ξέστας ς'. ὕδατος ξέστας ι'. μίξας, προσέμβαλε * λαπάθης τεθλασμένης οὐγγίας γ'. σχοίνου οὐγγίαν α'. καὶ ἐάσας ἡμέραν μίαν, ἕψησον. εἶτα ἀπηθήσας τὸ ἔλαιον, βάλε εἰς ἀγγεῖον πλατύστομον, (V. hac prima periodo caret.) (Al. γ.) (Lege σπάθης, vel ἐλάτης.)
B ἐπιθεὶς τε ῥίπον ἐκ καλάμου, ἢ ψίαθον ἀραιάν, ἄνωθέν τε ἐπιθεὶς κυδώνια μῆλα, καὶ περικαλύψας ἱματίοις, ἔασον ἡμέρας ἱκανάς, ἕως ἂν ἐπισπάσηται τὴν ἀπὸ τῶν μήλων δύναμιν τὸ ἔλαιον. ἔνιοι δὲ τὰ μῆλα περιβάλλοντες ἱματίοις ἐπὶ ἡμέρας ι', ἵνα συνέχηται καὶ μὴ διαπνέηται (Par. ῥῦπον) (Al. παλαιάν) (V. non habet ἐπὶ)
C ἡ εὐωδία, μετὰ ταῦτα ἀποβρέχουσι τῷ ἐλαίῳ ἡμέρας β' καὶ νύκτας. εἶτα ἐκπιέσαντες ἀποτίθενται. Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν, ποιοῦν πρὸς τὰ ψωρώδη ἕλκη καὶ πίτυρα, χίμετλα, ἕρπητας, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ ἑλκώσεις ἐγχυματιζόμενον, οὖρά τε ἠρεθισμένα στέλλει ἐγκλυζόμενον, (V. non habet καὶ)
D καὶ ἱδρῶτας ἐφίστησι. πίνεται δὲ καὶ πρὸς κανθαρίδας, βουπρήστεις, πιτυοκάμπας. ἔστι δὲ αὐτοῦ δόκιμον τὸ κυδωνίων ὄζον μήλων. (Vulg. πιτυοκάμπαις)

Περὶ Οἰνανθίνου σκευασίας. Κεφ. νς'.

Οἰνάνθην τὴν ἐκ σταφυλῆς εὐώδη
E μαράνας, βάλε εἰς ὀμφάκινον ἔλαιον, καὶ κίνει μεταστρέφων· ἐάσας δὲ ἡμέρας δύο, ἐκπίεσον, καὶ ἀπόθεσο. Δύναμιν δὲ ἔχει στυπτικήν, ἀνάλογον οὖσαν τῇ τοῦ ῥοδίνου, ἐκτὸς τοῦ τὴν κοιλίαν λύειν καὶ μαλάσσειν. καὶ τούτου δὲ ἐστὶ δοκιμώτατον, τὸ ἐμφαῖνον ἐν τῇ ὀσμῇ τὴν οἰνάνθην.

F Περὶ Τηλίνου σκευασίας. Κεφ. νζ'.

Τήλεως λίτρας ε'. ἐλαίου λίτρας θ'. καλάμου λίτραν α'. κυπείρου λίτρας β'. ἀπόβρεχε τῷ ἐλαίῳ ἐπὶ ἡμέρας ζ'. κινῶν ἑκάστης ἡμέρας τρίς. εἶτα ἐκπίεσον καὶ ἀπόθεσο. οἱ δὲ, ἀντὶ μὲν καλάμου (V. θ'.) (V. ε'.) (V. κινῶν τρίτον. & sic etiam habet Aetius.)
G καρδάμωμον, ἀντὶ δὲ τῆς κυπείρου, ξυλοβάλσαμον συναποβρέχουσιν. ⓘ δὲ, προστύφουσι τὸ ἔλαιον τούτοις· καὶ μετὰ ταῦτα τὴν τῆλιν ἀποβρέχοντες

THVS in ea quidem Arabia gignitur, quæ thurifera cognominatur. At primas tenet masculum stagonias appellatum, naturæ sponte rotundum. Tale autem minimè sectum est, candidúmque visitur, & cùm frangitur intrinsecus pingue, cúmque adoletur, statim ardet. Indicum verò subfuluum est & liuido colore, sed rotundum etiam arte & industria factitatur. Nam in quadrangulares formas dissectum fictilibus tandiu versant atque volutãt, donec formam rotundam contraxerit. Verùm huiusmodi thus tempore flauescit, atomúmq; aut syagrium appellatur. Secundũ locum tenet orobium, quódque in Amelo nascitur. Id nonnulli copiscum nominant, & minus ac fuluius existit. Est & genus quoddã cui amomitæ cognomen, quódque cætera candidum quidem est, at dum mollitur subigitúrve, mastiches more digitis cedit. Adulteratur porrò thus omne pinea resina & gummi artificiosè tractatum. Sed maleficium facilè deprehenditur. Siquidem incensum gummi flammam nõ concipit: resina in fumũ vanescit, thus verò exardescit. Eiusmodi præterea fraudem & odor ipse prodit.

Calfaciendi astringendíq; vi pollet, nec non & ea exterẽdi quæ pupillis caliginem offundũt. Caua vlcera implet & ad cicatricem perducit. Cruẽta vulnera glutinat: sanguinis eruptionem omnem cohibet, ac eam etiam ipsam quæ fit è meningibus. Cum lacte tritum & linamento exceptum sedis ac reliquarũ partium maligna vlcera mitigat. Myrmecia inter initia impetiginésque ex aceto & pice illitum tollit. Quin & igni ambusta vlcera pernionésque cum adipe suillo aut anserino sanat. Vlcera verò capitis manantia cum nitro affrictum percurat. Paronychijs cum melle, & contusis auribus cum pice medetur. Ad reliquos autem aurium dolores cum vino dulci vtiliter infunditur. Perunctum quoque cum cimolia & rosaceo mammis confert

A κατεργάζεται δὲ κοπτόμενον, παραχεομένου οἴνου ἢ ὕδατος θερμοῦ.

Περὶ Λιβάνου. Κεφ. πα΄.

ΛΙΒΑΝΟΣ γεννᾶται μὲν ἐν Ἀραβίᾳ τῇ λιβανοφόρῳ καλουμένῃ. πρωτεύει δὲ ὁ ἄρρην καλούμενος σταγονίας, στρογ-
B γύλος φυσικῶς. ἔστι δὲ ὁ τοιοῦτος ἄτομος, λευκός τε καὶ θλασθεὶς ἔνδοθεν λιπαρός, ἐπιθυμιαθείς τε ταχέως ἐκκαιόμενος. ὁ δὲ Ἰνδικὸς ὑπόκιρρός τέ ἐστι, καὶ πελιὸς τὴν χρόαν. γίνεται δὲ καὶ κατὰ τέχνην ἐπιτήδειος στρογγύλος· τέμνοντες γὰρ αὐτὸν εἰς τετράγωνα σχήματα καὶ ἐμβάλλοντες εἰς κεράμια, κυλίου-
C σιν ἕως ἂν ἀπολάβοι τὸ στρογγύλον σχῆμα· χρόνῳ δὲ ὁ τοιοῦτος ξανθοῦται, ἄτομος ἢ σύαγρος καλούμενος. δευτερεύει δὲ ὁ * Ἀραβίας καὶ ὁ ἐν Ἀμήλῳ, ὃν ἔνιοι κοπίσκον καλοῦσι, μικρότερον καὶ κιρρότερον ὄντα. λέγεται δέ τις καὶ ἀμωμίτης, ἄλλως μὲν λευκός· ἐν δὲ τῷ μαλάσσε-
D σθαι ἐνδιδοὺς ὡς μαστίχη. δολοῦται δὲ πᾶς λίβανος τῇ πιτυίνῃ ῥητίνῃ μεθοδευόμενος, καὶ κόμμι. εὐχερὴς δέ ἐστιν ἡ διάγνωσις. τὸ μὲν γὰρ κόμμι οὐκ ἐκφλογοῦται θυμιώμενον, ἡ δὲ ῥητίνη εἰς καπνὸν ἐκτυφοῦται· ὁ δὲ λίβανος ἐξάπτεται. δηλοῖ δὲ καὶ ἡ ὀσμὴ τὸ τοιοῦτο. Δύναται
E δὲ θερμαίνειν, στύφειν, ἀποκαθαίρειν τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ κοῖλα τῶν ἑλκῶν πληροῦν καὶ ἀπουλοῦν, κολλᾶν τε ἔναιμα τραύματα, αἱμορραγίαν τε πᾶσαν, καὶ τὴν ἐκ μηνίγγων ἐπέχειν· παρηγορεῖ καὶ τὰ περὶ δακτύλιον καὶ τὰ λοιπὰ μέρη κακοήθη ἔμμοτος λεῖος, σὺν
F γάλακτι. καὶ τὰς ἐν ἀρχῇ μυρμηκίας καὶ λειχῆνας σὺν ὄξει καὶ πίσσῃ καταχριόμενος αἴρει. καὶ τὰ πυρίκαυστα δὲ ἕλκη καὶ χίμετλα ἰᾶται σὺν στέατι χοιρείῳ ἢ χηνείῳ· ἀχῶρας δὲ σὺν νίτρῳ σμώμενος ἰᾶται, παρωνυχίας τε σὺν μέλιτι, ὤτων θλάσεις σὺν πίσσῃ· πρὸς
G δὲ τὰ λοιπὰ ἀλγήματα τῶν ὤτων, σὺν οἴνῳ γλυκεῖ ἐγχεόμενος, μαστούς τε τοὺς ἀπὸ τοκετῶν φλεγμαίνοντας σὺν κιμωλίᾳ καὶ ῥοδίνῳ καταχριόμενος

Vetus his subdit, τὸ δὲ Ἀραβικὸν αὐγέστερον.

V. λιβανωτοφόρῳ

Orib. ἄτμητος

Marc. & Corn. ἔντομος legisse videntur. Al. σαγρὸς

Marc. ὀρεβίας καὶ ὁ μηλιωτὸς

Par. σμίλῳ. V. ἀμίλῳ

V. ὁ μὲν περὶ λιβ.

V. κατουλοῦν καὶ κολλᾶν τὰ ἔναιμα

V. ἐπέχει. παρηγορεῖ δὲ καὶ τὰ

Serapio legit ἐλαίῳ

confiagrat

ὠφελεῖ· μίγνυται δὲ καὶ τοῖς πρὸς ἀρτηρίαν ὠφελίμοις, καὶ τοῖς σπλαγχνικοῖς φαρμάκοις, αἱμοπτοϊκοῖς τε ὠφελεῖ πινόμενος· μανιώδης δὲ ἐστι πινόμενος ὑπὸ τῶν ὑγιαινόντων, πλείων δὲ μετ' οἴνου ποθεὶς καὶ κτείνει. καίεται δὲ λίβανος ἐπ' ὀστράκου καθαροῦ τεθεὶς, ὑφαπτόμενός τε χόνδρῳ ἀναφθέντι ἀπὸ λύχνου, ἄχρις ἂν ἐκκαῇ· δεῖ δὲ μετὰ τὴν τελείαν καῦσιν πωμάζειν τινὶ, ἄχρις ἂν σβεσθῇ· οὕτω γὰρ οὐκ ἐκτεφροῦται. ἔνιοι δὲ περιτιθέασι τῷ λοπαδίῳ ἄγγεον χαλκοῦν, κοῖλον κατὰ μέσον τετρημένον, πρὸς ἔκληψιν τῆς λιγνύος, ὡς ὑποδείξομεν ἐν τῷ περὶ αἰθάλης λιβάνου λόγῳ. οἱ δὲ, εἰς ὠμὴν χύτραν ἐμβαλόντες καὶ περιπλάσαντες πηλῷ, καίουσιν ἐν καμίνῳ. φώγνυται δὲ ἐπ' ὀστράκου καινοῦ καὶ ἀνθράκων διαπύρων, ἕως ἂν μηκέτι πομφολυγίζῃ, μηδὲ λιπαρίαν τινὰ ἢ ἀτμίδα ἀνίῃ. θρύπτεται δὲ εὐχερῶς κατακεκαυμένος.

V. addit καὶ λίθους τρίψασι

V. ἀγωνιζόντων

V. πωματίζειν

V. ἔνιοι δὲ καὶ περιτιθέασι
V. κατατετρημμένον μέσον εἰς ἔκληψιν

V. περιπλάσαντες

Περὶ φλοιοῦ Λιβάνου. Κεφ. πβ'.

Φλοιὸς δὲ λιβάνου διαφέρει ὁ παχὺς καὶ λιπαρὸς καὶ εὐώδης, πρόσφατος, λεῖος καὶ μὴ λεπρώδης ἢ ὑμενώδης. δολοῦται δὲ μιγνυμένου αὐτῷ φλοιοῦ στροβιλίνου ἢ πιτυΐνου· ἔλεγχος δὲ καὶ τούτων τὸ πῦρ· οἱ μὲν γὰρ λοιποὶ θυμιαθέντες οὐκ ἀνάπτονται, καπνιζόμενοι δὲ δίχα εὐωδίας ἐκτυφοῦνται· ὁ μέντοι τοῦ λιβάνου φλοιὸς ἅπτεται καὶ μετ' εὐωδίας ἐκθυμιᾶται. καίεται δὲ καὶ οὗτος ὡς λίβανος. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν καὶ ὁ λίβανος, ἐνεργέστερος ὢν καὶ στυπτικώτερος. ὅθεν ποθεὶς, αἱμοπτοϊκοῖς μᾶλλον καὶ ῥοϊκοῖς ἁρμόζει ἐν προσθέτῳ· ποιεῖ καὶ πρὸς οὐλὰς ἐν ὀφθαλμοῖς, καὶ κοιλώματα καὶ ῥυπαρείας. φωχθεὶς δὲ καὶ πρὸς ψωροφθαλμίας ποιεῖ.

V. cod. & Ald. addunt. καὶ ὁ

Περὶ Μάννης Λιβάνου. Κεφ. πγ'.

Μάννα δὲ λιβάνου δόκιμός ἐστιν ἡ λευκὴ καὶ καθαρὰ, ἔγχονδρος. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν καὶ ὁ λιβανωτὸς, ὑποανειμένως δὲ μᾶλλον. μίσγουσι δὲ ἔνιοι δολίζοντες ῥητίνην πιτυΐνην σεσησμένην καὶ γύριν, ἢ φλοιὸν λιβανωτοῦ κεκομμένου·

A à partu inflammatis. Sic & arteriæ internorúmque viscerum medicamentis vtiliter ammiscetur, & sanguinem expuentes potu iuuat. Verùm in secũda valetudine haustum furorem inducit, & largius cum vino potum etiam interficit. Cæterùm thus in fictili mundo positum crematur grano succẽsum de lucerna
B accẽso, donec exuratur: post perfectam autem vstionem operculo quodã integere oportet, vsquedum restinguatur: sic enim in cineres minimè redigitur. Nonnulli porrò ollulæ vas æneum cauum & in medio perforatum superimponunt ad fuliginem excipiendã, veluti mox, cùm de thuris fuligine fiet mentio,
C demonstrabimus. Alij in ollam crudam luto oblitam immittũt, vrúntque in fornace. Torretur quoque candẽtibus carbonibus in fictili nouo, dum nõ ampliùs bullet, aut pinguitudinem vaporémve vllũ emittat. Friatur verò facilè quod peruſtum eſt.

D *De Thuris cortice. Cap. LXXXII.*

Cortex thuris prestat crassus, pinguis, odoratus, recens, læuis ac minimè scaber aut membranaceus. Adulteratur autem admixto strobilino aut pineo cortice. Sed & horum index est ignis. Siquidem reliqui cortices incensi nequaquã conflagrant, sed citra odoris gratiam in
E fumum euanescũt: thuris verò cortex ardet, & cum odoris fragrantia suffitur. Cæterùm & hic ipse thuris modo vritur. Vis autem ei eadem quæ thuri, verùm efficacior & magis astrictoria. Quare potus sanguinem expuentibus accommodatior est, itémque alui vterí ve fluxione laborãtibus noduli vice sub-
F ditus. Est & ad oculorum cicatrices, cauitatésque ac sordes efficax. Torrefactus autem scabris etiam lippitudinibus auxiliatur.

De Manna thuris. Cap. LXXXIII.

Manna thuris probatur candida,
G pura & granosa. Vim habet eandem quã thus, sed aliquantò remissiorem. Sunt qui admixtis resina pini cribrata & polline, aut etiã thuris contusi cortice ipsam adulterẽt.

Sed hæc quoque maleficia ignis arguit. Neque enim incensa æquè ac pari vigore aëris modo purum vaporē, sed fuliginosum & impurū emittet. Quin & odori grato permixta graueolentia comperietur.

De Thuris fuligine. Cap. LXXXIIII.

Thuris verò fuliginem sic facito: Thuris grana forcipicula singulatim apprehensa de lucerna accendito, & in nouam fictilem ollam concauam imponito. Deinde æreo vase introrsum cauo ac in medio perforato diligēterque deterso obtegito. Tùm ex altera eius parte, aut etiam vtrinque lapillos quaternûm digitorum altitudine subijcito, quò faciliùs introspici queat, vtrum illa vrantur: & locus vt sit per quem grana alia supponas, priusquā granum primum penitus restinctum fuerit. Hoc verò facies, donec sat fuliginis collegisse videare. Assiduè tamen externas æramenti partes aqua frigida ex spongia vndique imbuito. Sic enim ipso non magnoperè calente fuligo omnis firmiùs adhęrescit, quæ alioqui sua leuitate delapsa thuris cineri permiscetur. Derasa itaque prima fuligine, idem opus repetito, quoties visum fuerit: ac cinerem quoque è cremato thure seorsim excipito. Cæterùm illa oculorum inflammationes leniendi vi pollet, fluxiones cohibet, vlcera expurgat, caua explet, & carcinomata compescit.

De Fuliginis confectione. Cap. LXXXV.

AD eundem modum è myrrha, resina & styrace fuligo conficitur, quam ad eadem accommodant. Ex reliquis quoque lachrymis fuliginem similiter excipito.

De Pinu. Cap. LXXXVI.

PINVS vulgo nota arbor est. Eiusdem verò generis est quæ picea dicitur: specie siquidem duntaxat hæc ab illa differt. Vtriusque cortex astrictorius est: ad intertrigines tritus & inspersus confert, itémque ad superficiaria vlcera & ambusta cū argēti spuma & manna.

A ἐλέγχει δὲ ταῦτα τὸ πῦρ. οὔτε γὰρ καὶ
ἴσον καὶ ἰσοτόνως θυμιαθήσεται ἀερίζουσα τὸν
ἀτμὸν, ἀσβολώδης δὲ καὶ οὐ καθαρὸς, ἥ τε
εὐωδία μικτὴν ἔχει τὴν ἀποφοράν.

Περὶ αἰθάλης λιβανωτοῦ. Κεφ. πδ'.

Αἰθάλην δὲ λιβανωτοῦ ποίει οὕτω·
λαβιδίῳ καθ' ἕνα χόνδρον τοῦ λιβάνου ἅ-
B πτων πρὸς λύχνον, ἐπιτίθει εἰς κοῖλον λο-
πάδιον ὀστράκινον καινόν· εἶτα περικάλυ-
ψον χάλκωμα ἔγκοιλον, τετρημένον κατὰ
μέσον καὶ ἐσμηγμένον ἐπιμελῶς, *ἐπι-
τίθει τε κατὰ τὸ ἕτερον αὐτοῦ μέρος ἢ ἀμ-
φότερα, λιθάρια ὕψει τετραδακτυ-
λιαῖα πρὸς τὸ διαφαίνεσθαι εἰ καίεται. καὶ
C ἵνα χώρα ᾖ ὑποτιθέναι ἑτέρους χόν-
δρους ἀεὶ, πρὸ τοῦ τὸν πρῶτον χόνδρον
ἀποσβεσθῆναι παντελῶς· καὶ τοῦτο ποίει,
ἕως ἂν αὐτάρκη λιγνὺν δόξῃς συνηγο-
χέναι. συνεχῶς μέντοι σπόγγῳ ἐξ ὕδα-
τος ψυχροῦ περίμασσε τὰ ἐκτὸς μέρη τοῦ
χαλκώματος· οὕτω γὰρ προσκαθίζει
D πᾶσα λιγνὺς, μὴ ἄγαν αὐτοῦ πυρουμένου·
ἐπεὶ ἀποπίπτουσα διὰ τὴν κουφότητα,
μίγνυται τῇ τοῦ λιβάνου σποδῷ. ἀποψή-
σας οὖν τὴν πρώτην λιγνὺν, ποίει τὸ αὐτὸ
ἐφ' ὅσον ἂν δοκῇ, ἀναιροῦ δὲ καὶ τὴν ἐκ τοῦ
καέντος λιβάνου σποδὸν ἰδίᾳ. Δύναμιν
δὲ ἔχει πραϋντικὴν τῶν ἐν ὀφθαλμοῖς φλε-
E γμονῶν, σταλτικὴν ῥευμάτων, ἀνακαθαρ-
τικὴν ἑλκῶν, πληρωτικὴν κοιλωμάτων,
σταλτικὴν καρκινωμάτων.

Περὶ λιγνύος σκευασίας. Κεφ. πε'.

ΤΟν αὐτὸν δὲ τρόπον σκευάζεται καὶ ἐκ
τῆς σμύρνης καὶ ἐκ τῆς ῥητίνης, καὶ ἐκ τοῦ
στύρακος λιγνύς· ἁρμόζουσι δὲ πρὸς τὰ αὐ-
F τά. καὶ ἐκ τῶν λοιπῶν δὲ δακρύων ὁμοίως
τὴν λιγνὺν λάμβανε.

Περὶ Πίτυος. Κεφ. πς'.

ΠΙΤΥΣ γνώριμον δένδρον· ἔστι δὲ τοῦ
αὐτοῦ γένους καὶ ἡ λεγομένη πεύκη,
εἴδει διαφέρουσα· ἀμφοτέρων δὲ ὁ
G φλοιὸς στυπτικὸς, ἁρμόζων πρός τε πα-
ρατρίμματα λεῖος καταπλασσόμε-
νος, καὶ πρὸς τὰ ἐπιπόλαια τῶν ἑλκῶν καὶ
κεκαυμένα σὺν λιθαργύρῳ καὶ μάννῃ.

V. addit ὡς ἐλέγομεν.

V. καὶ τῇ εὐωδίᾳ

V. προστιθεὶς λύχνῳ

V. εἰς καινὸν λοπάδιον ὀστράκινον κενὸν

Ald. codex in nothis ἕτερον προσεπιτίθει. ἕως ἂν ὑποθῇς κατὰ τὸ ἕτερον αὐτοῦ χεῖλος ἢ εἰς ἀμφότερα

Hæc verba sic leguntur in altero manuscripto ὑποτιθέναι ἀθρόως ἑτέρους πρὸ τοῦ τὸν πρῶτον χόνδρον ἀποσβεσθῆναι παντελῶς, ἕτερον προσεπιτίθει, vt Hermolaus legisse videtur. Goupylus.

V. ἕτερον χόνδρον

ὁμοίως voce V. caret. Ruellius verò hæc latinè omisit.

Par. διαφέρουσα, al. διαφέρουσι

Corn. καταπλασσόμενος

V. ἐπουλοῖ

ἀναληφθεὶς δὲ κηρωτῇ μυρσίνῃ, "ἀπουλοῖ τὰ ἐπὶ τῶν τρυφεροχρώτων ἕλκη· καὶ τὰ ἑρπυστικὰ ἐπέχει μετὰ χαλκάνθης λεῖος, ἔμβρυά τε καὶ δεύτερα * ὑστέρα θυμιαθεὶς ἐκβάλλει, κοιλίαν τε ποθεὶς ἐφίστησι, καὶ οὖρα κινεῖ. καὶ τὰ φύλλα δὲ αὐτῶν "καταπλασθέντα λεῖα φλεγμονὰς παρηγορεῖ, καὶ τραύματα ἀφλέγμαντα διατηρεῖ· "λειανθέντα δὲ καὶ ἑψηθέντα ἐν ὄξει, ὀδονταλγίας πραΰνει διακλυζόμενα θερμά· ἁρμόζει δὲ καὶ ἡπατικοῖς τῶν φύλλων ὁλκὴ μία σὺν ὕδατι ἢ μελικράτῳ ποθεῖσα. ποιεῖ δὲ τὰ αὐτὰ καὶ ὁ "τῆς στροβίλου φλοιὸς καὶ τὰ φύλλα ποθέντα. καὶ τὸ ἐξ αὐτῶν δὲ δᾳδίον σχισθὲν εἰς λεπτὰ καὶ ἑψηθὲν "σὺν ὄξει, ὀδονταλγίας "πραΰνει, κατακρατουμένου τοῦ ἀφεψήματος κατὰ τοῦ πεπονθότος ὀδόντος. καὶ σπάθη δὲ ἐξ αὐτῶν γίνεται εἰς ἀκόπων σκευασίας καὶ πεσσῶν ἐπιτήδειος· ἡ δὲ ἐξ αὐτῶν λιγνὺς καιομένων ἐκλαμβάνεται πρὸς μέλανος γραφικοῦ κατασκευήν, ποιοῦσα καὶ πρὸς καλλιβλέφαρα καὶ κανθοὺς βεβρωμένους, πρός τε πτίλα βλέφαρα καὶ ὀφθαλμοὺς δακρύοντας.

V. quidam κα-ταπασσόμενα

Ald. λειωθέντα

Sunt qui legant, στρόβιλος τῷ φλοιῷ καὶ τοῖς φύλλοις ποθεὶς καὶ ἐπιτεθείς

V. caret. al. συνεψηθὲν ὄξει

Al. παύει

"Περὶ Πιτυΐδων. Κεφ. πζ.

Πιτυΐδες δὲ καλοῦνται ὁ καρπὸς τῶν πιτύων [καὶ τῆς πεύκης] ὁ εὑρισκόμενος ἐν τοῖς κώνοις. Δύναμιν δὲ ἔχουσι "στυπτικήν, θερμαίνουσαν ποσῶς. βοηθοῦσι δὲ "βηξὶ καὶ τοῖς περὶ θώρακα πάθεσι, καθ' ἑαυτὰς καὶ μετὰ μέλιτος λαμβανόμεναι.

Hoc caput v. cod. cum præcedente iungit, vti & sequens.

Hæc verba suspicatur Mathiolus alicunde in contextum perperā irrepsisse.

V. πεπτικήν. al. ἔξωθεν στυπτικήν, quasi extremis partibus astringat, intestinis vim calfaciendi adhibeat.

Al. φθίσεσι

Περὶ Στροβίλων. Κεφ. πη.

Στρόβιλοι δὲ καθαρθέντες ἐσθιόμενοι, ἢ μετὰ γλυκέος καὶ σικύου σπέρματος πινόμενοι, οὐρητικοί, ἀμβλυντικοὶ τῶν περὶ κύστιν καὶ νεφροὺς δριμυτήτων. παρηγοροῦσι δὲ καὶ στομάχου δηγμούς, μετὰ ἀνδράχνης χυλοῦ λαμβανόμενοι" ἐξερείδουσί τε ἀτονίαν σώματος, καὶ τὰς τῶν ὑγρῶν" διαφθορὰς ἐξαμβλύνουσιν. ὅλοι δὲ οἱ στρόβιλοι ἀπὸ δένδρων πρόσφατοι" θλασθέντες καὶ ἐν γλυκεῖ ἑψηθέντες, ἁρμόζουσι παλαιαῖς βηξὶ καὶ φθίσεσι," τοῦ ἐξ αὐτῶν ὑγροῦ καθ' ἑκάστην" ἡμέραν λαμβανομένου κυάθων τὸ πλῆθος τριῶν.

V. ἐξαίρουσιν ἀτονίαν. Ita & Corn. Plinius cap. 8. l. 23. διαφορὰς legisse videtur.

Par. θλασθέντες ἐν γλυκεῖ καὶ ἑψηθέντες

Par. addit καὶ

V. non habet ἡμέρας, ita vt καθ' ἑκάστην hoc loco vertendū videatur, singulis vicibus, hoc est, quotiescunque vsus fueris. Sāb.

A Cerato myrteo exceptus vlcera tenella cute præditorum ad cicatricem perducit: eadem illa serpentia cum atramento sutorio tritus cohibet. Suffitu partus & secundas eijcit: potu verò aluum sistit & vrinas mouet. Quin & ipsarum folia trita & imposita inflammationes leniūt, & vulnera ab inflammatione vin-B dicant. Ad læuorem autem trita & in aceto decocta dentium dolores demulcent, si calida colluantur. Prosunt & hepaticis folia, drachmę vnius pōdere ex aqua mulsáve pota. Eadem præstant Strobili cortex foliáque epota. Quinetiam tæda ex ipsis in tenues assulas concisa & in aceto cocta dentium dolores miti-C gat, si qua parte dens dolet decoctum id ore contineatur. Ex ipsis etiam spatha fit, ad acoporum & pessorum præparationes idonea. Quin & ex ijs, dum cremantur, fuligo excipitur, ad librarij atramenti confectionem vtilis: itémque ad medicamenta honestandis palpebris dicata. Erosis quoque oculo-D rum angulis, glabris callosísque genis, & lachrymantibus oculis opitulatur.

De Pityidibus. Cap. LXXXVII.

Pityidum nomine picearum & pinorum fructus appellantur, qui in conis reperiuntur. Vim ha-E bent astrictoriá & aliquatenus excalfacientem. Tussi pectorísque vitijs tum per se, tum etiam cum melle sumptæ auxiliantur.

De Strobilis. Cap. LXXXVIII.

Strobili si repurgati edantur, aut cum passo & cucumeris semi-F ne bibantur, vrinas cient, & humorum acrimoniam hebetant, qui vesicam & renes infestant: sedant & rosiones stomachi sumptæ cum portulacæ succo: necnon corporis infirmitatem roborant, corruptorúmque humorum labem obtundunt. Toti autem strobili ab arbo-G ribus decerpti ac recentes contusi & in passo decocti ad vetustam tussim & tabitudinem conducunt, si ex eo liquore terni quotidie cyathi assumantur.

De Lentisco. Cap. LXXXIX.

LENTISCVS nota arbor est, partibus sui omnibus astrictoria. Etenim ipsius fructus, folium, ramorum & radicis cortex pares vires sortiuntur. Exprimitur & succus ex cortice, radice ac foliis sufficienter in aqua decoctis: quæ deinde vbi à coctione refrigerata fuerit, abiectis foliis iterum coquatur, donec mellis habeat crassitudinem. Valet is, qua pollet astringendi vi, ad sanguinis reiectiones, alui profluuia & dysenterias in potu: itémque contra sanguinis ex vtero eruptiones, atque tum ipsius vteri, tum etiam sedis procidentias. In summa denique acaciæ & hypocistidis vice ipso vti licet. Eadem quoque præstat succus è tritis folijs expressus. Quin & eorum decoctum fotu caua explet, ossáque quæ nondum conferbuerunt obducto callo solidat, ex vtero fluxiones sistit, nomas arcet, vrinas ciet, ac dentes mobiles collutione firmat atque stabilit. Virentes autem surculi arundineorum dentiscalpiorum vice dentibus affricti, eos repurgant. Fit denique & ex ipso lentisci fructu astringens oleum, ad ea quæ astrictionem desiderant accommodatum.

A

Περὶ Σχίνου. Κεφ. πθʹ.

ΣΧΙΝΟΣ δένδρον γνώριμον, στυπτικὸν ὅλον· καὶ γὰρ ὁ καρπὸς αὐτῆς καὶ τὸ φύλλον καὶ ὁ φλοιὸς τῶν κλάδων καὶ τῆς ῥίζης ἰσοδυναμοῖ. γίνεται δὲ καὶ χύλισμα ἐκ τοῦ φλοιοῦ, καὶ τῆς ῥίζης καὶ τῶν φύλλων ἑψημένων σὺν ὕδατι ἐφ' ἱκανόν· B εἶτα μετὰ τὸ ἐψυχθῆναι τῶν φύλλων ῥιπτομένων, τοῦ ὕδατος δὲ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. ποιεῖ δὲ στύφων πρὸς αἵματος ἀναγωγὰς καὶ ῥύσεις κοιλίας καὶ δυσεντερίας πινόμενος, καὶ πρὸς τὰς ἐκ μήτρας αἱμορραγίας καὶ προπτώσεις ὑστέρας καὶ δακτυλίου· καὶ C καθόλου ἀντὶ ἀκακίας καὶ ὑποκιστίδος ἔνεστιν αὐτῷ χρῆσθαι. καὶ ὁ χυλὸς δὲ τῶν φύλλων ἐκθλιβέντων τὰ αὐτὰ ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν καταντλούμενον, τὰ ἀσυμπλήρωτα πληροῖ, καὶ τὰ ἀπώρωτα πωρεῖ ὀστέα, καὶ τὰς ἐκ μήτρας ῥεύσεις στέλλει, καὶ τῶν νομῶν ἀποτρεπτικὸν D καὶ οὐρητικόν ἐστιν. ἵστησι δὲ καὶ σειομένους ὀδόντας διακλυζόμενον. τὰ δὲ ξυλάρια χλωρὰ ἀντὶ καλαμίδων παρατριβόμενα τοῖς ὀδοῦσι, σμήχει τούτους. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ ἔλαιον στυπτικόν, ἁρμόζον πρὸς τὰ στύψεως δεόμενα.

V. hæc omittit καὶ τῆς ῥίζ.

Oribasij interpres legisse videtur φλοιοῦ τῆς ῥίζης

Marcelli codex addit καὶ ψυχῆναι.

V. ἄχρι

Par. αἱμορροΐδας.

V. quidam ῥύσεις.

V. ἀντὶ καλαμίδος

De Resina lentiscina. Cap. XC.

E lentisco quoque resina nascitur, lentiscina cognominata, & à nonnullis mastiche dicta. Pota sanguinis reiectioni & veteri tussi vtiliter adhibetur. Stomacho quoque est vtilis, ructúmque mouet. Additur etiam in dentifricia & faciei illitus: quippe quæ nitorem cuti conciliet. Quin & pilos oculorum fluentes glutinat & cohibet: commanducata oris halitum commendat, gingiuásque contrahit. Præstantissima porrò & copiosissima in insula Chio prouenit. Præfertur pellucida, ceræ Tyrrhenicæ candore similis, "crassior, arida, friabilis & odorata. Viridis autem minùs probatur. Adulteratur verò admistis thure ac resina strobilina.

Vel plena

E

Περὶ Ῥητίνης σχινίνης. Κεφ. ϟʹ.

Γεννᾶται δὲ καὶ ῥητίνη ἐξ αὐτῆς σχινίνη καλουμένη, ὑπ' ἐνίων δὲ μαστίχη. χρησιμεύουσα πρὸς αἵματος ἀναγωγάς, καὶ πρὸς παλαιὰν βῆχα πινομένη· ἔστι δὲ εὐστόμαχος, ἐρευκτική. μίγνυται δὲ καὶ σμήγμασιν ὀδόντων. F καὶ ἐπιχρίσμασι προσώπου στιλβοποιοῦσα. ἀνακολλᾷ δὲ καὶ τρίχας ἐν ὀφθαλμοῖς, στόματός τε εὐωδίαν ποιεῖ διαμασωμένη, καὶ οὔλων ἐστὶ σταλτική. γεννᾶται δὲ καὶ καλλίστη καὶ πλείστη ἐν Χίῳ τῇ νήσῳ. διαφέρει δὲ αὐτῆς ἡ λαμπυρίζουσα, καὶ Τυρρηνικῷ κη- G ρῷ ὁμοία τῇ λευκότητι, ἁδρὰ καὶ "κάπυρα καὶ εὔθρυπτος" καὶ εὐώδης. ἡ δὲ χλωρὰ ἥττων. δολοῦται δὲ " λιβάνου καὶ ῥητίνης στροβιλίνης μιγνυμένων αὐτῇ.

Hoc caput v. c. præcedenti iungit.

V. στόματός τε εὐωδίας παρασκευαστική ἐστι

Quidam πυρρὰ

In v. c. non legitur καὶ

V. λιβάνῳ καὶ ῥητίνῃ στροβιλίνῃ μιγνυμένη

Περὶ Τερμίνθου. Κεφ. ϟα'.

Τέρμινθος γνώριμον δένδρον, ἧς τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς στυπτικὰ ὄντα ἁρμόζει πρὸς ἃ καὶ ἡ σχῖνος, σκευαζόμενα ὁμοίως καὶ λαμβανόμενα. ὁ δὲ καρπὸς αὐτῆς ἐστὶν ἐδώδιμος, κακοστόμαχος, οὐρητικός, θερμαντικός ἐστι δὲ ἄριστος πρὸς ἀφροδίσια. σὺν οἴνῳ δὲ ποθεὶς, πρὸς φαλαγγίων δήγματα ἁρμόζει. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη κομίζεται μὲν ἐξ Ἀραβίας τῆς ἐν Πέτρᾳ. γεννᾶται δὲ καὶ ἐν Ἰουδαίᾳ καὶ Συρίᾳ καὶ ἐν Κύπρῳ καὶ ἐν Λιβύῃ καὶ ἐν ταῖς Κυκλάσι νήσοις. ἡ δὴ καὶ διαφέρει διαυγεστέρα οὖσα, λευκὴ, ὑαλίζουσα τῷ χρώματι καὶ κυανίζουσα, εὐώδης, τερμίνθου πνέουσα. προάγει δὲ πασῶν τῶν ῥητινῶν ἡ τερμινθίνη· καὶ μετὰ ταύτην ἡ σχινίνη, εἶτα ἡ πιτυίνη καὶ ἡ ἐλατίνη· μεθ' ἃς ἀριθμοῦνται ἥ τε πευκίνη καὶ ἡ στροβιλίνη. ἔστι δὲ πᾶσα ῥητίνη, μαλακτικὴ, θερμαντικὴ, διαφορητικὴ, ἀνακαθαρτικὴ· βηξὶν ἁρμόζουσα καὶ φθίσεσιν, ἐν ἐκλεικτοῖς καθ' ἑαυτὴν ἢ μετὰ μέλιτος, ἀνακαθαίρουσα καὶ τὰ ἐκ θώρακος. ἔστι δὲ καὶ οὐρητικὴ καὶ πεπτικὴ, κοιλίαν τε μαλάσσει, ἔν τε ἀνακολλήσει τριχῶν ἁρμόζει τῶν ἐν βλεφάροις, καὶ πρὸς λέπρας σὺν ἰῷ χαλκοῦ καὶ χαλκάνθῳ καὶ νίτρῳ, πρός τε τὰ ἰχωρορροοῦντα ὦτα σὺν μέλιτι καὶ ἐλαίῳ, καὶ πρὸς κνησμὸν αἰδοίου. μίγνυται δὲ καὶ ἐμπλάστροις, καὶ μαλάγμασι καὶ ἀκόποις. καὶ πλευρᾶς ἀλγήμασι βοηθεῖ καθ' ἑαυτὴν ἐπιχρισθεῖσα ἢ ἐπιτιθεμένη.

In altero manu scripto codice est hic capitis initium.

Mathioli exemplar addit, καὶ ἐν Εὐβοίᾳ

V. ὑαίζουσα. al. ὑαλίζουσα

Al. τερμινθίνη

V. προέχει

V. θερμαντικὴ καὶ μαλακτικὴ

V. πλευροῦ

Vulg. exempl. καὶ

Περὶ Ῥητινῶν ἄλλων. Κεφ. ϟβ'.

Γίνεται δὲ ῥητίνη ὑγρὰ πιτυίνη καὶ πευκίνη, κομιζόμεναι ἀπὸ Γαλλίας καὶ Τυῤῥηνίας. καὶ ἀπὸ Κολοφῶνος δὲ πάλαι περιεκομίζετο. ἔνθεν καὶ τὴν ἐπωνυμίαν ἔσχε Κολοφωνία κληθεῖσα. καὶ ἀπὸ Γαλατίας τῆς πρὸς ταῖς Ἄλπεσιν, ἣν ἐπιχωρείως οἱ τῆσδε ἔποικοι λάρικα ὀνομάζουσιν. ἐξόχως ποιοῦσα πρὸς τὰς χρονίους βῆχας ἐν ἐκλεικτῷ καὶ καθ' ἑαυτήν. διαφέρουσι δέ εἰσι τῷ χρώματι καὶ αὐταί· ἡ μὲν γάρ τίς ἐστι λευκή, ἡ δὲ ἐλαιώδης, ἡ δὲ μέλιτι ἔοικεν, ὥσπερ ἡ λαρικίς. γίνεται δὲ καὶ κυπαρισσίνη ῥητίνη ὑγρά·

Vulg. nõ habẽt δὲ

Ald. λάρικα

V. add. καὶ

In altero veterũ codicum hoc est capitis initium.

De Terebintho. Cap. XCI.

Terebinthvs cognita arbor est: cuius folia, fructus & cortex quæ pollent astringendi vi ad eadem ad quæ etiam lentiscus conueniunt, simili parata modo sumptáque. Eius fructus esculentus est, at stomacho noxius: vrinam verò ciet & excalfacit. Est & ad excitandam venerem aptissimus: ex vino verò potus contra phalangiorũ morsus prodest. Resina eius ex Arabia Petræa conuehitur. Prouenit tamen etiam in Iudæa, Syria, Cypro, Africa & Cycladibus insulis. Præfertur autem magis perlucida, candida, vitreo colore & in cæruleum vergente, odorata ac terebinthum olens. Resinas porrò omnes antecedit terebinthina: proxima huic lẽtiscina: deinde pinea & abiegna. Post has numerantur ea quã ferunt piceæ & strobilina. Vis autẽ resinæ cuiuis molliendi, calfaciendi, discutiendi dissipandíve & expurgandi. Tussi ac tabi conueniunt in eclegmate per se aut ex melle, quæque ex pectore educi oportet expurgant. Vrinam quoque mouẽt, cruda concoquunt & ventrem emolliunt: ad agglutinandos palpebrarũ pilos conferunt: itémque ad lepras cũ ęrugine, sutorio atramento ac nitro. Ad aures denique sanie manantes cum melle & oleo, necnõ ad genitalium pruritum sunt vtiles. Emplastris quoque, malagmatis & acopis admiscentur: quin & per se illitæ aut impositæ laterum doloribus auxilio sunt.

De Resinis alijs. Cap. XCII.

Manat & resina liquida tum è pinu, tum & è picea. Hæ ex Gallia & Hetruria conuehuntur. Quin & olim è Colophone asportabatur, quæ inde Colophoniæ cognomen sibi vendicauit. Itémque ex Gallia subalpina, quam incolæ nomine vernaculo laricem appellant. Ea in linctu & per se ad veterem tussim præclarè facit. Ipsæ quoque inter se colore differunt: siquidem candida quædam est, alia oleosa, alia denique mellis similitudinem habet, vti larigna. Prouenit & è cupresso resina liquida, quę quidem

ad eadem omnia est efficax. Ex siccis autem resinis alia est strobilina, alia abiegna, alia quam fundit picea, alia denique pinea. Eligito omnium maximè odoratam, perlucidam, non valdè aridam neque humentem, sed cerę similem atque friabilem. In eo genere præstant pinea & abiegna: odoratæ enim sunt atque thus odore imitantur. Præstantiores ex Pityusa insula, quę secundum Hispaniam sita est, deferuntur. Quæ verò ex picea, strobilo & cupresso manarunt, inferiores sunt, neque tantis atque illæ viribus pollent. Veruntamen eorundem gratia, quorum & illæ, vsurpari solent. Lentiscina verò terebinthinę proportione respondet.

De Vrendæ resinæ modo, eiusdémque fuligine. Cap. XCIII.

Vritur resina omnis liquida in vase quadruplę capacitatis ad liquoris infundẽdi quãtitatẽ. Congiũ enim resinæ, duos autẽ aquæ pluuiæ congios in ahenũ immitti oportet, &ad prunas lẽto igne coqui assiduè mouendo, dum odor penitus aboleatur, friabilis & arida reddatur, ac digitis minimè cedat. Tandem vbi refrixit, in fictile vas aconitum, hoc est, minimè picatum, reconditur: fitque hoc modo candoris eximij. Attamen resinam omnem eliquatam priùs excolari oportet, quò sordidi quicquid est secernatur. Vruntur quoque sine aqua super carbonibus leuiter primùm: deinde vbi spissari cœperint, vehementiùs: sicque multis subiectis carbonibus ad dies tres totidémque noctes citra intermissionẽ discoqui oportet, vsque dũ priùs memoratas notas sibi asciuerint. Mox, vti dictum est, reponito. Attamen siccas tota die decoxisse suffecerit, atque ita reponere. Vstæ porrò magnoperè cõducunt ad odorata malagmata & acopa, necnon & ad vnguenta colorãda. E resina quoque, perinde atque de thure dictum est, fuligo excipitur: quę ad honestãdis palpebris dicata medicamenta, ad circũrosos oculorũ angulos, humore superfluo madentes palpebras, & lachrymãtes oculos prosunt. Ex hac eadẽ fit etiã atramẽtũ, quo scribim⁹

vel derasa

A ἥ τις ποιεῖ πρὸς τὰ αὐτά. τῆς μέν τοι ξηρᾶς, "ἡ μέν ἐστι στροβιλίνη καὶ ἐλατίνη, ἡ δὲ πευκίνη, ἡ δὲ πιτυίνη. ἐκλέγου δὲ πασῶν τὴν εὐωδεστάτην καὶ διαυγῆ καὶ μὴ καπυρὰν μηδὲ κάθυγρον, κηροειδῆ δὲ καὶ εὔθρυπτον. διαφέρει δὲ αὐτῶν ἡ πιτυίνη καὶ ἐλατίνη εὐώδεις" γάρ εἰσι καὶ λιβανίζουσαι. B κομίζονται δὲ διάφοροι ἐκ Πιτυούσης τῆς νήσου, ἥ τις κεῖται κατὰ τὴν Ἱσπανίαν. ἡ δὲ πευκίνη καὶ στροβιλίνη, καὶ κυπαρισσίνη, ἐνδεέστεραι εἰσί, καὶ οὐχ ὁμοίως κέχρηνται ταῖς δυνάμεσιν" ὡς ἐκεῖναι. παραλαμβάνονται δὲ πρὸς ὅσα καὶ ἐκεῖναι. ἡ μέν τοι σχινίνη, ἀνάλογος τῇ τερμινθίνῃ.

C

*Περὶ Λιγνύος ῥητίνης. Κεφ. ϛγ΄.

Καίεται δὲ πᾶσα ῥητίνη ὑγρὰ ἐν τετραπλασίονι ἀγγείῳ" κατὰ τὸ τοῦ ἐγχεομένου ὑγροῦ πλῆθος. δεῖ γὰρ χοῦν μὲν τῆς ῥητίνης, δύο δὲ χόας" ὀμβρίου ὕδατος βαλόντας εἰς *ἀγγεῖον, ἕψειν ἐπ' ἀνθράκων" πράως, D διηνεκῶς κινοῦντας ἄχρις οὗ ἄοσμος γένηται καὶ εὔθρυπτος καὶ καπυρά," καὶ ὡς τοῖς *δακτύλοις εἴκειν." λοιπὸν δεῖ ψύξαντας εἰς κεραμεοῦν ἀγγεῖον ἀκώνιτον, ("τουτέστιν ἀπίσσωτον,) ἀποτίθεσθαι. γίνεται δὲ ἐξόχως λευκή· δεῖ μέν τοι προδιυλίζειν πᾶσαν ῥητίνην τήκοντας, ἵνα χωρισθῇ τὸ ῥυπῶδες αὐτῆς. E καίονται δὲ καὶ δίχα ὕδατος ἐπ' ἀνθράκων κούφως τὸ πρῶτον· ὅταν δὲ μέλλωσι" συστρέφειν, ἀθρόως καὶ πολλοὺς ὑποθετέον τοὺς ἄνθρακας, καὶ ἑψητέον ἀδιαλείπτως ἐφ' ἡμέρας καὶ νύκτας τρεῖς, ἄχρις ἂν τὸ προειρημένον ἰδίωμα *ἀπολίπωσιν· ἀποτίθεσο δὲ ὡς εἴρηται. τὰς μέν F τοι ξηρὰς ἀρκέσει δι' ὅλης ἡμέρας ἑψήσαντας ἀποτίθεσθαι. εὐχρηστοῦσι δὲ" καὶ αἱ κεκαυμέναι, εἴς τε τὰ εὐώδη τῶν μαλαγμάτων καὶ ἄκοπα, καὶ εἰς χρωματισμοὺς μύρων. ἐκλαμβάνεται δὲ καὶ λιγνὺς ῥητίνης, ὥσπερ ἐπὶ τοῦ λιβάνου. ἥ τις χρησιμεύει πρός τε καλλιβλέφαρα," καὶ G περιβεβρωμένους κανθοὺς καὶ μυδῶντα βλέφαρα, καὶ δακρύοντας ὀφθαλμούς. γίνεται δὲ ἐξ αὐτῆς καὶ μέλαν ᾧ γράφομεν.

V. ἡ μέν τις ἐστὶ στροβιλίνη, ἡ δὲ ἐλατίνη

V. add. τε

Hæ voces ὡς ἐκεῖναι desunt in v. cod.

In altero Goupyli codicũ hoc caput cum superiore coniunctũ est.

V. inserit ὑγροῦ

V. τοῦ ἐγχεομένου ὕδατος ἐμβαλ.

Marc. χαλκεῖον. sic & Oribas.

Al. πραέως

V. non habet καὶ

Al. λεπτὸν V. λοιπὸν δὲ ξύσαντας

Goupylus hæc verba non reperit in manuscriptis codicibus.

Legitur etiam συντρέχειν, ac ita Ruellius legisse videtur.

V. ἀθρόους

In v.c. non habetur καὶ

V. καλλιβλέφαρα καὶ δακρύοντ omissis iis quæ interiecta sunt.

Περὶ πίσσης ὑγρᾶς. Κεφ. ϟδ΄.

Πίσσα ἡ μὲν ὑγρά, ἣν ἔνιοι κώνειον καλοῦσι, συνάγεται μὲν ἐκ τῶν λιπαρωτάτων ξύλων πεύκης καὶ πίτυος. ἔστι δὲ καλὴ ἡ στίλβουσα καὶ λεία καὶ καθαρά. ποιεῖ δὲ πρὸς θανάσιμα φάρμακα, φθισικούς, ἐμπυϊκούς, βῆχας, ἄσθματα, δυσαναγώγα τῶν ἐν θώρακι ὑγρῶν, ἐκλειχομένη κυάθου πλῆθος μετὰ μέλιτος. ποιεῖ δὲ καὶ πρὸς τὰς τῶν παρισθμίων καὶ σταφυλῆς φλεγμονὰς καὶ συνάγχας διαχριομένη. καὶ πρὸς τὰ πυορροοῦντα ὦτα σὺν ῥοδίνῳ, καὶ πρὸς ἑρπετῶν δήγματα σὺν ἁλσὶ λείοις καταπλασσομένη. κηρῷ δὲ ἴσῳ μιγεῖσα, λεπροὺς ὄνυχας ἀφίστησι, "φύματά τε ὑστέρας" καὶ σκληρείας δακτυλίου διαφορεῖ. σὺν κριθίνῳ δὲ ἑψηθεῖσα ἀλεύρῳ καὶ παιδὸς οὔρῳ, χοιράδας περιρρήσσει. μετὰ δὲ θείου ἢ πίτυος φλοιοῦ ἢ πιτύρων, ἕρπητας ἐπέχει καταχριομένη. μάννῃ "δὲ καὶ κηρωτῇ μιγεῖσα, τὰς ὑποφορὰς προσκολλᾷ, πρός τε τὰς ἐν ποσὶ καὶ δακτυλίῳ ῥαγάδας ἁρμόζει καταχριομένη, πληροῖ τε τὰ ἕλκη, καὶ ἀποκαθαίρει σὺν μέλιτι· σὺν "σταφίδι δὲ καὶ μέλιτι, ἄνθρακας καὶ σηπεδόνας περιχαράσσει. μίγνυται δὲ καὶ σηπτοῖς χρησίμως.

Gal. & Aetius addunt, καὶ λειχῆνας ὑπορρύπτει Ideóque voces has suppleuerunt Serapio, Marcellus & Ruellius, impetiginésque emédat. Marcellus ista transposita existimauit, legendúmq; σκληρείας τε ὑστέρας καὶ φύματα δακτυλίου.
V. τε
V. σταφίσι

Περὶ πισσελαίου. Κεφ. ϟε΄.

Γίνεται δὲ καὶ πισσέλαιον ἐκ τῆς πίσσης, χωριζομένου τοῦ ὑδατώδους αὐτῆς. ἐφίσταται δὲ τοῦτο καθάπερ ὀρρὸς "γάλακτι, καὶ ἐκλαμβάνεται δὲ ἐν τῇ ἑψήσει τῆς πίσσης, ὑπεραιωρουμένου ἐρίου καθαροῦ, ὅπερ ὅταν ἐκ τοῦ ἀναφερομένου ἀτμοῦ γένηται διάβροχον, ἐκθλίβεται εἰς ἀγγεῖον. καὶ τοῦτο γίνεται ἐφ' ὅσον ἂν χρόνον ἡ πίσσα ἕψηται. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ ὑγρὰ πίσσα. δασύνει δὲ καὶ ἀλωπεκίας "καταπλασσόμενον μετὰ κριθίνου ἀλεύρου. θεραπεύει δὲ τοῦτο καὶ ἡ ὑγρὰ πίσσα, καὶ τὰ ἐπὶ "τῶν κτηνῶν ἕλκη καὶ ψώρας ἐπιχριομένη.

In v. cod. deest γάλακτι
V. καταχρισθὲν
V. καταχριομένη.

Περὶ λιγνύος τῆς ἐξ ὑγρᾶς πίσσης. Κεφ. ϟϛ΄.

Γίνεται δὲ καὶ λιγνὺς "τῆς ὑγρᾶς πίσσης οὕτως· εἰς λύχνον καινὸν

V. add. ἐκ

De Pice liquida. Cap. XCIIII.

A Pix liquida, quam nonnulli conum appellant, è pinguissimis piceæ piníque lignis colligitur. Probatur splendida, læuis ac sincera. Facit autem ad lethalia medicaméta, phthisicos, purulenta excreantes, tusses, anhelationes & humores B intra pectus contétos ęgrè excreabiles, si cyathi mensura cum melle delingatur. Peruncta valet ad tonsillarum ac vuæ inflammationes & anginas, itémque ad aures purulentas cum rosaceo, necnon & ad serpentium morsus cum trito sale adhibita. Pari verò ceræ admista, scabros vngues detrahit: vuluæ tu- C bercula sedísque duritias discutit. Cum farina hordeacea vrináque pueri decocta strumas circumquaque rumpit. Cum sulphure, pineo cortice aut furfuribus illita, quę serpunt vlcera cohibet. Mannæ thuris ac cerato permista, sinuosa vlcera agglutinat: pedum sedísque rhagadibus commodè illinitur: vlcera re- D plet, & cum melle repurgat. Quin & cum vua passa & melle carbunculos putrescentiáque vlcera emarginat. Septicis quoque seu erodentibus emplastris vtiliter immiscetur.

De picino Oleo. Cap. XCV.

E E Pice fit picinum oleum, separato quod in ea aquosum est, quodq; eidem veluti serum lacti supernatat. Excipitur porrò interea dum pix coquitur, expansis supra eam mundis velleribus: quæ postquam halitu ex ea sublato permaduerint, in vas aliquod exprimuntur. Itera- F tur illud, tantisper dum pix ea coquitur. Ad eadem ad quæ pix liquida est efficax. Cum hordeacea etiánum farina alopecijs adhibitum, capillos restituit. Idipsum quoque præstat pix liquida, quæ præterea iumentorum vlcera scabiémque illita emendat.

De Picis liquidæ Fuligine. Cap. XCVI.

G Fit & è liquida pice fuligo hunc in modum. In lucernam nouam

ellychnio instructam picis nonnihil indito: illud accendito, ac fictili vase nouo in clibani speciem conformato, supernè quidem rotundo & angusto, infernè verò, vti clibani solent esse, perforato lucernam operito & ardere sinito: consumptóque priore liquore nouum infundito, donec sat fuliginis collegeris, atque tum vtitor. Vim habet acrẽ & astrictoriam. Ea verò vtendum ad pigmenta quibus palpebræ honestantur, & ad circumlitiones. Itẽ vbi superfluo humore madentibus atque adeo glabris genis pilos restitui oportet. Denique ad imbecilles, lacrymosos ampliúsque exulceratos oculos est vtilis.

De Pice spissa siue arida. Cap. XCVII.

Pix sicca è liquida decocta fit. A nonnullis ea palimpissa, quasi pix iterum cocta nominatur. In hoc genere quędam est visci modo lentescens, boscas cognominata: altera sicca. Probatur pura, pinguis, odorata & subrutila ac resinosa. Talis Lycia & Brutia, quę quidem vtranque picis simul & resinæ naturam sortiuntur. Calfactoriam vim habet, mollit, pus mouet, tubercula panósque discutit, vlcera replet, ac vtiliter vulnerarjis medicamentis permiscetur.

De Zopissa. Cap. XCVIII.

Zopissam sunt qui nominent nauibus derasam cũ cera resinã, quam nonnulli apochyma appellant. Ea dissipandi vim habet, quoniã aqua marina macerata fit. Alij pineã resinam eo nomine vocauerunt.

De Bitumine. Cap. XCIX.

BITVMEN Iudaicũ cæteris præstat. Probatur purpuræ modo splendens, odoris intensi ac ponderosum. Nigrum autem ac sordidum damnatur: admixta siquidem pice adulteratur. Nascitur in Phœnice, Sidone, Babylone & Zacyntho. Gignitur & in Agrigentino Siciliæ agro liquidum fontibus supernatãs,

A ἐλλυχνιασμένον δοὺς τι τῆς πίσσης, ἅψον καὶ πωμάσας τὸν λύχνον καινῷ ἀγγείῳ "κεραμέῳ κλιβανοειδεῖ, ἄνωθεν μὲν περιφερεῖ καὶ στενῷ, κάτωθεν δὲ τρῆμα ἔχοντι καθάπερ οἱ κλίβανοι, ἔα καίεσθαι. ὅταν δὲ ἀναλωθῇ τὸ πρῶτον ὑγρὸν, ἄλλο ἐπίχει, ἕως ἂν αἰθαλώσῃς λιγνὺν αὐτάρκη, καὶ χρῶ. B Δύναμιν δὲ ἔχει δριμεῖαν καὶ στυπτικήν. χρηστέον δὲ αὐτῇ εἰς τὰ καλλιβλέφαρα καὶ περίχριστα, καὶ ὅπου μεμυδηκότα βλέφαρα τριχοφυῆσαι δεῖ. καὶ πρὸς ἀσθενέστερα καὶ δακρυοῤῥοοῦντα, ἔτι δὲ εἰς ἑλκώδη ὄμματα χρήσιμος.

V. κεραμέῳ

C

Περὶ ξηρᾶς Πίσσης. Κεφ. ϛζ'.

Ἡ δὲ ξηρὰ πίσσα ἑψομένης τῆς ὑγρᾶς γίνεται. καλεῖται δὲ αὐτὴ ὑπὸ ἐνίων παλίμπισσα. γίνεται δὲ αὐτῆς, ἡ μέν τις ἰξώδης, βοσκὰς καλουμένη· ἡ δὲ, ξηρά. ἔστι δὲ καλὴ ἡ καθαρὰ, καὶ λιπαρὰ, "εὐώδης τε καὶ ὑπόκιῤῥος καὶ ῥητινώδης. D "τοιαύτη δέ ἐστιν ἡ" Λυκιακὴ καὶ Βρουτία δύο φύσεων ἐχόμεναι, πίσσης ἅμα καὶ ῥητίνης. Δύναμιν δὲ ἔχει θερμαντικὴν, μαλακτικὴν, πυοποιὸν, διαφορητικὴν φυμάτων καὶ φυγέθλων, καὶ πληρωτικὴν ἑλκῶν. μίγνυται δὲ καὶ "τραυματικοῖς χρησίμως.

Orib. legit ἰξώδης.
Non habentur hæc in veteribus vsque ad Δυνάμ. Cornarius Λιβυκὴ legendum ex eo colligit, quòd Paulo lib. 4. cap. 3. pix Africana probetur.
V. τραυματικοῖς

B Περὶ Ζωπίσσης. Κεφ. ϛη'.

Ζώπισσαν "δὲ οἱ μὲν, εἶπον τὴν ἐκ τῶν πλοίων ξυομένην ῥητίνην μετὰ τοῦ κηροῦ, καλουμένην ὑπὸ ἐνίων ἀπόχυμα, οὖσαν διαχυτικὴν διὰ τὸ ἐν τῇ θαλάσσῃ βρέχεσθαι· οἱ δὲ, τὴν πιτυΐνην ῥητίνην οὕτως ὠνόμασαν.

V. δὲ ἔνιοι οἱ μὲν τὴν

F Περὶ Ἀσφάλτου. Κεφ. ϛθ'.

ΑΣΦΑΛΤΟΣ διαφέρει ἡ Ἰουδαϊκὴ τῆς λοιπῆς· ἔστι δὲ καλὴ ἡ "πορφυροειδῶς στίλβουσα, εὔτονος τῇ ὀσμῇ καὶ βαρεῖα· ἡ δὲ μέλαινα καὶ ῥυπώδης, φαύλη. δολοῦται γὰρ πίσσης μιγνυμένης. γεννᾶται "καὶ ἐν Φοι- G νίκῃ, καὶ ἐν Σιδῶνι, καὶ ἐν Βαβυλῶνι, καὶ ἐν Ζακύνθῳ. γίνεται δὲ καὶ κατὰ τὴν Ἀκραγαντίνων χώραν τῆς Σικελίας ὑγρὸν ἐπινηχόμενον ταῖς κρήναις,

V. πορφυροειδὴς
V. δὲ καὶ

ᾧ χρῶνται εἰς τοὺς λύχνους ἀντὶ ἐλαίου, A καλοῦντες αὐτὸ Σικελὸν ἔλαιον, πλανώμενοι· ἔστι γὰρ ἀσφάλτου ὑγρᾶς εἶδος.

Περὶ Πιττασφάλτου. Κεφ. ρ.

Καλεῖται δέ τις καὶ πιττάσφαλτος γινομένη ἐν Ἀπολλωνίᾳ τῇ πρὸς Ἐπιδάμνῳ, ἥ τις ἐκ τῶν Κεραυνίων ὀρῶν συγκαταφέρεται B τῇ τοῦ ποταμοῦ ῥύμῃ, καὶ ἐκβράσσεται κατὰ τὰς ἠιόνας, βώλοις δὲ ὡς συμπεπηγυῖα, ὄζουσα πίσσης μεμιγμένης ἀσφάλτῳ.

Vulg. exempl. Ἐπιδαύρῳ

V. εἰς τὰς

Περὶ Νάφθας. Κεφ. ρα'.

Καλεῖται δέ τις καὶ νάφθα, ὅπερ ἐστὶ τῆς Βαβυλωνίου ἀσφάλτου περιήθημα, C τῷ χρώματι λευκόν· εὑρίσκεται δὲ καὶ μέλαν. Δύναμιν ἔχον ἁρπακτικὴν τοῦ πυρὸς, ὥστε καὶ ἐκ διαστήματος ἁρπάζειν τοῦτο, ὅπερ πρὸς ὑποχύσεις χρήσιμον, καὶ λευκώματα. Δύναμιν δὲ ἔχει πᾶσα ἄσφαλτος ἀφλέγμαντον, κολλητικὴν, διαφορητικὴν, μαλακτικήν, ποιοῦσα D πρὸς πνίγας ὑστερικὰς καὶ προπτώσεις, προστιθεμένη ἢ ὀσφραινομένη ἢ ὑποθυμιωμένη. ἐλέγχει δὲ καὶ ἐπιληπτικοὺς ὑποθυμιαθεῖσα, καθάπερ ἢ ὁ Γαγάτης λίθος. πινομένη δὲ μετ' οἴνου ἢ καστορίου ἔμμηνα κινεῖ, καὶ βηξὶ χρονίαις καὶ ἀσθματικοῖς καὶ δυσπνοίαις βοηθεῖ, καὶ ἑρ- E πετῶν δήγμασι, ἢ ἰσχίων πόνοις καὶ πλευρᾶς· δίδοται δὲ καὶ κοιλιακοῖς καταπότιον, καὶ θρόμβους αἵματος διαλύει σὺν ὄξει ποθεῖσα· ἐγκλύζεται ἢ ἐπὶ δυσεντερικῶν σὺν πτισάνῃ τακεῖσα, καὶ καταρρόους ὑποθυμιωμένη θεραπεύει, ἢ ὀδόντων ἀλγήματα περιπλασθεῖσα πραΰνει· ἀνα- F κολλᾷ δὲ καὶ τρίχας ἡ ξηρὰ διὰ μηλωτίδος θερμανθεῖσα. ἀρήγει δὲ καὶ ποδαγρικοῖς, καὶ ἀρθριτικοῖς καὶ ληθαργικοῖς σὺν ὠμῇ λίσῃ καὶ κηρῷ καὶ νίτρῳ καταπλασθεῖσα. ἡ δὲ πιττάσφαλτος δύναται ὅσα πίσσα καὶ ἄσφαλτος μιχθεῖσα.

V. cod. tres hæc vsque ad Δύναμιν alterum non agnoscunt.

Vulg. exempl. ποιοῦσα

V. ἀσθματικοῖς

V. μηλωτείδος. alij διὰ μέλιτος. Vulg. exempl. θερμανθεῖσα δὲ ἀρήγει τι καὶ

Hæc pertinēt ad finem capitis de Pissasphalto. V. ἡ δὲ πίσσα καὶ ἄσφαλτος γίνεται. atque ita caput clauditur.

Περὶ Κυπαρίσσου. Κεφ. ρβ'. G

Κυπάρισσος στύφει, ψύχει· τὰ φύλλα ποθέντα μετὰ γλυκέος καὶ σμύρνης ὀλίγης, κύστει ῥευματιζομένῃ

V. στύφει καὶ ψύχει

quo ad lucernarum lumina olei vice vtuntur, quódque Siculum oleū falsò appellant: nanque liquidi bituminis genus esse constat.

De Pissasphalto. Cap. C.

Gignitur in Apollonia Epidamno vicina quę Pissasphaltos appellatur. Ea è montibus Ceraunijs ęstuantis fluminis impetu deuoluitur, & in littus expuitur. illic inglebas coacta mistam bitumini picem redolet.

De Naphtha. Cap. CI.

Naphtha quoque vocatur bituminis Babylonij colamē colore cādidum: inuenitur etiam nigrum.

Vim obtinet ignis rapacem, adeò vt etiam è longinquo illum concipiat. Ad suffusiones oculorum & albugines est efficax. Porrò bitumen omne vim habet inflammationes arcendi, glutinandi, discutiendi atque etiā molliendi, ad vuluæ strangulationes & procidētias efficacē, seu appositum, seu olfactum, seu etiam suffumigatum. Quin & comitiali morbo laborantes, veluti gagates lapis, suffitu prodit. Cum vino & castorio potum menses elicit. Tussi veteri, anhelationi spirandíque difficultati auxilio est: serpentiū quoque morsibus, atque coxendicum laterísque doloribus medetur. Cœliacis etiam catapotij instar deglutiendum exhibetur: & grumos sanguinis soluit cum aceto potum. Dysentericis itidem cū ptissana liquatum infunditur, distillationibus suffitione medetur, dentium dolores circumlitū mitigat. Cæterùm quod siccum est, specillo impositum calfactúmque pilos agglutinat. Cum hordeacea autem farina, cera ac nitro adhibitum podagricos, arthriticos atque lethargicos iuuat. At verò pissasphaltos eadem quæ pix & bitumen, si ambo hæc fuerint permixta, potest.

De Cupresso. Cap. CII.

CVPRESSVS astringit & refrigerat. Eius folia ex passo & myrrha pauca epota vesicæ fluxione

contatæ ac vrinæ difficultatibus auxiliantur. Pilulæ autem contusæ & ex vino bibitæ ad sanguinis reiectionem, dysenteriã, alui fluxionẽ, orthopnœam atque tussim conueniunt. Quin & earum decoctum idem prestat. Cum fico tusæ duritias etiam emolliunt, nariúmque polypis medentur. Ex aceto etiamnum decoctæ & cũ lupinis tritæ scabros vngues detrahunt: ramices quoque intestinorum adhibitæ reprimunt. Folia iisdem pollent viribus. Sed & pilulæ cum arboris coma suffitæ culices fugare existimantur. Folia verò trita & imposita vulnera glutinant, sanguinémque supprimunt: cum aceto etiam trita capillos tingunt. Porrò tum per se, tum etiam cum polenta illinuntur ad erysipelata, herpetas, carbunculos & oculorum inflammationes. Cerato verò mista & admota ventriculum roborant.

remouent

De Iunipero. Cap. CIII.

IVNIPERVS quędam maior est, minor altera. Vtraque acris est, extenuat, vrinas ciet, excalfacit, accensáque serpentes fugat. Vnius fructus nucis Pontice magnitudine reperitur: alterius verò fabã æquat, at rotundus est, odoratus, dulcis in mandendo ac subamarus, arkeuthis, id est, iuniperi bacca dictus. Moderatè calfacit & astringit, stomacho vtilis. Potus ad pectoris vitia, tusses, inflationes, tormina virulentarúmq; bestiarum venena cõfert. Vrinas quoque ciet: vnde & conuulsis, & ruptis, & vuluæ strangulatui subuenit.

De Sabina. Cap. CIIII.

SABINAM nonnulli barathrum appellant: cuius duo sunt genera. Vnum folijs quidem est cupresso simile, at spinosius, graueolens, acre ac feruentis naturę. Curta est arbor, ac sese magis in latitudinem fundit: folijs quidam ad suffitus vtuntur. Alterum genus est folio tamarici simile. Vtriusque folia nomas compescunt, & phlegmonas adhibita mitigant: nigritias

A καὶ δυσουρίαις βοηθεῖ. τὰ δὲ σφαιρία κοπέντα καὶ σὺν οἴνῳ πινόμενα, ἁρμόζει πρὸς αἵματος ἀναγωγὴν καὶ δυσεντερίαν, καὶ κοιλίας ῥευματισμὸν, ὀρθόπνοιαν, βῆχα· καὶ τὸ ἀφέψημα αὐτῶν δὲ αὐτὸ ποιεῖ. μαλάττει δὲ καὶ σκληρίας κοπέντα μετὰ σύκου, καὶ πολύποδας τοὺς ἐν μυκτῆρσιν ἰᾶται. B ἐκβάλλει δὲ καὶ λεπριῶντας ὄνυχας, σὺν ὄξει καθεψηθέντα καὶ λεανθέντα μετὰ θέρμων· στέλλει δὲ καὶ ἐντεροκήλας καταπλασθέντα. καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ ποιεῖ. δοκεῖ δὲ καὶ κώνωπας διώκειν τὰ σφαιρία μετὰ τῆς κόμης θυμιαθέντα. τὰ δὲ φύλλα λεῖα καταπλαττόμενα, τραύματα C κολλᾷ· ἔστι δὲ καὶ ἴσχαιμα. σὺν ὄξει δὲ λειωθέντα, τρίχας βάπτει. καταπλάσσεται δὲ ἢ καθ' αὐτὰ καὶ σὺν ἀλφίτῳ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, ἄνθρακας, καὶ πρὸς ὀφθαλμῶν φλεγμονάς. κηρωτῇ δὲ μιγέντα, στόμαχον κρατύνει ἐπιτιθέμενα.

V. δυσουρία
V. add. καὶ φύλλα
V. δυσεντερίας καὶ κοιλίας ῥευματικάς
V. ἀφέψημα δὲ αὐτῶν
V. horum nihil habet vsque ad δοκεῖ δὲ
V. δὲ καὶ σὺν ἀλφίτῳ καθ' αὐτὰ καὶ πρὸς ἕρπητας
Quidã ἀκάνθας

Περὶ Ἀρκεύθου. Κεφ. ργ΄.

D ΑΡΚΕΥΘΟΣ ἡ μέν τίς ἐστι μεγάλη, ἡ δὲ μικρά· δριμεῖαι δὲ ἀμφότεραι, διουρητικαὶ καὶ θερμαντικαί, θυμιώμεναί τε θηρία διώκουσιν. τοῦ μέν τοι καρποῦ ὁ μέν τις κατὰ καρύου ποντικοῦ μέγεθος εὑρίσκεται, ὁ δὲ κυάμῳ ἴσος, στρογγύλος τε καὶ εὐώδης καὶ γλυκὺς ἐν τῷ διαμασᾶσθαι, καὶ ὑπόπικρος, ἀρκευθὶς καλού- E μενος, θερμαντικὸς μετρίως καὶ στυπτικός, εὐστόμαχος· ποιῶν πρὸς τὰ ἐν θώρακι, καὶ βῆχας καὶ πνευματώσεις καὶ στρόφους καὶ θηρία πινόμενος. ἔστι δὲ καὶ οὐρητικός, ὅθεν καὶ σπάσμασι καὶ ῥήγμασι καὶ ὑστερικαῖς πνιγομέναις ἁρμόζει.

Par. περὶ ἀρκευθίδος
Vulg. tex. ἔστιν ἀρκευθὶς ἡ μὲν μικρὰ, ἡ δὲ μεγάλη.
Ald. addit τὴν μὲν οὖν μικρὰν, ἀρκευθίδα, οἱ δὲ μνησιθέον, οἱ δὲ ἀκαταΐδα καλοῦσι
V. Ἀμφότεραι δὲ θερμαίνουσι καὶ λεπτύνουσι, εἰσὶ δὲ καὶ οὐρητικαί
Vulg. exempl. ὁ δὲ καρπὸς αὐτῶν ὁ μέν τις καρύου μέγεθος εὑρίσκεται. ὁ δὲ καρύου ποντικοῦ ἴσος.
Fortè δὲ
Quidam πινόμενος, sed perperã.

Περὶ Βράθυος. Κεφ. ρδ΄.

F ΒΡΑΘΥΣ, ἔνιοι βάραθρον καλοῦσι· ἔστι δὲ τούτου εἴδη δύο. ὁ μὲν γὰρ αὐτοῦ ἐστι τοῖς φύλλοις ὅμοιον κυπαρίσσῳ, ἀκανθωδέστερον δὲ καὶ βαρύοσμον, δριμὺ, πυρωτικόν· κολοβὸν δὲ τὸ δένδρον καὶ εἰς πλάτος μᾶλλον χεόμενον. χρῶνται δέ τινες τοῖς G φύλλοις ἀντὶ θυμιάματος. Τὸ δὲ ἕτερον μυρίκῃ τοῖς φύλλοις ὅμοιον. ἀμφοτέρων δὲ τὰ φύλλα ἵστησι νομὰς, καὶ φλεγμονὰς καταπλαττόμενα πραΰνει, ἀποκαθαίρει

In v. cod. vox αὐτοῦ non habetur
Dodonæus μυρίκῃ legendum suspicatur.
V. ἰσχυρὸν
V. τούτων
Al. μύσας.

τὲ μελανίας σὺν μέλιτι καταπλασσόμενα, καὶ τὰς ῥυπαρείας "καὶ ἄνθρακας" περιρρήσσει, "σὺν οἴνῳ" ποθέντα, "καὶ αἷμα δι' οὔρων ἄγει, ἔμβρυα τε ἐκτινάσσει. προστεθέντα δὲ καὶ ὑποθυμιαθέντα, τὸ αὐτὸ ποιεῖ. μίγνυται δὲ καὶ τοῖς θερμαντικοῖς χρίσμασιν, ἰδίως δὲ τῷ γλευκίνῳ.

V. add. δὲ

Par. περιρρήσσει V. Quidam c.rēt V. ποθέντα δὲ καὶ αἷμα ἄγει καὶ ἔμβρυα ἐκτινάσσει

Περὶ Κέδρου. Κεφ. ρε΄.

ΚΕΔΡΟΣ δένδρον ἐστὶ μέγα, ἐξ οὗ ἡ λεγομένη κεδρία συνάγεται. καρπὸν δὲ ἔχει ὡς τῆς "κυπαρίσσου, μακρότερον μὲν παρὰ πολύ. λέγεται δὲ καὶ ἄλλη κέδρος μικρά," ἀκανθώδης, ὥσπερ ἄρκευθος, καρπὸν φέρουσα μέγεθος μύρτου, περιφερῆ. Τῆς δὲ κεδρίας ἀρίστη ἡ παχεῖα καὶ διαυγής, βαρεῖα τῇ ὀσμῇ. ἀποχεομένη" δὲ κατὰ σταλαγμοὺς ἐπιδιαμένουσα καὶ μὴ διαχεομένη. Δύναμιν δὲ ἔχει σηπτικὴν μὲν τῶν ἐμψύχων, φυλακτικὴν δὲ τῶν νεκρῶν σωμάτων. ὅθεν καὶ νεκροῦ ζωήν τινες αὐτὴν ἐκάλεσαν. καὶ ἱμάτια δὲ καὶ δέρματα φθείρει διὰ τὸ θερμαίνειν ἐπιτεταμένως καὶ ξηραίνειν. εὐθετεῖ δὲ εἴς τε ὀφθαλμικὰ ὀξυδορκὴς οὖσα ἐγχριομένη, καὶ λευκώματα καὶ οὐλὰς σμήχει. σὺν ὄξει διακλυζομένη, σκώληκας τοὺς ἐν ὠσὶ κτείνει, ἤχους τε καὶ συριγμοὺς παύει σὺν ὑσσώπου ἀφεψήματι ἐγχεομένη. εἴς τε "ἐμβρώματα ὀδόντων" ἐνσταλαχθεῖσα, θραύει μὲν τὸν ὀδόντα, παύει δὲ τὴν ἀλγηδόνα· "σὺν ὄξει δὲ διακλυζομένη τὸ αὐτὸ ποιεῖ. περιχρισθεῖσα δὲ αἰδοίῳ πρὸ τῆς συνουσίας, ἀτόκιόν ἐστι, συναγχικῶν τε" περιχριστός ἐστι, καὶ παρισθμίων φλεγμοναῖς βοηθεῖ, φθεῖράς τε καὶ κονίδας φθείρει περιχρισθεῖσα. κεράστου δὲ δήγμασι σὺν ἁλσὶ καταπλασσομένη, ἀρήγει. πρός τε λαγωοῦ θαλασσίου πόσιν, σὺν γλυκεῖ λαμβανομένη βοηθεῖ, ὠφελεῖ καὶ ἐλεφαντιῶντας. ἐκλειχομένη "ἢ περιχριομένη καθαίρει καὶ τὰ ἐν πνεύμονι ἕλκη, καὶ ἰᾶται. ὅσον κύαθος ῥοφουμένη, σκώληκάς τε καὶ ἀσκαρίδας ἐγκλυζομένη φθείρει καὶ ἔμβρυα κατασπᾷ. γίνεται δὲ καὶ ἔλαιον ἐξ αὐτῆς, χωριζόμενον ἀπὸ τῆς κεδρίας δι' ἐρίου ὑπεραιωρουμένου ἐν τῇ ἑψήσει ὡς ἐπὶ τῆς πίσσης, ποιοῦν πρὸς ὅσα

Hæc quæ desiderabantur in vulg. exempl. adieci ex Cataeus. exēp.

Guillād θαμνώδης ex Gal.

V. τὸ

V. βρώματα V. ἐνσταγεῖσα

V. καὶ σὺν ὄξει δὲ

V. περιχριστοὶ ἐστι

Deest in cod. Par.

& sordes cum melle inducta repurgant, carbunculósque circumquaque rumpunt. Cum vino autem pota, sanguinem per vrinas educunt & partus expellunt: idipsum tum appositu, tum etiam suffitu præstát. Calfactorijs etiam vnguentis, ac priuatim gleucino immiscentur.

De Cedro. Cap. CV.

CEDRVS arbor magna est, ex qua cedria dicta colligitur. Fructum profert vti cupressus, at multò grandiorem. Dicitur & altera cedrus, eáque parua, spinosa, iuniperi modo, fructum ferens myrti baccarum magnitudine, rotundum. Cedria verò laudatissima est, crassa, perlucida, grauis odoris: quæ dum effunditur in guttas coit, miniméque diffunditur. Vim ea obtinet viuentium quidem corporum corruptricem, defunctorum verò conseruatricem: qua ex causa quidam mortui vitam appellauerunt. Vestes quoque & pelles corrumpit, eò quòd vehementiùs calfaciat & siccet. Ocularijs porrò medicamentis accommodatur: quippe quæ inuncta oculis claritatem conciliet, eorundémque albugines ac cicatrices detergeat. Cũ aceto instillata vermes aurium necat, & cum hyssopi decocto infusa sonitus sibilósque sedat. Erosorum dentium cauis indita, eos quidem frangit, at dolores leuat: idem quoque facit, si ex aceto colluatur. Genitali ante coitum circumlita, *sterilitaté facit. Anginosi quoque ea per vnguntur: quin & tonsillarum inflammationibus auxilio est. Pediculos ac lendes illitu enecat: cerastæ morsibus cum sale adhibita subuenit. Cõtra hausta leporis marini venena in passo sumpta auxiliatur. Iuuat & elephanticos. Linctu aut perunctione pulmonis vlcera purgat: & si cyathi mensura sorbeatur, persanat. Tum vermes alios, tum & ascaridas infusa necat, & partus extrahit. Fit & ex ea oleum quod à cedria separatur, velleribus interea dum coquitur supra eam expansis, vt de pice dictum est: ad eadẽ omnia, ad

* conceptum impedit, vel tocij vim habet.

quæ cedria vtile. Priuatim tamen oleum viriliter perúctum scabiem quadrupedum, canum boúmque, persanat: iis inhærentes ricinos admotum enecat, & vlcera ex tonsura oborta ad cicatricem perducit. Fuligo ipsius quo modo è pice colligéda, iisdem quibus illa viribus prædita. Cedrides porrò cedri fructus appellantur. Calfactoriam vim habẽt & stomacho aduersantur: tussi verò, conuulsis, ruptis & stranguriæ auxiliantur. Ex trito pipere poti menstrua ciunt, & contra haustum leporem marinum in vino sumuntur. Fugantur & serpentes, iis perunćto corpore ex cerui adipe aut medulla: denique in antidota quoque adduntur.

A καὶ ἡ κεδρία· θεραπεύει ″ δὲ τὸ ἔλαιον ἰδίως καὶ τὰς ἐπὶ τῶν τετραπόδων ψώρας καὶ κυνῶν καὶ βοῶν ἀνδρικῶς καταχριόμενον, καὶ τοὺς ἐπ᾽ αὐτῶν κρότωνας φθείρει ″ προσαγόμενον* καὶ τὰς ἐπὶ τῇ κουρᾷ ″ γινομένας ἑλκώσεις ″ αὐτῶν ἐπουλοῖ ″. τὴν ″ δὲ λιγνὺν συνα- B κτέον αὐτῆς, ὥσπερ τὴν τῆς πίσσης, δύναμιν ἔχουσαν τὴν αὐτὴν ἐκείνῃ. ″ κεδρίδες δὲ καλοῦνται ″ οἱ ἐξ αὐτῆς καρποί. Δύναμιν δὲ ἔχουσι θερμαντικήν, κακοστόμαχον. βοηθοῦσι δὲ βηξί, σπάσμασι, ῥήγμασι, στραγγουρίαις· καὶ ἔμμηνα ἄγουσι μετὰ πεπέρεως λείου C πινόμεναι, καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν σὺν οἴνῳ λαμβάνονται. διώκουσι καὶ θηρία χριομένου τοῦ σώματος σὺν ἐλαφείῳ στέατι ἢ μυελῷ* μίγνυνται δὲ καὶ ἀντιδότοις.

V. δὲ καὶ ἰδίως τὸ λάιον καὶ τὰς
Deest in vulg. exemp.
V. οὐρᾷ.
In vet. cod. deest vox αὐτῶν
V. ὑπουλοῖ
V. hæc infine locat
Legitur & κέδρου
Dal. τῆς ὀξυκέδρου

De Lauro. Cap. CVI.

LAVRVS quædam est tenui folio, altera latiore. Vtraque excalfactoriam emollientémque naturam habet. Itaque decoctum ex his insessu vuluæ ac vesicæ vitiis conuenit. Virentia folia aliquantulum astringunt: trita & illita vesparum apúmque ictibus opitulantur. Eadem adhibita cum polenta & pane ad inflammationem quamlibet leniendam valent. Pota verò stomachum grauant & vomitiones mouent. Porrò lauri baccæ magis quàm folia calfaciunt. Proinde in elegmate tritæ cum melle aut passo prosunt tabi, orthopnœæ ac thoracis rheumatismis. Contra scorpionum ictus ex vino bibuntur, & vitiligines emaculant. Expressus ex ijs succus aurium doloribus auditúsque grauitati auxiliatur, cum vino vetere & rosaceo instillatus. Inseritur & acopis & vnguentis tum calfaciendi, tum etiam discutiendi vi præditis. Cæterùm cortex radicis calculos rumpit, partus necat & hepaticis prodest, tribus obolis in vino odorato potus.

Περὶ Δάφνης. Κεφ. ρϛ´.

D ΔΑΦΝΗ, ἡ μέν τις ἐστὶ ″ λεπτόφυλλος, ἡ δὲ, πλατυτέρα. ″ θερμαντικαὶ δὲ ἀμφότεραι καὶ μαλακτικαί· ὅθεν τὸ ἀφέψημα αὐτῶν εἰς ἐγκαθίσματα ″ τὰ περὶ μήτραν καὶ κύστιν ἁρμόζει. τὰ δὲ χλωρὰ τῶν ″ φύλλων ἠρέμα ὑποστύφει· ὠφελεῖ δὲ λεῖα καταπλα- E σθέντα σφηκῶν καὶ μελιττῶν πληγάς. Δύναται δὲ καὶ πᾶσαν φλεγμονὴν πραΰνειν σὺν ἀλφίτῳ καὶ ἄρτῳ καταπλασθέντα. ποθέντα δὲ* ″ πραΰνει στόμαχον, καὶ ἐμέτους κινεῖ. αἱ δὲ ″ δαφνίδες θερμαντικώτεραι τῶν φύλλων εἰσί· ποιοῦσιν ″ οὖν ἐκλειχόμεναι λεῖαι σὺν F μέλιτι ἢ γλυκεῖ, πρὸς φθίσιν καὶ ὀρθόπνοιαν καὶ τοὺς περὶ θώρακα ῥευματισμούς. πίνονται δὲ σὺν οἴνῳ πρὸς σκορπιοπλήκτους, καὶ ἀλφοὺς δὲ σμήχουσι. τὸ δὲ πίεσμα αὐτῶν, ὠταλγίαις ″ καὶ δυσηκοΐαις βοηθεῖ, σὺν οἴνῳ παλαιῷ καὶ ῥοδίνῳ ″ ἐγχεόμενον. μίγνυται καὶ ἀκό- G ποις καὶ συγχρίσμασι θερμαντικοῖς καὶ ″ διαφορητικοῖς. ὁ δὲ φλοιὸς τῆς ῥίζης αὐτῶν, λίθους θρύπτει καὶ ἔμβρυα κτείνει καὶ ἡπατικοὺς ὠφελεῖ, τριωβόλου πλῆθος σὺν οἴνῳ ″ εὐώδει πινόμενος.

V. quidam λεπτόφυλλος
V. ὡς αὐτῆς φύλλα
V. τοῖς περὶ κύστιν καὶ μήτραν ἁρμόζει διαθέσεσιν. οἱ δὲ καὶ ὑποπλάσιν καλοῦσιν.
Quidam male ξύλων.
Cornarius, βαρύνει
Al. αἱ δὲ ῥίζαι
V. ποιοῦσι δὲ ἐκ.
Codex antiquus addit καὶ ἤχοις
V. add. ἐλαίῳ
Ald. διαφορητικαῖς δυνάμεσι: & suppletur quoque hæc vox in veteri codice.
In v. c. vox hæc deest.

Περὶ Πλατάνου. Κεφ. ρζ'.

P.l. πλατάνου τρυφερὰ τὰ φύλλα
Idem σὺν οἴνῳ

HORDEVM optimum est candidum & purum, sed minùs quàm triticum alit: ptissana tamen ob cremorẽ quẽ inter coquẽdum reddit, plus alimẽti præbet, quàm polenta ex eodẽ hordeo facta. Est autẽ illa efficax contra acrimonias atque arteriæ asperitates & exulcerationes: ad quas itidẽ conuenit triticea ptissana, quæ quidẽ & plus alit & potẽtiùs vrinas mouet. Lactis verò vbertatẽ prestat, si cum fœniculi semine decocta sorbeatur. Vrinã porrò ciet hordeum, absterget, flatulẽtum est, stomacho aduersatur, & œdemata cõcoquit ac maturat. At verò ipsius farina cũ ficubus & aqua mulsa decocta, œdemata & inflammationes discutit: quin & duritias concoquit cum pice, resina & fimo colũbino. Cũ meliloto verò & papaueris calycibus, ijs dolorẽ eripit q̃ ex latere dolẽt: aduersus intestinorũ inflationes, cũ lini semine, fœnogreço & ruta imponitur. Strumas cũ pice liquida, cera, impubis pueri vrina & oleo ad cõcoctionẽ perducit: & cũ myrto aut vino, aut pyris syluestrib⁹, aut rubo, aut malicorio alui profluuia sistit: podagricis inflãmationibus cum cydonio malo aut aceto prodest. Decocta in acri aceto malagmatis in modum, quod ex eadem hydrelæo subacta conficitur, & calens apposita, lepris medetur. Farinæ verò cremor ex aqua cum pice & oleo decoctus, puri mouendo accõmodatus est. Ille idẽ ex aceto elicitus si cum pice coquatur, cõtra fluxiones articulorum prodest. Cęterùm hordeacea polenta cohibet aluum, inflammationésque mitigat.

De Zytho. Cap. CIX.

Ex hordeo zythum paratur, quod

A μαλακτικώτατος ὑπάρχων, καὶ παρεμψύχων, μιγεὶς πόαις ἢ χυλοῖς τισίν. ὁ δὲ παλαιὸς καὶ ξηρὸς καθ' ἑαυτὸν καὶ μιγεὶς τισίν, ἵστησι κοιλίαν ῥέουσαν. ἅλμῃ δὲ βραχεὶς ὁ πρόσφατος καὶ καταπλασθεὶς, παλαιοὺς λειχῆνας ἰᾶται. κόλλα δὲ ἡ γινομένη ἐκ τῆς σεμιδάλεως ἢ γύρεως πρὸς τὴν τῶν βιβλίων B κόλλησιν, ἁρμόζει ἐπὶ αἱμοπτοϊκῶν ὑγροτέρα καὶ χλιαρὰ καταρροφουμένη, κοχλιαρίου πλῆθος.

Lacuna addit … quod in vulg. exẽp. desideratur

Hæc verba ad capitis vsque calcem non leguntur in altero codice manuscripto. Goup.

Vulg. καὶ γύρεως

Περὶ Κριθῆς. Κεφ. ρη΄.

ΚΡΙΘΗ δὲ ἀρίστη ἡ λευκὴ καὶ καθαρά, ἀτροφωτέρα δὲ πυροῦ. τῆς μέντοι γινομένης ἐξ αὐτῆς ἀλφίτου ἡ πτισάνη τροφιμωτέρα, C διὰ τὴν ἐν τῇ ἑψήσει χύλωσιν· ποιοῦσα δὲ πρὸς τὰς δριμύτητας καὶ τὰς περὶ ἀρτηρίαν τραχύτητας καὶ ἑλκώσεις, πρὸς ἃς καὶ ἡ πυρίνη πτισάνη ἁρμόζει, τροφιμωτέρα καὶ οὐρητικωτέρα οὖσα. κατάγει δὲ καὶ γάλα συνεψηθεῖσα μαράθρου σπέρματι, καὶ ῥοφουμένη. ἔστι δὲ οὐρητική, σμηκτική, φυσώ- D δης, κακοστόμαχος, συμπεπτικὴ οἰδημάτων. διαφορεῖ δὲ τὸ ἄλευρον αὐτῆς μετὰ σύκων καὶ μελικράτου ἑψηθὲν οἰδήματα καὶ φλεγμονάς· συμπέσσει δὲ καὶ τὰς σκληρίας μετὰ πίσσης καὶ ῥητίνης καὶ περιστερᾶς κόπρου. σὺν μελιλώτῳ δὲ καὶ κωδίαις ἀνωδυνίαν παρέχει τοῖς πλευρὰν ἀλγοῦσι. καταπλά- E σσεται δὲ καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων, μετὰ λινοσπέρμου καὶ τήλεως καὶ πηγάνου. μετὰ δὲ πίσσης ὑγρᾶς καὶ κηροῦ καὶ οὔρου παιδὸς ἀφθόρου καὶ ἐλαίου, χοιράδας ἐκπέττει. σὺν μυρσίνῃ δέ, ἢ οἴνῳ, ἢ ἀχράσιν, ἢ βάτῳ, ἢ σιδίοις, κοιλίας ῥεύματα ἵστησι· σὺν κυδωνίῳ δὲ ἢ ὄξει, ποδαγρικὰς F φλεγμονὰς ὠφελεῖ· ἑψηθὲν δὲ μετὰ ὄξους δριμέως ὃν τρόπον ὠμὴ λύσις, καὶ θερμὸν ἐπιτιθέμενον, λέπρας ὑγιάζει. χυλωθὲν δὲ τὸ ἄλευρον σὺν ὕδατι, καὶ ἑψηθὲν σὺν πίσσῃ καὶ ἐλαίῳ, πυοποιόν ἐστι· σὺν ὄξει δὲ χυλωθὲν καὶ ἑψηθὲν μετὰ πίσσης, πρὸς τὰ τῶν ἄρθρων ῥεύματα ἁρμόζει. τὸ δὲ ἐξ αὐτῶν * ἄλευρον κοιλίας σταλτικόν, καὶ G φλεγμονῶν πραϋντικόν.

V. add. ςυφθ

V. καὶ ξηραντική

V. …

Hæc omnia ait Lacuna in codice vetustissimo cum copula legi loco disiunctiuæ particulæ. Mar. legit καὶ

Περὶ Ζύθου. Κεφ. ρθ΄.

Ζῦθος σκευάζεται ἐκ τῆς κριθῆς. οὗτος

δὲ διουρητικὸς, καὶ νεφρῶν καὶ νεύρων ἁπτικός, καὶ μάλιστα μηνίγγων κακωτικός· πνευματωτικός τε καὶ γεννητικὸς κακοχυμίας, καὶ ἐλεφαντιάσεως ποιητικός. εὐεργὴς δὲ καὶ ὁ ἐλέφας γίνεται βρεχόμενος αὐτῷ. A

Περὶ Κούρμιθος. Κεφ. ρι'.

Καὶ τὸ καλούμενον δὲ κοῦρμι, σκευαζόμενον δὲ ἐκ τῆς κριθῆς, ᾧ καὶ ἀντὶ οἴνου πόματι πολλάκις χρῶνται, κεφαλαλγές ἐστι καὶ κακόχυμον, καὶ τῶν νεύρων βλαπτικόν. σκευάζεται δὲ καὶ ἐκ πυρῶν τοιαῦτα πόματα ὡς ἐν τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ καὶ Βρεττανίᾳ. B

Περὶ Ζέας. Κεφ. ρια'.

Ζεια διττή· ἡ μὲν γὰρ ἁπλῆ, ἡ δὲ δίκοκκος καλεῖται, ἐν δυσὶν ἐλύτροις ἔχουσα συνεζευγμένον τὸ σπέρμα. ἔστι δὲ τροφιμωτέρα μὲν κριθῆς, εὔστομος. ἀτροφωτέρα δὲ πυρῶν ἀρτοποιουμένη. C

Περὶ Κρίμνου. Κεφ. ριβ'.

Κριμνον ἁδρότερόν ἐστι τῇ κατεργασίᾳ τοῦ ἀλεύρου, γινόμενον ἔκ τε ζείας καὶ πυροῦ, ἐξ οὗ ὁ πόλτος γίνεται. ἔστι δὲ ἰσχυρῶς τρόφιμον καὶ εὐκατέργαστον. σταλτικώτερον δὲ κοιλίας τὸ ἀπὸ τῆς ζέας μάλιστα προφωχθείσης. D

Περὶ Ὀλύρας. Κεφ. ριγ'.

Καὶ ἡ ὄλυρα δὲ ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τῇ ζέᾳ, ἀτροφωτέρα δὲ κατὰ ποσὸν ἐκείνης. ἀρτοποιεῖται δὲ καὶ αὐτή. καὶ κρίμνον ἐξ αὐτῆς ὡσαύτως γίνεται. B

Περὶ Ἀθήρας. Κεφ. ριδ'.

Gal. λεπτὰ

Ἀθηρα δὲ ἐκ τῆς ἠληλεσμένης εἰς λεπτὸν ζέας σκευάζεται. ἔστι δὲ ῥόφημα ὡσπολτάριον ὑγρόν, παιδίοις ἁρμόδιον. ποιεῖ δὲ καὶ εἰς τὰ καταπλάσματα.

Sab. add. πραΰντικὴ καὶ πυοποιά.

Περὶ Τράγου. Κεφ. ριε'. F

Τραγος τὸ σχῆμα μὲν παραπλησίως τῷ χόνδρῳ ἔοικεν. ἀτροφώτερος δὲ παρὰ πολὺ ζέας, διὰ τὸ πολὺ ἔχειν τὸ ἀχυρῶδες. διὸ καὶ δυσκατέργαστός ἐστι, καὶ κοιλίας μαλακτικός.

Gal. μαλακτικώτερος

Περὶ Βρώμου. Κεφ. ρις'.

Βρωμος καλαμός ἐστι, πυροῖς ὅμοιος καὶ τοῖς φύλλοις, γόνασι δὲ διειλημμένος. καρπὸν δὲ ἔχει ἐπ᾽ ἄκρῳ ὥσπερ ἀκρίδια δίκωλα, ἐν οἷς τὸ σπέρμα χρήσιμον εἰς G

quidem vrinas cit, renes ac neruos tẽtat, sed meningas potissimùm offendit: inflationem parit, vitiosúmque succũ creat, & elephátiasin inducit. Ipso verò maceratũ ebur obsequiosũ & operi tractabile redditur.

De Curmi. Cap. CX.

Fit & ex hordeo potus, quẽ Curmi nominant, eóque sæpenumerò pro vino vtuntur. Verùm doloré capitis infert, prauúmque succum gignit, ac neruos lædit. Parantur & similia potus genera ex tritico quẽadmodum in Iberia Occidentali & Britannia.

De Zea. Cap. CXI.

Zea duorum est generum: vna quidem simplex est, altera à binis granis dicoccos appellatur, quæ quidem in geminis vtriculis semen coniunctum habet. Plus quàm hordeum alit, ori grata: in panificia verò digesta minùs quàm triticũ alit.

De Crimno. Cap. CXII.

Crimnon crassior est quæ inter molẽdum fit è zea triticoq; farina, ex qua quidem puls conficitur. Abundè alit & facilè conficitur, sed aluum vehementiùs astringit, si zea ex qua fit priùs tosta fuerit.

De Olyra. Cap. CXIII.

Eiusdem cũ zea generis est & olyra, verũ q̃ illa minùs aliquãtò nutrit. Attamẽ in panes quoq; cogitur, ex eaq; similiter crimnõ factitatur.

De Athera. Cap. CXIIII.

Athera ex zea tenuissimè molita paratur. Est autẽ sorbitio liquidę pulticulę instar, infãtibus cõueniẽs. Est etiamnum & doloré sedantibus, & pus mouentibus cataplasmatis efficax.

De Trago. Cap. CXV.

Tragos formam quidem habet chondro similem: sed multò minùs quàm zea nutrit, quòd aceris multũ habeat: quare ægrè quoque conficitur, aluúmque mollit.

De Auena. Cap. CXVI.

Auena tum culmo, tum etiã folijs triticum imitatur: sed geniculis distinguitur. In cacumine verò dependentes veluti paruulas locustas bipedes gerit, in quibus semen continetur, æquè vt hordeum

ad cataplasmata vtile. Quin & ex ipso puls conficitur, alui sistendæ vi prædita. Eius verò cremor tussientibus sorbitione prodest.

De Oryza. Cap. CXVII.

ORYZA frumentacei generis est, quæ palustribus & vliginosis locis nascitur. Mediocriter alit, aluúmque supprimit.

De Chondro. Cap. CXVIII.

CHONDRVS fit è zea quæ dicoccos appellatur: potentiùs verò quàm oryza & alit & aluum cohibet, sed stomacho longè vtilior. Decoctus in aceto illitúsque, lepras tollit, & vngues scabros pellit, ac incipientibus ægilopijs medetur. Eius decoctum dysentericis dolore vexatis infusum idoneum est.

De Milio. Cap. CXIX.

MILIVM frugibus cæteris minùs alit: in panes verò coactum aut pultis instar præparatum aluum sistit & vrinam cit. Tostum verò & in sacculos inditum, fotu torminibus aliísque doloribus est auxilio.

De Panico. Cap. CXX.

PANICVM, quod alij melinen appellant, è cerealibus est seminibus, milio simile: eodémque modo in ciborum vsum venit, & ad eadem quoque valet: attamen milio & minùs nutrit, & minùs astringit.

De Sesamo. Cap. CXXI.

SESAMA stomacho nocet, & animæ grauitatem facit, si quando commanducata dentium commissuris inhæserit. Admota verò, neruorum crassitiem discutit, aurium fracturis & inflammationibus, ambustis item & coli doloribus ac cerastæ morsui medetur. Capitis autē dolores ex ardore contractos cum rosaceo lenit. Sed & herba in vino decocta eadem præstat, sed maximè oculorum inflāmationibus doloribúsque prodest. Ex ipso quoque semine fit oleū, quo Ægyptij vtūtur.

De Lolio. Cap. CXXII.

LOLIVM, quod è Græcis plerique eram, nōnulli thyaron appellāt,

A καταπλάσματα, ὡς ἡ κριθή. καὶ πόλτος δὲ ἐξ αὐτῆς γίνεται σταλτικὸς κοιλίας. ὁ δὲ ἐξ αὐτῆς χυλὸς ῥοφούμενος βήσσουσιν ἁρμόζει.

Περὶ Ὀρύζης. Κεφ. ριζ'.

ΟΡΥΖΑ τῶν σιτηρῶν ἐστιν εἶδος, φυομένη ἐν ἑλώδεσι τόποις καὶ ὑγροῖς. τρόφιμος δὲ μετρίως καὶ κοιλίας σταλτική.

B Περὶ Χόνδρου. Κεφ. ριη'.

Ὁ δὲ χόνδρος γίνεται μὲν ἐκ τῆς καλουμένης δικόκκου ζέας, τροφιμώτερος δὲ ὀρύζης, * στεγνωτικώτερος κοιλίας. εὐστομαχώτερος δὲ μᾶλλον. αἴρει δὲ καὶ λέπρας σὺν ὄξει ἑψηθεὶς καὶ καταχρισθεὶς, καὶ λεπροὺς ὄνυχας ἀφίστησι, καὶ αἰγίλωπια ἀρχόμενα θεραπεύει. ἔγκλυσμά τε τὸ ἀφέψημα αὐτοῦ τοῖς μετὰ ἀλγήματος δυσεντερικοῖς εὔθετον. (Orib. στεγνωτικὸν)

C

Περὶ Κέγχρου. Κεφ. ριθ'.

ΚΕΓΧΡΟΣ ἀτροφωτέρα τῶν λοιπῶν σιτηρῶν. ἀρτοποιηθεῖσα δὲ, ἢ ὥσπερ πόλτος σκευασθεῖσα κοιλίαν ἵστησιν, οὖρα δὲ κινεῖ. φωχθεῖσα δὲ καὶ βληθεῖσα εἰς σάκ-
D κους πυριωμένη, στρόφων καὶ τῶν ἄλλων ἀλγημάτων ἐστὶ βοήθημα.

(V. σιτίων. ἀρτοποιηθεῖσα δὲ πολτὸς κοιλίαν ἵστησι, οὖρα κινεῖ. ἀποκαρθεῖσα καὶ ἐμβληθεῖσα εἰς τὰ σακκίλια πυριωμένη στρόφων καὶ τῶν πλευρῶν ἀλγημάτων βοηθητικόν.)

Περὶ Ἐλύμου. Κεφ. ρκ'.

ΕΛΥΜΟΣ, ὃ δὲ μελίνην, τῶν σιτηρῶν ἐστὶ σπερμάτων, κέγχρῳ ὁμοία· ὡσαύτως σιτοποιουμένη καὶ πρὸς τὰ αὐτὰ ἁρμόζουσα, ἀτροφωτέρα μέντοι τῆς κέγχρου καὶ ἧττον σταλτική.

E

Περὶ Σησάμου. Κεφ. ρκα'.

ΣΗΣΑΜΟΝ κακοστόμαχον, καὶ δυσωδίας στόματος ποιητικόν, ὁπόταν βιβρωσκόμενον ἐμμείνῃ μεταξὺ τῶν ὀδόντων. καταπλασθὲν δὲ διαφορεῖ τὰς ἐν νεύροις παχύτητας, καὶ τὰ ἐν ὠσὶ θλάσματα, καὶ
F φλεγμονὰς καὶ πυρίκαυστα, καὶ κώλων ἀλγήματα, καὶ κεράστου δῆγμα θεραπεύει. σὺν ῥοδίνῳ δὲ κεφαλῆς ἀλγήματα ἐξ ἐγκαύσεως γινόμενα παραμυθεῖται. ἡ δὲ πόα καθεψηθεῖσα ἐν οἴνῳ, τὰ αὐτὰ ποιεῖ. μάλιστα δὲ φλεγμοναῖς ὀφθαλμῶν καὶ περιωδυνίαις ἁρμόζει. γίνεται δὲ καὶ ἔλαιον
G ἐξ αὐτοῦ, ᾧ καὶ Αἰγύπτιοι χρῶνται.

Περὶ Αἴρας. Κεφ. ρκβ'.

ΑΙΡΑ, ὃ δὲ θύαρος. αἶρα ἡ γινομένη ἐν τοῖς πυροῖς διεψηθεῖσα, δύναμιν

ἔχει περιχαρακτικὴν νομῶν, καὶ σηπεδόνων, καὶ γαγγραίνης, μετὰ ῥαφανίων καὶ ἁλῶν καταπλασσομένη· καὶ λειχῆνας ἀγρίους καὶ λέπρας σὺν θείῳ ἀπύρῳ καὶ ὄξει θεραπεύει. σὺν κόπρῳ δὲ περιστερᾶς καὶ λινοσπέρμῳ ἑψομένη ἐν οἴνῳ, χοιράδας διαλύει, καὶ τὰ δύσπεπτα ῥήσσει. ἰσχιαδικούς τε σὺν μελικράτῳ ἑψηθεῖσα καὶ καταπλασσομένη ὠφελεῖ. σὺν ἀλφίτῳ δὲ, ἢ σμύρνῃ, ἢ κρόκῳ, ἢ λιβανωτῷ ὑποθυμιωμένη, συνεργεῖ ταῖς συλλήψεσιν.

V. addit ἢ λιβάνῳ ἢ κρομμύῳ pro κρόκῳ

Περὶ Ἀμύλου. Κεφ. ρκγ'.

ΑΜΥΛΟΝ ὠνόμασται, διὰ τὸ χωρὶς μύλου κατασκευάζεσθαι. ἄριστον δέ ἐστι τὸ σκευαζόμενον ἐκ πυροῦ σητανίου, Κρητικὸν δὲ ἢ Αἰγύπτιον. σκευάζεται δὲ ἐκ πυροῦ σητανίου καθαροῦ, βρεχομένου πεντάκις τῆς ἡμέρας, εἰ δυνατὸν δὲ καὶ τῆς νυκτός· ὅταν δὲ μαλακὸς γένηται, δεῖ πραέως τὸ ὕδωρ ἐκχεῖν χωρὶς τοῦ κινεῖν, ἵνα μὴ συνεκκλύζηται τὸ νόστιμον. ἐπὰν δὲ παραστῇ μαλακώτατος γενόμενος, ἀποχέας τὸ ὕδωρ τρίβειν τοῖς ποσίν, εἶτα ὕδωρ ἐπιχέοντας τρίβειν· εἶτα ἀναιρεῖσθαι τὸ * ὑφιστάμενον πίτυρον ἠθμῷ, καὶ τὸ λοιπὸν διηθήσαντας ἐμβάλλειν εἰς ὑλιστῆρα, διυλίσαντάς τε εὐθέως ψύχειν ἐπὶ κεραμίδων καινῶν ἐν ἡλίῳ ὀξυτάτῳ· ἔνικμον γὰρ κἂν ἐπ' ὀλίγον μείνῃ, ὀξίζει. ποιεῖ δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ κοιλότητας καὶ φλυκταίνας· στέλλει δὲ καὶ αἵματος ἀναγωγὰς πινόμενον, καὶ τὰς * περὶ ἀρτηρίαν πραΰνει· μίγνυται δὲ καὶ γάλακτι καὶ προσοψήμασι. σκευάζεται δὲ καὶ ἐκ ζειᾶς βραχείσης καὶ πλυθείσης πρὸς μίαν ἢ δευτέραν ἡμέραν, καὶ σταιτὸς τρόπον ἀποθλιβείσης διὰ τῶν χειρῶν καὶ ξηρανθείσης ἐν ὀξυτάτῳ ἡλίῳ, ὡς προείρηται· τὸ δὲ τοιοῦτον ἄθετον μὲν πρὸς ἰατρικὴν χρῆσιν, πρὸς δὲ τὰ λοιπὰ εὔθετον.

Περὶ Τήλεως ἀλεύρου. Κεφ. ρκδ'.

V. addit ἢ λώτου ἡμεραίας ἀλεύρου.

ΤΗΛΙΣ, καὶ τὸ ἐκ τῆς τήλεως ἄλευρον, μαλακτικὴν καὶ διαχυτικὴν ἔχει δύναμιν· καταπλασσόμενον δὲ λεῖον σὺν μελικράτῳ ἑφθῷ, ποιεῖ πρὸς φλεγμονὰς τὰς ἐντὸς καὶ ἐκτός. σὺν νίτρῳ δὲ καὶ ὄξει λεῖον καταπλασθὲν, σπλῆνα μειοῖ.

V. addit ἑφθὸν
V. caret

Lacuna legit in v. c. ἑφθὸν

A quódque inter triticeas segetes nascitur, molitum, nomas, putrescẽtia vlcera & gangrænam emarginandi vim habet, si cum raphanis & sale imponatur. Feros verò lichenas & lepras cum sulphure viuo & aceto sanat. At cum fimo columbino & lini semine decoctum in vino, strumas discutit: & quæ ægrè maturantur rumpit. B Ischiadicis cum aqua mulsa decoctum & adhibitum prodest. Quòd si cum polenta, myrrha, croco aut thure suffiatur, conceptiones adiuuat.

De Amylo. Cap. CXXIII.

AMYLVM appellatum ab eo est, quòd sine mola fiat. Optimum C quod è trimestri paratur tritico, natione Creticum aut Ægyptiacum. Conficitur verò ex tritico eiusmodi puro quinquies die, ac si fieri potest, etiã nocte aqua perfuso: atque vbi emollitum fuerit, sensim aquã citra agitationem effundi oportet, vt ne simul vtilior succus* excludatur. (praeterflua.) At vbi mollissimum euasisse cõstiterit, D diffusa aqua pedibus calcari oportet: deindéque infusa alia teri. Tãdẽ innatãtes furfures incerniculo tollendi: reliquũ verò colo traiiciendũ, moxq; vt excolatum fuerit, super tegulis nouis ardẽtissimo sub sole siccari densaríque oportet. Nãque si paulisper vdum mãserit, acescit. Porrò contra oculorum fluxio- E nes, caua vlcera, & pustulas efficax est. Sanguinis etiãnum reiectiones potu cohibet, & exasperatas fauces lenit: lacti quoque & obsonijs admiscetur. Paratur & amylum ex zea macerata elotáque ad vnum aut alterum diẽ, & massæ triticeæ in modum manibus subacta, tãdemq; feruentissimo in sole, vti dictum est, F exiccata. Sed huiusmodi amylum ad vsum medicum ineptum est: ad reliqua verò idoneum.

De Fœnigræci farina. Cap. CXXIIII.

FOENVMGRÆCVM ipsiusq; farina molliendi ac dissipãdi, discutiendíve vim habent. Hæc tenuiter G contrita cum decocta aqua mulsa imposita, aduersus tam internas quàm externas inflammationes efficax est. Cum nitro verò ex aceto trita & imposita, lienem extenuat.

Decoctum autem fœnigræci, fœminarum malis ex inflãmatione præclusionéve vuluæ ortis insessu subuenit. Eiusdem in aqua decocti cremor expressus, capillos, furfures & achoras purgat. Cũ adipe verò anserino pessi vice subditur, ad emolliẽdos dilatãdosq; locos muliebres. Porrò viride cum aceto, imbecillibus exulceratisq; locis accõmodatum est. At ipsius decoctum prodest aduersus tenesmos, fœtidamq; dysentericorum proluuiem. Cæterùm quod ex eo exprimitur oleum, cum myrto capillos expurgat, & genitalium cicatrices exterit.

De Lino. Cap. CXXV.

LINVM vulgo notum est: cuius semen easdẽ quas Fœnumgræcum vires habet: quippe quod discutiat & emolliat omnẽ intus forisq; inflãmationem, cum melle, oleo & aqua exigua decoctũ, aut melle cocto exceptum. Emendat & crudũ vitia cutis in facie ab insolatione, ac varos cum nitro & ficubus impositum. Cũ lixiuio verò parotidas duritiasq; discutit: herpetas & fauos cũ vino decoctũ expurgat. Vngues scabros remouet cum pari modo nasturtij & mellis. Educit quoque quę intra pectus hærent, cum melle eclegmatis vice sumptum, ac tussim etiã lenit. Stimulat & venerem, si melli & piperi placentę modo admixtum largiùs sumatur. Quin & eius decoctũ aduersus intestinorum ac vuluæ erosiones, itemq; ad euocanda alui excrementa infunditur. Vuluæ deniq; inflammationibus, ęquè ac fœnigræci semen insessu, perquàm est vtile.

De Cicere. Cap. CXXVI.

CICER satiuum bonã facit aluum, vrinã cier, flatus gignit, coloris bonitatẽ cuti conciliat, menses partúsq; expellit & lac auget. Imponitur verò, & maximè cũ eruo decoctum, ad testium inflãmationes & myrmecias: itemq; ad scabiẽ, vlcera capitis manãtia & lichenas, necnon & ad cãcrosa, malignaq; vlcera cum hordeo & melle. Alterum porrò ciceris genus arietinum appellatur. Vtrunq; verò cit vrinas, dato cum rore marino aduersus morbum regium & hydropẽ eorũ decocto. Le-

A τὸ δὲ ἀφέψημα αὐτῆς ἐγκάθισμα εἰς τὰ γυναικεῖα, ὅσα κατὰ φλεγμονὰς ἢ μύσιν συνίσταται. σμήχει δὲ καὶ τρίχας καὶ πίτυρα, καὶ ἀχῶρας τὸ ἀπόθλιμμα αὐτῆς ἐν ὕδατι ἑψηθείσης· σὺν στέατι δὲ χηνείῳ προστίθεται αὐτὴ πεσσοῦ, μαλάσσον καὶ εὐρύνον τοὺς περὶ τὴν ὑστέραν τόπους. χλωρὰ

B δὲ μετ' ὄξους, ἀτονοῦσι τόποις καὶ ἑλκωθεῖσιν ἁρμόζει· τὸ δὲ ἀφέψημα αὐτῆς, πρὸς τεινεσμοὺς, καὶ δυσώδη ὑποχωρήματα δυσεντερικά. τὸ δὲ ἀπ' αὐτῆς ἔλαιον, μετὰ μυρσίνης σμήχει τρίχας, οὐλάς τε τὰς ἐν αἰδοίοις.

Περὶ Λίνου. Κεφ. ρκε'.

C Λίνον γνώριμον. δύναμιν δὲ ἔχει τὸ σπέρμα τὴν αὐτὴν τῇ τήλει, διαφορητικὴν καὶ μαλακτικὴν πάσης φλεγμονῆς ἐντός τε καὶ ἐκτός, σὺν μέλιτι καὶ ἐλαίῳ καὶ ὕδατι ὀλίγῳ ἑψηθέν, ἢ ἑφθῷ μέλιτι ἀναληφθέν. αἴρει δὲ καὶ ἐφήλεις ὠμὸν καὶ ἰόνθους σὺν νίτρῳ καταπλασθὲν καὶ σύκοις· σὺν κο-

D νίᾳ δέ, παρωτίδας καὶ σκληρίας διαφορεῖ· ἕρπητάς τε σὺν οἴνῳ ἑψηθὲν καὶ κηρία ἐκκαθαίρει. ὄνυχάς τε λεπροὺς ἀφίστησι σὺν καρδάμῳ ἴσῳ καὶ μέλιτι. ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος, σὺν μέλιτι αὐτὸ ἐκλεικτοῦ ληφθέν, καὶ βῆχας παρηγορεῖ. παρορμᾷ δὲ καὶ πρὸς ἀφροδίσια, μιγὲν μέλιτι καὶ πεπέρει ἀντὶ

E κόπτης πολὺ λαμβανόμενον. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ ἐνίεται πρὸς ἐντέρων καὶ ὑστέρας δηγμούς, καὶ ἐκκρίσεις περιττωμάτων, καὶ φλεγμονὰς τὰς ἐν μήτρᾳ εἰς ἐγκάθισμα, ὥσπερ τὸ τῆς τήλεως εὐχρηστεῖ.

Περὶ Ἐρεβίνθου. Κεφ. ρκς'.

Ἐρέβινθος ὁ ἥμερος, εὐκοίλιος, οὐ-

F ρητικός, πνευμάτων γεννητικός, εὐχροίας περιποιητικός, καταμηνίων ἀγωγὸς καὶ ἐμβρύων, καὶ γάλακτος γεννητικός. καταπλάσσεται δὲ μάλιστα σὺν ὀρόβοις ἑφθός, πρὸς ὄρχεων φλεγμονὰς καὶ μυρμηκίας, πρὸς τε ψώρας, καὶ [ἀχῶρας, καὶ λειχῆνας, καὶ τὰ καρκινώδη ἕλκη καὶ κακοήθη, σὺν

G κριθῇ καὶ μέλιτι. καλεῖται δὲ τὸ ἕτερον αὐτῶν εἶδος, κριός. ἀμφότεροι δέ εἰσι διουρητικοί, διδομένου πρὸς ἴκτερον καὶ ὕδρωπα τοῦ ἀφεψήματος αὐτῶν σὺν λιβανωτίδι.

V. horum vsque ad finem cap. nihil habet: non sunt tamẽ aspernanda.

Marc. legit ὀφθαλμοῖς.

V. λινοσπέρμον

Al. subdit ἢ ...

V. delet

V. delet inclusam

V. in margine, καταπλασσόμενον.

V. inserit, στενόφυλλον, ὑπόλευκον, ἄλλοις μακροτέροις καὶ πολυκάρποις.

A βλάπτουσι δὲ καὶ κύστιν εἱλκωμένην καὶ νεφρούς. πρὸς δὲ μυρμηκίας καὶ ἀκροχορδόνας νεομηνίας οὔσης, ἔνιοι ἑκάστης ἐξοχῆς ἐρέβινθον ψαύοντες ἄλλῳ καὶ ἄλλῳ, εἴς τε ὀθόνιον ἀποδήσαντες αὐτούς, ῥίπτειν εἰς τοὐπίσω κελεύουσιν, ὡς ἀποπιπτουσῶν τῶν ἀκροχορδόνων. γίνεται δὲ καὶ ἄγριος ἐρέβινθος ὅμοιος τοῖς φύλλοις τῷ ἡμέρῳ, ὀσμῇ δριμύς, τῷ καρ- B πῷ διαφέρων· ποιῶν πρὸς ὅσα καὶ ὁ ἥμερος.

A dũt quoque exulceratã vesicã & renes. Sunt qui myrmeciarũ & pensiliũ verrucarũ extuberationes eminentiásve singulas prima luna grano ciceris alio atque alio tangãt, eáque grana in linteolo deligata abijci *post se præcipiãt, quasi verrucæ hac arte decidant. Est & syluestre cicer, folijs satiuo simile, odore acri, B sed semine discrepans: quod quidẽ eadem quæ satiuum præstat.

*retrorsum

Περὶ Κυάμου Ἑλληνικοῦ. Κεφ. ρκζʹ.

Κύαμος Ἑλληνικὸς πνευματώδης, φυσώδης, δύσπεπτος, δυσόνειρος. βηχὶ δὲ σύμφορος καὶ σαρκῶν γεννητικός, *μέσος θερμοῦ καὶ ψυχροῦ. ἑψηθεὶς δὲ σὺν ὀξυ- C κράτῳ καὶ σὺν τῷ λέπει ἐσθιόμενος, δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐπέχει· καὶ πρὸς ἐμέτους δὲ εὔθετος βρωθείς. γίνεται δὲ ἀφυσότερος τοῦ πρώτου ὕδατος κατὰ τὴν ἕψησιν ἀποχεομένου. ὁ δὲ χλωρὸς καὶ κακοστομαχώτερος καὶ φυσωδέστερος. τὸ δὲ ἄλευρον D τοῦ κυάμου καταπλασθὲν καθ' ἑαυτό τε καὶ σὺν ἀλφίτῳ, τὰς ἐκ πληγῆς φλεγμονὰς πραΰνει· καὶ οὐλὰς ὁμοχρόους ποιεῖ, καὶ μαστοὺς χονδριῶντας καὶ φλεγμαίνοντας ὠφελεῖ· γάλα τε σβέννυσι. σὺν μέλιτι δὲ καὶ τηλίνῳ ἀλεύρῳ δοθιῆνας καὶ παρωτίδας καὶ ὑπώπια διαφορεῖ· σὺν ῥόδῳ τε καὶ λιβανωτῷ καὶ τῷ τοῦ ὠοῦ λευκῷ, ὀφθαλμῶν προπτώσεις B καὶ σταφυλώματα καὶ οἰδήματα στέλλει. φυραθὲν δὲ σὺν οἴνῳ, συγχύσεις καὶ πληγὰς ὀφθαλμῶν καθίστησιν· εἴς τε ἀνακόλλημα ῥεύματος χωρὶς τοῦ λέπους μασηθείς, ἐπιτίθεται κατὰ τοῦ μετώπου. καὶ διδύμων φλεγμονὰς ἑψηθεὶς ἐν οἴνῳ θεραπεύει· καὶ τοῖς ἐφη- F βαίοις δὲ τῶν παίδων καταπλασσόμενος, ἀνήβους ἐπὶ πολὺ τηρεῖ. σμήχει δὲ καὶ ἀλφούς. τὰ δὲ λέπη καταπλασσόμενα, τὰς ἐκτιλθείσας τρίχας ἀτρόφους καὶ ἰσχνὰς κατασκευάζει. μετὰ δὲ ἀλφίτου καὶ σχιστῆς καὶ ἐλαίου παλαιοῦ καταπλασθέντα, χοιράδας διαφορεῖ, καὶ ἔρια βάπτει τὸ ἀφέψημα αὐτῶν. ἐπι- G τίθεται δὲ καὶ πρὸς τὰς ἀπὸ τῶν βδελλῶν αἱμορραγίας, λελεπισμένος εἰς δύο διαιρεθείς, καθ' ὃ προσπέφυκεν, ἐπέχει *προσυπούμενος κατὰ τὸ ἡμιτόμιον.

Goup. hæc verba non legebantur olim in veteribus codicibus: quemadmodum intelligi potest ex veteri codice, Serapione, interprete antiquo, & Hermolao. Quæ autem ascripta sunt, studiosus quispiam ex Gal. in cōtextum transtulit: in quo scriptore ita legũtur, κύαμος καθ' ἑκάτερα τῆς μέσης κράσεως ἐστὶν ἐγγυτάτω κατὰ τὸ ξηραίνειν, καὶ κατὰ τὸ ψύχειν. Ex quib. verbis Dioscorides facilè emendari potest. Antigrapha hinc incipiunt, & præcedentia non habent, adeóque mihi suspecta sunt.

Ald. ...

De Faba Græca. Cap. CXXVII.

Faba Græca inflationem parit, flatulenta est, ægrè concoquitur, ac tumultuosa insõnia facit: sed tussi confert, carnéq; gignit, media calidi C frigidiq; natura. Decocta in posca & cum suo cortice esitata, dysẽterias & cœliacorũ profluuia sistit, & cõtra vomitiones in cibo idonea est. Minùs verò flatulenta euadit, si prior aqua inter coquendũ abiiciatur. At viridis & plus negotij stomacho facessit, & plus flatuum gignit. Porrò fabæ lomentum & per se & D cum poléta impositum, inflãmationes ab ictu mitigat, & cicatrices cõcolores facit: mãmas etiãnum grumoso lacte turgẽtes inflãmationeq; laborantes adiuuat, & lac quoq; extinguit. Cũ melle autẽ ac fœnigręci farina furunculos, parotidas & sub oculis *liuores discutit. Cũ rosa ve- B rò, thure ouíque candido, procidẽtes oculos, eorúmque staphylomata tumoréſque reprimit. Subactum vino, suffusiones & ictus oculorum recreat. Cõmanducata sine cortice faba frõti, sistendæ fluxionis gratia, anacollematis instar imponitur. Testium inflãmationes in vino decocta sanat. Pueris verò circa pubis F regionẽ adhibita, ipsos diu impuberes cõseruat. Vitiligine quoq; purgat. Corticibus autem illiti qui post euulsionem renascũtur pili, *ieiuni gracilésque efficiuntur. Iidem cum polenta, alumine scisso & vetere oleo impositi, strumas discutiũt: quin & eorum decocto lanæ inficiuntur. Cęterum faba dẽpto cortice bipar- G titò secta, qua quidẽ parte ex natura coaluit, ad sanguinis eruptiones ab hirudine excitatas imponitur: illas nanque dimidiata supprimit, si qua parte alteri cohærebat, apprimatur.

*sugillat

*strigosi

De Faba AEgyptia. *Cap. CXXVIII.*

Ægyptia faba, quā nonnulli Pōticā vocāt, in Ægypto quidem magna copia prouenit, sed & in Asia quoq; & Cilicia palustrib⁹ locis inuenitur. Foliū verò habet amplū instar petasi seu galeri, caulē cubitalem, digiti crassitudine: florē roseū, dupla papauerini floris amplitudine. At vbi B defloruit, vtriculos gerit folliculis similes, in quib⁹ faba paululū supra operculū instar bullę prominet. Ciboriū aut cibotiū ideò nominatur, quasi loculamētū, ꝙ seratur eiusmodi faba, ipsa humenti glebæ indita atq; ita in aquam demissa. Radix autē subiacet harundinis radice crassior: quę cocta crudaq; estur, & C collocasia nominatur. Faba quoq; ipsa virens comeditur: sed exiccata nigrescit, & Grecā magnitudine superat. Vi porrò habet astringendi, stomachūq; iuuat. Quáobrē dysentericis cœliacisq; conuenit inspersa earū farina polētę vice: sed & in pultē quoq; redacta exhibetur. Efficaciores aūt sunt cortices, si decocti in D vino mulso ternū cyathorū mensura ꝑpinētur. Cęterū ad auriū dolorē facit quod in earū medio viride spectatur, gustu amarum, si cum rosaceo coctum instilletur.

De Lente. *Cap. CXXIX.*

LENS frequenti cibo aciē oculorū obtundit, ægrè concoquitur, stomachum lædit, eumq; & intestina E inflat: sed aluū cum cortice comesta sistit. In eo genere ꝑstat quę facillimè coquitur, quæq; nihil atri in maceratione reddit. Vim porrò habet astringēdi: qua ex causa aluū cohibet, si detracto antè cortice accuratè discoquatur, prima aqua inter F coquendum effusa (quippe primum ipsius decoctū aluum soluit.) Insōnia verò tumultuosa excitat, neruosis partibus, pulmoni capitiq; cōtraria. Meliùs autē cōtra fluxiones alui suo fungetur munere, addito cū aceto intubo aut portulaca, aut beta nigra, aut myrti baccis, aut punici tegmine, aut rosis siccis, aut mespilis sorbísve, aut pyris palmulísve G Thebaïcis, aut malis cotoneis, aut cichorio, aut plātagine, aut gallis integris, quæ quidē post coctură abiiciūtur, aut deniq; rhoē qui obsoniis inspergitur. Verùm cum ea diligenter acetū percoqui debet: alioqui aluum

A Περὶ Κυάμου Αἰγυπτίου. Κεφ. ρκη'.

Ὁ δὲ Αἰγύπτιος κύαμος, ὃν ἔνιοι Ποντικὸν καλοῦσι, πλεῖστος μὲν γίνεται ἐν Αἰγύπτῳ, καὶ ἐν Ἀσίᾳ δὲ, καὶ ἐν Κιλικίᾳ ἐν ταῖς λίμναις εὑρίσκεται. ἔχει δὲ φύλλον μέγα ὡς πέτασον, καυλὸν δὲ πηχυαῖον, περὶ δάκτυλον τὸ πάχος· ἄνθος δὲ ῥοδόχρουν, διπλάσιον μήκωνος· B ὅταν ἀπανθήσῃ, φέρει φυσκία παραπλήσια θυλακίσκοις, ἐν οἷς κύαμος* μικρὸς ὑπεραίρων τὸ πῶμα ὡς πομφόλυξ. καλεῖται δὲ κιβώριον, ἢ κιβώτιον, διὰ τὸ τὴν φυτείαν τοῦ κυάμου γίνεσθαι αὐτοῦ ἐντιθεμένου ἐν ἰκμοβώλῳ, οὕτω τε εἰς τὸ ὕδωρ ἀφιεμένου. ῥίζα δὲ ὕπεστι παχυτέρα καλάμου, βιβρωσκομένη C ἑφθή τε καὶ ὠμή, κολλοκασία καλουμένη. ὁ δὲ κύαμος βιβρώσκεται μὲν καὶ χλωρός. ξηρανθεὶς δὲ γίνεται μέλας, καὶ μείζων τοῦ ἑλληνικοῦ· ἔχων δύναμιν στυπτικὴν καὶ εὐστόμαχον. ἁρμόζει δὲ δυσεντερικοῖς καὶ κοιλιακοῖς τὸ ἐξ αὐτοῦ ἄλευρον ἐπιπασσόμενον ἀντὶ ἀλφίτου. καὶ πολτοποιούμενον δὲ δίδοται. τὰ δὲ λέπη μᾶλλον D ποιεῖ ἑψόμενα ἐν οἰνομέλιτι, καὶ ποτιζόμενα πλῆθος κυάθων τριῶν. καὶ πρὸς ὠταλγίαν δὲ ποιεῖ τὸ ἐν μέσῳ χλωρὸν αὐτοῦ, πικρὸν δὲ κατὰ τὴν γεῦσιν, λεῖον σὺν ῥοδίνῳ συνεψόμενόν τε καὶ ἐνσταζόμενον.

Περὶ Φακοῦ. Κεφ. ρκθ'.

ΦΑΚΟΣ βιβρωσκόμενος συνεχῶς, ἀμβλυωπὸς, δύσπεπτος, κακοστόμαχος, E "πνευματωτικὸς στομάχου καὶ ἐντέρων, κοιλίας δὲ "σταλτικὸς, σὺν τῷ λέπει ἐσθιόμενος· διαφέρει δὲ αὐτοῦ ὁ εὔεψος καὶ μηδὲν ἀφιεὶς ἐν τῇ διαβροχῇ μέλαν. Δύναμιν δὲ ἔχει στυπτικήν. ὅθεν κοιλίαν ἵστησι, προαπολεπισθεὶς καὶ ἑψηθεὶς ἐπιμελῶς, τοῦ πρώτου ἐν τῷ ἀφέψεσθαι ὕδατος ἀποχεομένου. "λυτικὸν γὰρ κοιλίας τὸ F πρῶτον ἀφέψημα αὐτοῦ. ἔστι δὲ δυσόνειρος, ἄθετος πρὸς τὰ νευρώδη καὶ πνεύμονα καὶ κεφαλήν. βέλτιον δὲ τὸ ἴδιον ἔργον ἀποτελεῖ πρὸς τὰ ῥεύματα τῆς κοιλίας, μιγείσης αὐτῷ "μετ' ὄξους σέρεως ἢ ἀνδράχνης, ἢ σεύτλου μέλανος ἢ μυρτίων, ἢ σιδίων, ἢ ῥόδων ξηρῶν, ἢ μεσπίλων, ἢ οὔων, ἢ ἀπίων Θηβαϊκῶν, ἢ κυδωνίων G μήλων, ἢ κιχωρίου, ἢ ἀρνογλώσσου, ἢ κηκίδων ὁλοκλήρων, αἵ τινες μετὰ τὴν ἕψησιν ῥίπτονται), ἢ ῥοῦς τοῦ ἐπὶ τὰ ὄψα. δεῖ δὲ τὸ ὄξος ἐπιμελῶς συγκαθεψεῖν αὐτῷ. εἰ δὲ μή, τα-

V. codex de faba caput non habet

V. πέταλον.

V. carent.

Vulg. πνευματωτικός.

Al. μαλακτικὸς

Cornarius perperam σταλτικόν.

V. pro his ita: ὄξους, σέρεως ἢ κιχωρείου, ἢ ἀρνογλώσσου ἢ &c.

V. ἀπολεπισθέντες

ράττει τὴν κοιλίαν. καὶ ἀνατροπὴν δὲ στομάχου A περιλεπισθέντες τριάκοντα φακοὶ καὶ καταποθέντες ὠφελοῦσι. πτισθέντες δὲ καὶ ποδάγρας σὺν ἀλφίτῳ ἐφθοὺς καὶ ἑψηθεὶς καὶ καταπλασθεὶς. μετὰ δὲ μέλιτος κόλπους κολλᾷ, ἐσχάρας περιρρήττει, καὶ ἕλκη ἀνακαθαίρει. σὺν ὄξει δὲ ἑψηθεὶς σκληρώματα καὶ χοιράδας διαφορεῖ. σὺν μελιλώτῳ δὲ ἢ κυδωνίῳ, ὀφθαλμῶν B φλεγμονὰς καὶ δακτυλίου θεραπεύει, ῥοδίνου μιγνυμένου. ἐπὶ δὲ τῶν μειζόνων ἐν δακτυλίῳ φλεγμονῶν καὶ κόλπων μεγάλων, σὺν σιδίοις ἢ ῥόδοις ξηροῖς ἀφεψόμενος, μιγνυμένου καὶ μέλιτος. πρὸς νομὰς δὲ γαγγραινικὰς ὁμοίως, ἢ καὶ θαλάσσης μιγνυμένης. πρὸς δὲ φλυκταίνας καὶ ἕρπητας καὶ ἐρυσιπέλατα C καὶ χίμετλα, ὡς προείρηται. πρὸς δὲ χονδριώδεις μαστοὺς καὶ ἀπαργανώσεις, ἑψόμενος ἐν θαλάσσῃ ἁρμόζει καταπλασθείς.

Ald. χιμέτλας

Περὶ Φασιόλου. Κεφ. ρλ'.

V. κινητικός

ΦΑσίολος φυσώδης, πνευμάτων κινητικὸς, δύσπεπτος. ἑψηθεὶς δὲ χλωρὸς καὶ ἐσθιόμενος, κοιλίας μαλακτικὸς, πρὸς δὲ D ἐμέτους εὔθετος.

Περὶ Ὀρόβου. Κεφ. ρλα'.

V. τὰ σπερμάτια

ΟΡΟΒΟΣ γνώριμος θαμνίσκος, στενόφυλλος, λεπτὸς, ἔχων σπερμάτια ἐν λοβοῖς, ἐξ ὧν γίνεται τὸ καλούμενον ὀρόβινον ἄλευρον, ὃ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἁρμόζει. ἔστι δὲ καρηβαρικὸς, κοιλίας ταρακτικὸς εἰ βρωθείη, αἷμά τε δι' οὔρων ἄγει. βόας δὲ λιπαίνει E ἑφθὸς παρατιθέμενος. σκευάζεται δὲ τὸ ἐξ αὐτοῦ ὀρόβινον οὕτω· ἐκλέξας τοὺς εὐτραφεῖς καὶ λευκοὺς, ῥαῖνε ὕδατι ἀναφυρῶν, ἐάσας τε ἐφ' ἱκανὸν συμπιεῖν, φρύγε ἄχρις ἂν περιρραγῇ ὁ φλοιός. εἶτα ἀλέσας καὶ διασείσας κοσκίνῳ λεπτῷ, ἀπόθες. ἔστι δὲ εὐκοίλιον, οὐρητικὸν, εὐ- F χροίας ποιητικόν. πλεονασθὲν δὲ ἐν βρωτοῖς ἢ ἐν ποτοῖς, μετὰ στρόφων αἷμα ἄγει διὰ κοιλίας καὶ κύστεως. καθαίρει δὲ ἕλκη σὺν μέλιτι, καὶ φακοὺς καὶ ἐφήλεις καὶ σπίλους, καὶ τὸ λοιπὸν σῶμα. νομάς τε ἴστησι καὶ * σκληρώματα, καὶ γαγγραίνας καὶ σκληρίας μαλάσσει τὰς ἐν μαστοῖς, καὶ θηριώδη καὶ ἄνθρακας καὶ κηρία περιρρήττει. *φυραθεὶς δὲ σὺν οἴνῳ, κυνόδηκτα καὶ G ἀνθρωπόδηκτα καὶ ἐχιόδηκτα θεραπεύει. καταπλασσόμενος σὺν ὄξει δὲ, δυσουρίας καὶ στρόφους καὶ τεινεσμοὺς παύει. ἁρμόζει δὲ καὶ τοῖς ἀτροφοῦσι, καρύου μέγεθος φρυκτὸν ληφθὲν σὺν μέλιτι. τὸ δὲ ἀφέψημα αὐτοῦ καταντλούμενον, χίμετλα καὶ κνησμοὺς τοὺς ἐν σώματι θεραπεύει.

V. quidam σταλτικός

V. ἐκλέξας ὀρόβους τοὺς λευκούς

V. ἀναζέσας

Lacuna legit in v.c. καρκινώματα

Ald. χιμέτλας

cōturbat. Cōtra subuersionē stomachi decorticata lētis grana xxx. deuorataq; ꝓsūt. Decocta quoq; lēs cū polēta impositaq; podagras lenit. Sinus verò cū melle glutinat, vlcerū crustulas circūquaq; rūpit, & vlcera quoque ipsa repurgat. At ex aceto discocta, duritias & strumas discutit. Cū meliloto. a. vel cotoneo malo medetur inflāmationib' oculorū ac sedis, ammixto rosaceo. Sed in maioribus sedis inflāmationib' amplisq; sinib', cū putamine punici aut rosis siccis adiecto melle decoquitur. Valet quoq; ad nomas quę in gāgrenā euaserūt, similiter vsurpata, aut ēt adiūcta maris aqua. Ad pustulas. a. herpetas, erysipelata & pniones, quo antè dictū est modo. Cęterū cōtra māmas grumoso lacte turgentes nimiumq; distētas, decocta in aqua marina & imposita auxiliatur.

De Phasiolo. Cap. CXXX.

PHASIOLVS flatulētus est, flatusq; ciet, & ęgrè concoquitur. Quòd si viridis coquatur, in cibo aluū emollit & ad vomitiones ciēdas idoneus est.

De Eruo. Cap. CXXXI.

ERVVM exiguus est frutex omnib' cognit', angusto folio, tenuis, in siliqs parua gerēs semina, è quib' farina fit eruina dicta, quæ qdē ad medēdi vsū est accōmodata. Eruū porrò capiti onerosū est, aluūq; turbat si comestū fuerit, & sanguinē quoq; cū vrina ducit. Boues. a. saginat, si elixū apponatur. Parandę verò eruinę farinę ratio hęc est: huberiora cādidaq; grana deligito & aqua ꝑmiscēdo resꝑgito: ac vbi sufficiēter cōbibere siueris, tū demum torreto dū cortex disrūpatur: posteà molita & tenui cribro pollinario creta reponito. Huiusmodi farina bonā ꝓstat aluū, vrinā ciet, ac meliorē colorē cuti cōciliat. Quòd si in cibo potúve largi' assūpta fuerit, sanguinē cū torminib' ꝑ aluū & vesicā educit. Vlcera cū melle purgat: lētigines, solares maculas, ac neuos ēt toto corpore emēdat: nomas, carcinomata & gāgrenas serpere nō patitur. Quī & māmarū duritias emollit, ac ferina vlcera, carbūculos & fauos emarginat. Cū vino. a. subacta & imposita, canū, hominū viperarūq; morsib' medetur. Vrinæ quoq; difficultates, tormina & tenesmos ex aceto mitigat. Cōuenit & ijs q alimētū ex cibo non sentiūt tosta & ad nucis magnitudinē cū melle sūpta. Cæterū erui decocti aqua, perniones & pruritus in vniuerso corpore, fouendo sanat.

De Lupino. Cap. CXXXII.

LVPINVS satiuus notus est: cuius farina cum melle delincta, aut ex aceto pota, lumbricos enecat. Ipsi quoque lupini macerati, ita tamen vt minimè suam deposuerint amaritudinem, eadem in cibo efficiunt. Sed & eorum decoctum eadem præstat. Cum ruta verò ac pipere potum, lienosis prodest. Eodem ipso gangrænas, fera vlcera, incipientem scabiem, vitiligines, maculas, papularum ac pituitæ eruptiones & vlcera capitis manantia fouere vtile. Quin & illud ipsum mẽses ac partus detrahit, cũ myrrha & melle subditum. Purgat verò farina cutem, liuoresque emendat, & inflammationes sedat cum polenta & aqua. Ex aceto autem coxendicum cruciatus lenit. Panos verò ac strumas in aceto decocta & imposita loco mouet, atque carbunculos circũquaque rumpit. Ipsi quoque lupini aqua cœlesti decocti, dum in cremorem lentescant, faciẽ abstergunt: & cum chamæleonis nigri radice cocti, pecorũ scabiem sanant, si modò illa tepente decocto abluantur. Porrò radix in aqua decocta & epota, vrinas pellit. Lupini verò ipsi edulcati, si triti ex aceto bibantur, stomachi fastidium leuant, & cibi auiditatem faciunt.

De lupino syluestri. Cap. CXXXIII.

Est & syluestris lupinus satiuo similis, sed omni modo minor: qui quidem quę satiuus eadem pręstat.

De Rapo. Cap. CXXXIIII.

ELIXA rapi radix alit, inflationes parit, laxam ac pręhumidam carnem gignit, venerémque stimulat. Ipsius verò decocto podagræ pernionésque fouentur. Sed & ipsa trita & imposita prodest. Quòd si excauata radice, rosaceum ceratum intra ipsam feruẽti cinere liquefiat, remedium fiet ad vlceratos perniones efficax. At verò cymę mandun tur elixæ, & vrinã cient. Semen theriacis & antidotis quæ dolorem leuant idoneum est. Potum idẽ contra lethalia medicamenta salutare est, ac venerem quoque concitat.

Περὶ Θέρμου. Κεφ. ρλβ'.

A ΘΕΡΜΟΣ ἥμερος γνώριμος· οὗ τὸ ἄλευρον σὺν μέλιτι ἐκλειχόμενον, ἕλμινθας "ἐκτινάσσει. καὶ αὐτοὶ δὲ ἀποβραχέντες, καὶ ἔμπικροι ἐσθιόμενοι, τὰ αὐτὰ δρῶσι. καὶ τὸ ἀφέψημα αὐτῶν τὰ αὐτὰ ποιεῖ μετὰ πηγάνου καὶ πεπέρεως ποθέν· B *ὅθεν καὶ σπληνικοὺς ὠφελεῖ. "ἐπάντλημά τε γαγγραίνης ἐστὶ χρήσιμον, καὶ θηριωμάτων, ψώρας ἀρχομένης, ἀλφῶν, σπίλων, ἐξανθημάτων τε καὶ ἀχώρων. τὸ δ' αὐτὸ καὶ καταμηνίων καὶ ἐμβρύων ἐπισπαστικὸν, μετὰ σμύρνης καὶ μέλιτος ἐν προσθέτῳ. καθαίρει δὲ τὸ ἄλευρον C χρῶτα καὶ πελιώματα, καὶ φλεγμονὰς πραΰνει σὺν ἀλφίτῳ καὶ ὕδατι· σὺν ὄξει δὲ, ἰσχιάδας παρηγορεῖ καὶ *φύματα. χοιράδας δὲ μεταβάλλει ἐν ὄξει "ἑψηθεὶς καὶ καταπλασθεὶς, καὶ ἄνθρακας περιρρήσσει. μεθ' ὕδατος δὲ ὀμβρίου ἑψηθέντες οἱ θέρμοι ἄχρι "χυλώσεως, D σμήχουσι πρόσωπον· μετὰ δὲ χαμαιλέοντος ῥίζης τοῦ μέλανος ἑψηθέντες, προβάτων ψώρας ἰῶνται, ἐκλελουμένων τῷ ἀφεψήματι χλιαρῷ. ἡ δὲ ῥίζα ἑψηθεῖσα σὺν ὕδατι καὶ ποθεῖσα, οὔρησιν κινεῖ. οἱ δὲ ἀπογλυκανθέντες λεῖοι σὺν ὄξει ποθέντες στομάχου ἄσην πραΰνουσι, καὶ ἀνορεξίαν ἰῶνται·

V. φθείρει. Lacuna verò legit in veteri, & vt ipse vult inculpato codice, ἐκλειχόμενον ἢ μετ' ὄξους πινόμενον ἕλμινθας φθείρει.

Pl. Smegma.

Drag. addit. μετὰ μέλιτος.

V. perperam μεθύσεως

E Περὶ Θέρμου ἀγρίου. Κεφ. ρλγ'.

Γίνεται δὲ καὶ θέρμος ἄγριος, ἐμφερὴς τῷ ἡμέρῳ, κατὰ πάντα δὲ "μικρότερος, ποιῶν ὅσα καὶ ὁ ἥμερος.

V. πικρότερος

Περὶ Γογγύλης. Κεφ. ρλδ'.

ΓΟΓΓΥΛΗΣ ἡ ῥίζα ἑφθὴ τρόφιμος, F "πνευματωτικὴ, σαρκὸς πλαδαρᾶς γεννητικὴ, ἀφροδισίων παρορμητική. τὸ δὲ ἀφέψημα αὐτῆς, ποδάγρας καὶ "χιμέτλων ἐστὶ κατάντλημα. καὶ *αὐτὴ δὲ λεία καταπλασσομένη ὠφελεῖ. εἰ δέ τις ἐγγλύψας τὴν ῥίζαν, κηρωτὴν "ῥοδίνην ἐν αὐτῇ ἐπὶ θερμοσποδιᾷ τήξει, ποιεῖ G πρὸς *τὰ εἱλκωμένα χίμετλα. ὁ δὲ ἐξ αὐτῆς ἀσπάραγος βιβρώσκεται ἑφθὸς, ἔστι δὲ διουρητικός. τὸ δὲ σπέρμα εἰς ἀντιδότους καὶ θηριακὰς ἀνωδύνους εὔθετον.

Ald. πνευματική

V. χίμετλα ἰᾶται. cætera desunt.

Alius, καὶ αὐτὴ πρὸς τὰ

V. addit, ἐν αὐτῇ ῥόδινον ἐπὶ θερμῇ σποδιᾷ τήξας ποιεῖ

Catac. τὰς εἱλκωμένας διαθέσεις.

βοηθεῖ δὲ καὶ τοῖς θανασίμοις ποθέν, [παρορμᾷ καὶ πρὸς ἀφροδίσια.] ἁλμευθεῖσα δὲ ἀτροφωτέρα γίνεται βιβρωσκομένη· τὰς μέντοι ὀρέξεις ἀναλαμβάνει.

V. caret. etsi flatibus congruat.

Περὶ Γογγύλης ἀγρίας. Κεφ. ρλε΄.

Ἡ μέντοι ἀγρία γογγύλη φύεται ἐν ἀρούραις, θάμνος πηχυαῖος τὸ ὕψος, πολύκλαδος, ἐξ ἄκρου λεῖος, φύλλα ἔχουσα λεῖα, δακτύλου τὸ *πάχος, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς καλυκώδεσιν. ἀνοιχθέντων δὲ τῶν περικαρπίων, ἔσωθεν ἄλλος κεφαλοειδής ἐστι λοβός, ἐν ᾧ σπερμάτια μέλανα, θραυσθέντα δὲ λευκὰ ἔνδοθεν. μίγνυται δὲ σμήγμασι προσώπου καὶ τοῦ ἄλλου χρωτός, ὅσα δι' ἀλεύρων γίνεται θερμίνων, ἢ πυρίνων ἢ αἰρίνων ἢ ὀροβίνων.

Dod. caput hoc corruptum suspicatur.
V. quidam μῆκος
V. λεῖος non habet.
Alter, βολβὸς

Περὶ Βουνιάδος. Κεφ. ρλς΄.

ΒΟΥΝΙΑΣ, καὶ ταύτης ἡ ῥίζα ἑφθὴ φυσώδης ἐστίν. ἧττον δὲ τρόφιμος· ποιεῖ *γὰρ τὸ σπέρμα αὐτῆς ἀνενέργητα τὰ θανάσιμα προπινόμενον. μίγνυται δὲ καὶ ἀντιδότοις. ἁλμεύεται καὶ ταύτης ἡ ῥίζα.

Περὶ Ῥαφανίδος. Κεφ. ρλζ΄.

ῬΑΦΑΝΙΣ, καὶ αὐτὴ πνευματωτικὴ γεννητικὴ καὶ θερμαντική, εὔστομος, οὐκ εὐστόμαχος. ἐρευκτικὴ δέ ἐστι καὶ οὐρητική, εὐκοίλιος, εἴ τις αὐτὴν ἐπιλαμβάνει μᾶλλον συνεργοῦσαν τῇ ἀναδόσει. προεσθιομένη δὲ μετεωρίζει τὴν τροφήν· ἁρμόζει δὲ καὶ τοῖς ἐμεῖν μέλλουσι προεσθιομένη. ἀκριβοῖ δὲ καὶ τὰς αἰσθήσεις. ἑφθὴ δὲ ποιεῖ λαμβανομένη βήσσουσι χρονίως, καὶ τοῖς πάχος γεννῶσιν ἐν θώρακι. ὁ δὲ φλοιὸς αὐτῆς μετ' ὀξυμέλιτος λαμβανόμενος, ἐμετικώτερος, ἁρμόζων ὑδρωπικοῖς. καταπλασθεὶς δὲ ἐπιτεθεὶς καὶ σπληνικοῖς. σὺν μέλιτι δὲ νομὰς ἐφίστησι, καὶ ὑπώπια αἴρει. βοηθεῖ καὶ ἐχιοδήκτοις, καὶ ἀλωπεκίας δασύνει· φακοὺς ἀποσμήχει σὺν αἰρίνῳ ἀλεύρῳ. βοηθεῖ δὲ τοῖς ὑπὸ μυκήτων πνιγομένοις βιβρωσκομένη ἢ πινομένη, καὶ ἔμμηνα ἄγει. τὸ δὲ σπέρμα αὐτῆς ἐμετικόν, οὐρητικόν, σπληνὸς καθαιρετικόν, πινόμενον μετ' ὄξους· συναγχικοῖς τε βοηθεῖ ἀφεψηθὲν σὺν ὀξυμέλιτι θερμῷ

Alter. ῥαφανὸς
V. ἀλλ' εὔστομος
Gallic. παραλαμβάνει. textus probior. Samb.

A Cæterùm muria conditũ rapum in cibo sumptũ, minus quidẽ alimenti sufficit, attamẽ appetentiã restituit.

De rapo syluestri. Cap. C X X X V.

Syluestre rapũ in aruis nascitur, frutex cubitali altitudine, ramosus, in cacumine læuis, folijs quoque leuibus, radice digitali crassitudine, B aut etiam maiore. Fructũ verò gerit in siliquis calyculatis. Apertis autẽ fructus inuolucris intus alia spectatur siliqua capitis specie: qua quidẽ paruula semina nigra continentur, quæ tamen fracta intrinsecus alba conspiciuntur. Cęterùm admiscetur in smegmata, quibus ad detergẽdã cutẽ in facie reliquóq; corpore vtuntur: quæ quidẽ ex lupinorum, C tritici, lolij aut erui farina fiunt.

De Buniade. Cap. C X X X V I.

BVNIADIS quoque radix elixa flatus gignit, minùs verò nutrit. Semen ipsius præbibitum venena reddit inefficacia: ob id etiam in antidotos additur. Sed & huius radix muria conditur.

D *De raphano, seu radicula. Cap. C X X X V I I.*

RADICVLA quoque ipsa flatus gignit & excalfacit: ori quidem grata, at stomacho minimè cõmoda: ructus prætereà mouet, atq; vrinas ciet: aluum quoq; bonam facit, si quis ipsam summo cibo sumpserit, quippe quæ tùm distributionem E magis adiuuet: præsumpta verò cibum suspendit: quare & ante cibum vomituris conuenit: quin & sensuum aciem excitat. Elixa verò si sumatur, valet ad eos qui tussi diuturna infestantur, quíque crassiores succos in pectore cumulant. At cortex ipsius ex aceto mulso sumptus, vomitiones potẽtiùs mouet, hydro- F picis accõmodatus: impositus etiãnum lienosis est vtilis. Cum melle verò nomas sistit, & sub oculis sugillata tollit. Auxiliatur & à vipera commorsis, necnon & alopecias densat, atque lentigines cum loliacea farina exterit. Est & auxilio tam cibo quàm potu ijs qui à fun- G gis strangulantur, menstruáque pellit. Semen vomitiones excitat, vrinas eijcit, & lienem ex aceto potum extenuat. Decoctum anginosis cum aceto mulso calente

gargarizatu prodest, & contra cerastę morsum ex vino potum auxiliatur. Cæterùm ex aceto illitum gangrænas etiam valenter emarginat.

De radicula syluestri. Cap. CXXXVIII.

Radicula syluestris, quam Romani armoraciam vocant, folia habet satiuæ similia, sed quæ ad lampsanam propiùs accedant. Radix est gracilis, longa, subacris. Porrò tam folia quàm radix olerum vice decoquuntur. Excalfacit autem, vrinam ciet, æstuosáque est.

De Sisere. Cap. CXXXIX.

SISER vulgo cognitum: cuius radix elixa ori grata est, & stomacho vtilis: vrinam cit & appetētiam inuitat.

De Lapatho, siue rumice. Cap. CXL.

EST è lapathi generibus quoddā quod oxylapathum vocant, in palustribus nascens, durum ac summis foliorum partibus aliquantulū acuminatum. Alterum verò hortēse, priori dissimile. Tertium genus est syluestre, paruū, plantagini proximū, molle & humile. Est & quartum, quod nonnulli oxalidem, alij anaxyrida aut lapathum appellant. Cuius folia syluestri & exiguo lapatho similia, caulis minimè grandis, semen acutum, rubens, acre, in caule & agnatis appendicibus emicans. Omnium porrò decocto olere aluus emollitur. Crudum verò illitum meliceridas addito rosaceo aut croco discutit. At syluestris lapathi, oxylapathi & oxalidis semen ex aqua aut vino vtiliter bibitur cōtra dysenterias, cœliacorū affectus, stomachi fastidium, & scorpionis ictum. Quòd si quis in potu præsumpserit, nihil incōmodi ex illius ictu percipiet. Radices autem ex aceto coctæ, aut etiamnum crudæ impositæ, lepras, impetigines & scabrosos vngues curat: sed antè locus nitro aut aceto in Sole perfricandus est. Quin & earum decoctum pruritus corporis sedat, vice fotus affusum aut in solia balnearū additum. Aurium quoque dolorem leniunt, itémque dentium, si in vino coctæ colluantur. Strumas etiam parotidásque similiter coctæ in vino & impositæ discutiunt: aceto verò decoctæ lienem extenuant. Quin &

A εἰς ἀναγαργάρισμα. καὶ πρὸς κεράστου δῆγμα σὺν οἴνῳ πινόμενον βοηθεῖ. ἐπιπλασθὲν δὲ μετ' ὄξους καὶ γαγγραίνας εὐτόνως περιχαράσσει.

Περὶ Ῥαφανίδος ἀγρίας. Κεφ. ρλη'.

Ῥαφανὶς ἀγρία, ἣν Ῥωμαῖοι ἀρμορακίαν καλοῦσι, φύλλα ἔχει ὅμοια τῇ ἡμέρῳ, B πρὸς τὰ τῆς λαμψάνης μᾶλλον· ῥίζα δὲ ἰσχνή, *μακρή, ὑπόδριμυς· λαχανεύεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα ἑφθά. ἔστι δὲ θερμαντική, οὐρητική, καυματώδης.

Περὶ Σισάρου. Κεφ. ρλθ'.

ΣΙΣΑΡΟΝ γνώριμον, οὗ ἡ ῥίζα ἑφθή, εὔστομος, εὐστόμαχος, οὐρητική, ὀρέξεως C προσκλητική.

Περὶ Λαπάθου. Κεφ. ρμ'.

ΛΑΠΑΘΟΝ, τὸ μὲν αὐτοῦ ὀξυλάπαθον λέγεται, φυόμενον ἐν ἕλεσι, σκληρὸν κατ' ἄκρα ὑπόξυ· τὸ δέ τι κηπευτόν, οὐχ ὅμοιον τῷ πρώτῳ· τρίτον δὲ ἐστὶν ἄγριον, μικρόν, παρόμοιον ἀρνογλώσσῳ, μαλακόν, ταπεινόν. D ἔστι δὲ καὶ τέταρτον εἶδος αὐτοῦ, ὃ ἔνιοι ὀξαλίδα ἢ ἀναξυρίδα ἢ λάπαθον καλοῦσιν, οὗ φύλλα ὅμοια τῷ ἀγρίῳ καὶ μικρῷ λαπάθῳ, καυλὸς οὐ μέγας, καρπὸς ὑπόξυς, ἐρυθρός, δριμύς, ἐπὶ τοῦ καυλοῦ καὶ ἐπὶ τῶν παραφυάδων. πάντων δὲ τὸ λάχανον μαλάσσει κοιλίαν ἑψηθέν. ὠμὸν δὲ καταπλασσόμενον, E μελικηρίδας σὺν ῥοδίνῳ ἢ κρόκῳ διαφορεῖ. τὸ δὲ σπέρμα τοῦ ἀγρίου καὶ τοῦ ὀξυλαπάθου καὶ τοῦ ὀξαλίδος, πίνεται ὠφελίμως μεθ' ὕδατος ἢ οἴνου, πρὸς δυσεντερίας καὶ κοιλιακὰς διαθέσεις, καὶ ἄσην στομάχου, καὶ πρὸς σκορπίου πληγήν. καὶ εἰ προπίοι δέ τις, οὐδὲν πείσεται πληγείς. αἱ δὲ ῥίζαι αὐτοῦ F ἑφθαὶ σὺν ὄξει καὶ ὠμαὶ καταπλασθεῖσαι, θεραπεύουσι λέπρας, λειχῆνας, ὄνυχας λεπρούς. δεῖ δὲ προανατρίβειν τὸν τόπον ἐν ἡλίῳ νίτρῳ καὶ ὄξει. πραΰνει δὲ καὶ κνησμοὺς τὸ ἀφέψημα αὐτῶν ἐπαντλούμενον ἢ λουτρῷ μιγνύμενον. παρηγοροῦσι δὲ ὠταλγίας καὶ ὀδονταλγίαν ἑψηθεῖσαι ἐν οἴνῳ καὶ G διακλυζόμεναι, διαφοροῦσι καὶ χοιράδας καὶ παρωτίδας ἑφθαὶ σὺν οἴνῳ καταπλασθεῖσαι. σπλῆνα δέ, σὺν ὄξει. καὶ ἐν

V. Crateuæ istud caput tribuit.
Vulg. exēpl. non habent.
V. λευκή. Hisp. μακρά. quo modo & Lacuna ex vet. cod. restituit.
Add. Lacuna ex v.c. εἰς βρῶσιν.
Addit Lacuna ex v. c. καὶ ὠμή.

V. codices aliqui ista sic legūt: λάπαθον ὅτι μέγα ἐν ἕλεσι γεννώμενον καὶ κατὰ πάντα ὅμοιον καὶ τῇ δυνάμει τῷ μικρῷ. ἑψηθὲν δὲ καὶ βρωθὲν κοιλίαν μαλάσσει. ὠμὸν δὲ καταπλασθὲν μελικηρίδας σὺν κρόκῳ διαφορεῖ· αἱ δὲ ῥίζαι
Lacuna ex v. c. ita distinguit, σκληρὸν καὶ ἄκρα ὑπόξυ.
V. addit μικρὰν δύναμιν ἔχον καὶ ἀπόκρουστικήν.
Cat. ἰσαιδόμοιον, Orib. ὃ κατὰ πάν ὅμοιον τῷ πρώτῳ. cui lectioni subscribit Plin.
Ald. ζύμῳ.
Lacuna ex vet. cod. addit ἄγριον
V. καρπὸς οὐ μέγας, καυλὸς ἀπόξυς. Ald. ἀπόξυς, καρπὸς ἐρυθρὸς
Ald. εἰσὶ παραφυάδες
V quidam σὺν χόνδρῳ
V. inserit συπτικόν

Sic legit Lacuna ex v. c. sed vulg. exempl. tantum περιαντλούμενον
Verba hæc vetus epitome Diosc. ad verbū reponit in cap. de syluestri lapatho, & transposita arguit.

δέσμαι δέ τινες χρῶνται ταῖς ῥίζαις πρὸς χοιράδας, περιάπτοντες τῷ τραχήλῳ. ἱστᾶσι καὶ ῥοῦν γυναικεῖον προστεθεῖσαι λεῖαι. ἀφεψηθεῖσαι δὲ σὺν οἴνῳ καὶ πινόμεναι, ἰκτερικοὺς ἀποθεραπεύουσι, καὶ λίθους τοὺς ἐν κύστει θρύπτουσιν, ἔμμηνά τε ἄγουσι, καὶ σκορπιοπλήκτοις βοηθοῦσιν.

V. ἀποκαθαίρουσι
V. ἐν νεφροῖς

A ad strumas nonnulli radicibus vinculo ex ceruice suspensis amuleti instar vtuntur. Sistunt & fluxū muliebrem tritæ atque subditæ. Cum vino autem decoctæ ac bibitæ regio morbo laborantes persanant, calculos vesicæ comminuunt, menstrua cient, & à scorpione ictis auxiliantur.

Περὶ Ἱππολαπάθου. Κεφ. ρμα´.

Ἱππολάπαθον λάχανόν ἐστι μέγα ἐν ἕλεσι γινόμενον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς προειρημένοις.

De hippolapatho Gall. codex silet.
V. epitome ἀδρανεστέρας τυγχάνει δυνάμεως.

B *De Hippolapatho. Cap. CXLI.*

Hippolapathum olus est magnū, in paludibus nascens. Easdem autē vires habet, quas antè dicta lapathi genera.

Περὶ Λαμψάνης. Κεφ. ρμβ´.

ΛΑΜΨΑΝΗ λάχανόν ἐστιν ἄγριον, εὐτροφώτερον καὶ εὐστομαχώτερον τοῦ λαπάθου. οὗ τὰ φύλλα καὶ ὁ καυλὸς ἐσθίεται ἑφθά.

V. φυόμενον νάπιον
In veteri hîc caput est περὶ βουνίου. Goup.

De Lampsana. Cap. CXLII.

LAMPSANA syluestre olus est, quod quidē plus quàm lapathū alit, stomachóque est vtilius. Huius folia caulésque in cibo coquuntur. C

Περὶ Βλήτου. Κεφ. ρμγ´.

ΒΛΗΤΟΝ, λαχανεύεται καὶ τοῦτο. ἔστι δὲ εὐκοίλιον, οὐδεμίαν ἔχον φαρμακώδη δύναμιν.

De Blito. Cap. CXLIII.

BLITVM quoq; estur oleris modo. Est autem aluo vtile, nullius medicamētosę facultatis particeps.

Περὶ Μαλάχης. Κεφ. ρμδ´.

ΜΑΛΑΧΗ ἐδωδιμωτέρα μᾶλλον ἡ κηπευτὴ τῆς χερσαίας· κακοστόμαχος δὲ καὶ εὐκοίλιος, καὶ μᾶλλον οἱ καυλοί· ἐντέροις δὲ καὶ κύστει ὠφέλιμοι. Δύναμιν δὲ ἔχει τὰ φύλλα ὠμὰ καταπλασθέντα καὶ μετ᾽ ὀλίγων ἁλῶν μασηθέντα αἰγιλώπια ἀνασκευάζειν σὺν μέλιτι· πρὸς μέντοι τὴν ἀπούλωσιν δίχα τῶν ἁλῶν χρηστέον αὐτῇ. ποιεῖ καὶ πρὸς μελισσῶν καὶ σφηκῶν πληγὰς καταπλασσομένη· κἂν περιχρίσηται δέ τις αὐτὴν ὠμὴν λείαν σὺν ἐλαίῳ, ἄπληκτος διαμένει. μετὰ δὲ οὔρου καταπλασθεῖσα, ἀχῶρας καὶ πίτυρα ἰᾶται. ἑφθὰ δὲ λεῖα τὰ φύλλα καὶ σὺν ἐλαίῳ ἐπιτιθέμενα, πυρίκαυστα καὶ ἐρυσιπέλατα ὠφελεῖ. τὸ δὲ ἀφέψημα αὐτῆς μαλακτικὸν ἐγκάθισμα ὑστέρας, εἴς τε ἐνέματα πρὸς δηγμοὺς ἐντέρων καὶ μήτρας καὶ δακτυλίου ἁρμόδιον. ὁ δὲ ζωμὸς σὺν ταῖς ῥίζαις βοηθεῖ ἑψόμενος πᾶσι τοῖς θανασίμοις, ἐξεμεῖν δὲ δεῖ συνεχῶς πίνοντας. ὠφελεῖ δὲ καὶ φαλαγγιοδήκτοις, καὶ γάλα κατασπᾷ. ὁ δὲ καρπὸς μιγνύμενος αὐτῷ λωτοῦ ἀγρίου σπέρματος, πινόμενος μετὰ οἴνου, τὰ περὶ κύστιν ἀλγήματα πραΰνει.

Quidam inserit: τὰ αἰθήματα ἑφθὰ τὸν ῥοῦν γυναικεῖον ἵστησι, τὰ φύλλα δὲ καὶ δυσεντερίαις ἀρήγει.
V. ἐλαίου παλαιοῦ. Sic Dodonæus.
V. πραΰνει

De Malua Cap. CXLIIII.

D MALVA satiua cibo magis est idonea, quàm quæ locis incultis nascitur. Stomacho autem aduersatur, bonámq; facit aluum: sed multò magis caules, qui quidem intestinis ac vesicæ sunt vtiles. Vim porrò habent folia cruda, cum salis exiguo commanducata & ex melle illita, persanandarū ægilopum. Verùm cùm est inducenda cicatrix, ijs demùm citra salem vtendum. Illita quoque malua contra apum vesparúmque ictus est efficax. Quòd si quis ipsa cruda trita cum oleo antè perungatur, ab ijs minimè ferietur. Cum vrina autem adhibita, vlcera in capite manantia, furfurésque sanat. Cocta verò folia trita & ex oleo imposita, ambustis & erysipelatis prosunt. Eius ipsius decoctum insessione vuluas emollit: quin & ad intestinorū, vuluæ sedísque rosiones commodè infunditur. Ius autem cum radice sua decoctę contra venena omnia valet, si à sorbentibus cōtinuò reuomatur. Est & remedio contra phalangiorum morsus, atque lac euocat. Cæterùm semen addito syluestris loti semine potum è vino, vesicæ cruciatus lenit.

E F G

De Atriplice. Cap. CXLV.

ATRIPLEX, quam nonnulli chrysolachanō, quasi aureū olus vocant, cognitum olus est: & duorū quidē generū: vnū enim est syluestre, satiuum alterū. Coctū id oleris instar estur, aluúmq; mollit: panos verò discutit, siue crudum, siue coctum illinatur. Semen autē ex aqua mulsa potū, regio morbo medetur.

De Brassica. Cap. CXLVI.

BRASSICA satiua bonam facit aluum, si modò leuiter feruefacta edatur. Nam percocta aluū sistit: multò verò magis bis cocta, quæq; in lixiuio cocta fuerit. Æstiua autē stomacho aduersatur, & acrior est. At quę in Ægypto nascitur, propter amaritudinē non estur. Quibus obtusior est oculorū acies, ac tremulis in cibo auxiliatur: itémque summo sumpta cibo noxas ex crapula largioréq; vini potu pellit atq; restinguit. Eius verò cyma stomacho quidem vtilior, sed acrior, & ad ciendā vrinam validior. Eadem sale cōdita stomacho inimica est, aluúmque cōturbat. Porrò brassicæ crudæ succus cum iride ac nitro deuoratus, aluum emollit: potus autē è vino, à vipera cōmorsis opitulatur. At cum fœnigræci farina & aceto, prodest podagricis & articulario morbo laborantibus. Cōfert quoq; illitus sordidis ac vetustis vlceribus. Per se verò naribus infusus, caput expurgat. Quin & menses extrahit cū loliacea farina subditus. Illita per sese folia, aut cum polenta trita, valēt ad quasuis inflammationes & œdemata: quin & erysipelata, epinyctidas lepràsque sanāt. Cum sale verò carbunculos erumpūt: retinēt & fluentes capillos. Eadē cocta melle addito, valent aduersus depascētes gangrænas: cruda verò si ex aceto comedātur, lienosis prosūt. At cōmanducata ita vt deglutiatur succus, vocem interceptā restituūt. Cæterùm ipsius brassicæ decoctū potu aluum mensésq; ciet. Flos autē post puerperium in pesso subditus, cōceptionem impedit. Semē, eius præsertim quæ in Ægypto nascitur, potū lumbricos expellit, ac in antidota quoque theriaca additur: sed & faciei cutem lentiginésque expurgat.

A Περὶ Ἀτραφάξιος. Κεφ. ρμέ.

ΑΤΡΑΦΑΞΙΣ, οἱ δὲ χρυσολάχανον, λάχανόν ἐστι γνώριμον. διττὸν δὲ, τὸ μὲν ἄγριον, τὸ δὲ κηπευτόν. λαχανεύεται δὲ ἑφθόν. ἔστι δὲ κοιλίας μαλακτικόν. καταπλασσόμενον δὲ ὠμόν τε καὶ ἑφθὸν, φύγεθλα διαφορεῖ. ὁ δὲ καρπὸς αὐτοῦ πινόμενος μετὰ
B μελικράτου, ἴκτερον θεραπεύει.

Περὶ Κράμβης. Κεφ. ρμϛ'.

ΚΡΑΜΒΗ ἡ ἥμερος εὐκοίλιος, ἀκρόζεστος ἐσθιομένη. καθεψηθεῖσα δὲ κοιλίαν ἵστησι, καὶ μᾶλλον ἡ δίσεφθος καὶ ἐν κονίᾳ ἑψηθεῖσα. κακοστόμαχος δὲ καὶ δριμυτέρα ἡ θερινή. ἡ δὲ ἐν Αἰγύπτῳ, διὰ πικρίαν
C ἄβρωτος. ἀμβλυωποῦσι δὲ βοηθεῖ καὶ τρομώδεσιν ἐσθιομένη, καὶ τὰς ἐκ κραιπάλης καὶ οἴνου κακίας σβέννυσιν ἐπιλαμβανομένη. τὸ δὲ ἐξ αὐτῆς κῦμα εὐστομαχώτερον μὲν, δριμύτερον δὲ καὶ οὐρητικώτερον. ταριχευθὲν δὲ, κακοστόμαχον καὶ κοιλίας ταρακτικόν. ὁ δὲ χυλὸς αὐτῆς ὠμῆς μετὰ ἴριδος καὶ νίτρου κατα- (Sic Lacuna ex antiquo codice. At vulg. exempl. habent ὠμός.)
D πινόμενος, κοιλίαν μαλάττει· μετ' οἴνου δὲ ποθεὶς, ἐχιοδήκτοις βοηθεῖ· σὺν τηλίνῳ δὲ ἀλεύρῳ καὶ ὄξει, ποδαγρικοῖς καὶ ἀρθριτικοῖς, ἕλκεσί τε ῥυπαροῖς ἐπιπλαττόμενος καὶ παλαιοῖς ἁρμόζει· ἐγχεόμενός τε καθ' ἑαυτὸν τοῖς ῥισὶ, κεφαλὴν καθαίρει· μετὰ δὲ αἰρίνου ἀλεύρου προστεθεὶς, καταμήνια ἄγει· τὰ δὲ
A πὸς εἰς βρῶσιν. ταράττει δὲ κοιλίαν, "κακοστόμαχός τε ἐστὶ καὶ διψώδης· βρωθεῖσα δὲ ἑφθή, εὐστομαχωτέρα τῆς ὠμῆς. ὁ μὲν οὖν καρπὸς αὐτῆς σπλῆνα τήκει, ὁλκῇ δυοῖν < μετ' οἴνου πινόμενος ἐπὶ ἡμέρας μ'. ἄγει δὲ οὖρον καὶ "διαχώρημα αἱματῶδες. ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος ὁ B καρπός, καὶ πρὸς ῥήγματα καὶ σπάσματα· ἔμμηνά τε ἄγει καὶ ἀποφλεγματίζει. καὶ ὀδόντων πόνον παύει ὁ καρπὸς σὺν ὄξει ἑψόμενος καὶ διακλυζόμενος. τῆς δὲ ῥίζης ὁ φλοιὸς ξηρός, πρός τε τὰ προειρημένα ἁρμόζει, καὶ ἀνακαθαίρει πάνυ χρόνιον καὶ ῥυπαρὸν καὶ τετυλωμένον ἕλκος. "καταπλάσσεται δὲ καὶ ἐπὶ τῶν σπληνικῶν σὺν ὠμῇ C λύσει· δακνομένη τε τῷ πονοῦντι ὀδόντι βοηθεῖ· ἀλφούς τε λευκοὺς ἀποσμήχει σὺν ὄξει λεία. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα λεανθέντα, σκληρίας καὶ χοιράδας διαφορεῖ. σκώληκάς τε τοὺς ἐν ὠσὶν ὁ χυλὸς ἐγχυματισθεὶς κτείνει. Ἡ μέντοι Λιβυκὴ κάππαρις, γινομένη δὲ κατὰ τοὺς *Μαργαρίτας λεγο- D μένους, ἐμπνευματοῖ ἰσχυρῶς. ἐμετικὴ δὲ τυγχάνει ἡ ἐν Ἀπουλίᾳ. ἡ δὲ ἐκ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ *Λιβύης, δριμυτάτη, φλυκταινοῦσα τὸ στόμα, καὶ "κατεσθίουσα τὰ οὖλα ἄχρι γυμνώσεως· ὅθεν πρὸς βρῶσιν ἐστὶν "ἀνεπιτήδειος.

V. καὶ στόμαχον

V. διαχωρεῖ

V. hæc ad finem omittit.

Lacuna in vetustiss. codice legit διασήπουσα

Alias ἀθετεῖ

E Περὶ Λεπιδίου. Κεφ. σε'.

ΛΕΠΙΔΙΟΝ, ὃ ἔνιοι γιγγίδιον καλοῦσι, γνώριμον βοτάνιον, ταριχευόμενον εἰς ἁλμυρίας μετὰ γάλακτος. Δύναμις δέ ἐστι τῶν φύλλων δριμεῖα ἑλκωτική. ὅθεν ἰσχιαδικὸν ἐστιν ἐπίπλασμα ἀμυντικώτατον, λεῖον σὺν ἑλενίου ῥίζῃ ἐπιτιθέμενον πρὸς "τέταρτον ὥ- F ρας. καὶ ἐπὶ σπληνικῶν ὁμοίως. ἀφίστησι δὲ καὶ λέπρας. ἡ δὲ ῥίζα δοκεῖ ὀδόντων ἀλγήματα πραΰνειν, περιαπτομένη τῷ τραχήλῳ.

Cornarius τέταρας

Περὶ Βατραχίου. Κεφ. σϛ'.

ΒΑΤΡΑΧΙΟΝ, οἱ δὲ, σέλινον ἄγριον καλοῦσι· τούτου πλείονα μέν ἐστιν εἴδη. δύναμις δὲ μία, δριμεῖα καὶ ἄγαν ἑλ- G κωτική. ἔχει δὲ τὸ μὲν αὐτῶν, φύλλα ὅμοια κορίῳ, πλατύτερα δὲ καὶ ὑπόλευκα καὶ λιπαρά· ἄνθος μήλινον, ἐνίοτε πορφυροῦν· καυλὸν δὲ οὐ παχύν, [ὕψος δὲ ὅσον πήχεως.]

V. non habet cõclusa: vti neque quod sequitur μικρόν

ῥίζαν μικρὰν, λευκὴν, πικρὰν, ἔχουσαν ἀποφύσεις ὡς ἑλλεβόρου. φύεται δὲ παρὰ ῥείθροις. Ἔστι δὲ καὶ ἕτερον εἶδος χνοωδέστερον καὶ μακροκαυλότερον, ἐντομὰς ἔχον πλείους τῶν φύλλων, πλεῖστον ἐν Σαρδονίᾳ γινόμενον, δριμύτατον, ὃ δὴ καὶ σέλινον ἄγριον καλοῦσι καὶ τρίτον σφόδρα μικρὸν καὶ δύσοσμον, τὸ ἄνθος χρυσῷ ὅμοιον. καὶ τέταρτον ἐοικὸς τούτῳ, ἄνθος γαλακτίζον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ οἱ καυλοὶ ἁπαλοὶ καταπλασσόμενοι, ἑλκωτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πόνου· ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας ἀφίστησι, καὶ στίγματα ἐξαίρει, καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἀλωπεκίας, πρὸς ὀλίγον καταπλασθέντα. ἑψόμενα δὲ, καταντλήματα χιμετλιώντων ἐστὶ χλιαρόν. ἡ δὲ ῥίζα πταρμὸν κινεῖ, ξηρὰ λεία προσφερομένη τοῖς μυκτῆρσι· καὶ ὀδονταλγίας κουφίζει περιαπτομένη, θρύπτει μέν τοι αὐτούς.

Περὶ Ἀνεμώνης. Κεφ. σζ.

ΑΝΕΜΩΝΗ διττή, ἡ μὲν ἀγρία, ἡ δὲ ἥμερος. καὶ τῆς ἡμέρου, ἡ μέν τις φοινικᾶ φέρει τὰ ἄνθη· ἡ δὲ, ὑπόλευκα ἢ γαλακτίζοντα, ἢ πορφυρᾶ. φύλλα δὲ κοριοειδῆ, λεπτοσχιδέστερα πρὸς τῇ γῇ· καυλία χνοώδη, λεπτά, ὑπὲρ ὧν τὰ ἄνθη ὥσπερ μήκωνος, καὶ μέσα κεφάλια μέλανα, ἢ κυανίζοντα· ῥίζα κατὰ μέγεθος ἐλαίας ἢ μείζων, οἱονεὶ γόνασι διειλημμένη. ἡ δὲ ἀγρία κατὰ πάντα μείζων τῆς ἡμέρου, καὶ τοῖς φύλλοις πλατυτέρα καὶ σκληροτέρα. τήν τε κεφαλὴν ἐπιμηκεστέραν ἔχει· ἄνθος φοινικοῦν, ῥιζία λεπτὰ καὶ πλείω. ἡ δέ τις ἔχει φύλλα μέλανα, δριμυτέρα οὖσα. Δύναμιν δὲ ἔχουσι δριμεῖαν ἀμφότεραι· ὅθεν ὁ χυλὸς τῆς ῥίζης αὐτῆς ῥινὶ ἐγχυθεὶς πρὸς κεφαλῆς κάθαρσιν ἁρμόζει. μασηθεῖσα δὲ ἡ ῥίζα, φλέγμα ἄγει. ἑψηθεῖσα δὲ ἐν γλυκεῖ καὶ καταπλασσομένη, ὀφθαλμῶν φλεγμονὰς ἰᾶται· καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ ἀμβλυωπίας ἀποσμήχει, ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ * συνεψηθέντες πτισάνῃ καὶ ἐσθιόμενα, γάλακτα σπᾷ. ἐν προσθέτῳ δὲ ἔμμηνα ἄγει. καταπλασθέντα δὲ, λέπρας ἀφίστησιν. Ἔνιοι δὲ

A Radice nititur exigua, candida & amara, adnatis ceu capillamentis, hellebori modo, fibrata: iuxta fluēta nascitur. Alterum est lanuginosius, longioréque caule, pluribus foliorum incisuris; plurimum in Sardinia proueniēs, acerrimum, quod etiam syluestre apium appellant. Est & tertium valde paruum & odore graui, flore aureo. B Quartum simile huic, flore lacteo. Folia & caules tenelli vim habent illitu exulcerandi, & vsque adeò vrendi, vt etiam crustas cum dolore inducāt. Quare scabros vngues auferūt, psoras remouent, stigmata delēt: itémque formicationes ac pensiles verrucas & alopecias ad breue tempus C imposita tollunt. Quin & tepente eorum decocto perniones fouētur. Radix verò sicca tritáque, sternutamenta ciet, naribus admota: dentium quoque dolores appensa leuat, ipsos tamen rumpit.

De Anemone. Cap. CCVII.

ANEMONE duûm est generū: D syluestris quidem vna, satiua altera. Et in satiuæ quidem genere est quæ phœniceos flores habeat, altera quæ candicantes, aut lacteos, aut purpureos. Harū folia coriandro similia, sed proximè terram scissa tenuiùs. Cauliculi lanuginosi, tenues, in quibus flores veluti papaueris, & E in medio capitula nigra aut cærulea: radix oliuæ magnitudine, aut etiā maior, veluti geniculis distīcta. At syluestri amplitudo prsus maior quàm satiuę, foliísque est latioribus ac durioribus: capite oblongiore, flore phœniceo, tenuib⁹ ac plurib⁹ radiculis. Est & quædam folijs nigris, quæ quidem acrior est. Vis vtriusque acris: qua de causa ipsius F radicis succus naribus infusus valet ad purgandum caput. Commanducata verò radix, pituitam trahit. Decocta autem in passo & imposita, medetur oculorum inflammationibus: sed & cicatrices eorundē ac hebetudines emendat, sordidáque vlcera expurgat. Cæterùm folia & G caules si cum ptissana decoquantur, & in cibo sumantur, lactis fœcunditatem prestāt; subdita autem in pesso menstrua ciunt. Illita quoque, lepras eximunt. Sunt qui

Lacuna legit ῥίζαν μίαν μικρὰν λαχνώ.

Orib. χνοατωδέστερον Plin. foliosius.

V. καυλότερον

Fortè Σαρδόνι

Dodonæus restituit εὔοσμον

Addit Ald. τὸ εἶδος

Cat. χλοωδέστερον.

Ruell & Marc. inter τὰ φύλλα & ἢ, οἱ καυλοὶ, καὶ τὰ ἄνθη videtur legisse. Sic & habetur in nothis Ald. cod.

V: addit χλιαρά.

Alter χλοώδη, quam scripturā Serapio & Hermolaus secuti sunt.

V. vsque ad δριμυτέρα οὖσα nil habet.

V. quidam addit λίαν, alius, ἐλκοῦσαν.

V. quidam putat hæc ad finē vsq; illegitimè ascripta, & expositionē quandā esse.

nesciẽtes ab anemone syluestri distinguere argemonen dictam & papauer rhœas (de quo inter genera papaueris agemus) propter florum in puniceo colore conuenientiam, eupatorium errore ducti argemoniam appellent. Veruntamen tum argemone, tum & rhœas minùs saturato puniceo colore visuntur, & vtraque seriùs floret. Quinetiam argemone croceum gustúq; admodum acrem liquorem reddit: rhœas verò, candidiorem & acrem. Insuper vtrique intermedia sunt capitula syluestris papaueris similia, nisi quòd argemones quidem capitulum supernè latiusculum est, rhœadis autem aliquantò angustius. At anemones genera neque liquorem reddunt, neque capitula calycésve habent, sed velut asparagi cacumen. Denique & in aruis, cultísve illa plerunque nascuntur.

De Argemone. Cap. CCVIII.

ARGEMONE tota quidem syluestri papaueri similis est: sed folium habet quale anemone, diuisum: florẽ in cauliculo puniceum: caput quale papauer rhœas, sed oblongius & summis partibus latum: radicem rotundam: liquorem verò reddit croci colore & acrem. Illita folia argema & nubeculas expurgant, inflammationésque compescunt.

De Anagallide. Cap. CCIX.

ANAGALLIDIS duo sunt genera, quæ flore distant. Nam quæ cæruleo est flore, fœmina dicitur: mas, quę phœniceo. Frutices sũt exigui, in terra iacentes, quibus folia in quadrangulis cauliculis pusilla, subrotunda, ad folia helxines accedẽtia: fructus rotundus. Vtraque porrò vim habet mitigãdi, inflammationes arcendi, adactos corpori aculeos extrahendi, & nomas cohibendi. At succus earum capitis pituitam gargarizatu euocat, & naribus infusus dentium dolorem lenit, si in narem dolenti denti oppositam immissus fuerit. Emendat & argema cum melle Attico, & oculorum hebetudini opitulatur. Sed & morsis à vipera prodest, ex vino

A μὴ δυνάμενοι διορίζειν ἀπὸ τῆς ἀγρίας ἀνεμώνης τὴν λεγομένην "ἀργεμώνην καὶ τὴν ῥοιάδα μήκωνα (περὶ ἧς ἐν ταῖς μήκωσιν ἱστορήσομεν,) διὰ τὸ τῶν ἀνθῶν ὁμόχροιον, φοινικῶν ὑπαρχόντων, πλανώμενοι τὴν ἀργεμώνην εὐπατόριον ὀνομάζοντες. πλὴν τῆς ἀργεμώνης ἧττον βαθὺ τὸ φοινικοῦν ἐστι καὶ τῆς B ῥοιάδος, "ὀψιαίτερον δὲ αὕτη καὶ ἡ ἀργεμώνη ἀνθοῦσι. καὶ ἡ μὲν ἀργεμώνη ὀπὸν ἀνίησι κροκίζοντα, καὶ δριμὺν πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ἡ δὲ ῥοιὰς, λευκότερον καὶ δριμύν. ἀμφότεραι δὲ μεταξὺ κεφάλια μήκωνι ἀγρίᾳ παραπλήσια ἔχουσι, πλὴν τὸ μὲν τῆς "ἀργεμώνης ἄνωθεν *ὑπόπαχυ, τὸ δὲ τῆς C ῥοιάδος, ὑπόστενον. αἱ δὲ ἀνεμῶναι οὔτε ὀπὸν ἀνιᾶσιν, οὔτε κωδίαν ἔχουσιν, ἀλλ' οἱονεὶ ἀσπαράγου ἄκρον. ἐν ἀρούραις τε τὸ πλεῖον ἐκεῖναι φύονται.

Περὶ Ἀργεμώνης. Κεφ. σή.

ΑΡΓΕΜΩΝΗ, ὅλον μὲν ἐστὶ ὅμοιον ἀγρίᾳ μήκωνι. "τὸ δὲ φύλλον ἀνεμώνῃ D ἔχει ὅμοιον, "ἐσχισμένον, *"ἄνθος φοινικοῦν, κεφαλὴν δὲ ἐοικυῖαν μήκωνι ῥοιάδι, ἐπιμηκεστέραν δὲ καὶ πλατεῖαν κατὰ τὰ ἄνωθεν μέρη· ῥίζαν στρογγύλην. ὀπὸν δὲ ἀνίησι κροκίζοντα, δριμύν. καθαίρει δὲ ἄργεμα καὶ νεφέλια. καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα "καταπλασσόμενα.

E "Περὶ Ἀναγαλλίδος. Κεφ. σθ'.

ΤΗΣ ἀναγαλλίδος διττὸν εἶδός ἐστι, διαφέρον ἄνθει. ἡ μὲν γὰρ κυάνεον ἔχουσα τὸ ἄνθος, θήλεια λέγεται· ἡ δὲ τὸ φοινικοῦν, ἄρρην. θαμνία δέ ἐστι κεχυμένα ἐπὶ γῆς, φύλλα ἔχοντα ἐπὶ τετραγώνων καυλίων μικρὰ, ὑποστρόγγυλα F ["πρὸς τὰ τῆς ἑλξίνης,] καρπὸν περιφερῆ· εἰσὶ δὲ ἀμφότεραι *πραϋντικαὶ ἀφλέγμαντοι, σκολόπων "ἐπισπαστικαὶ, νομῶν ἐφεκτικαί. ὁ δὲ χυλὸς αὐτῶν ἀναγαργαριζόμενος, ἀποφλεγματίζει κεφαλήν· καὶ ῥισὶν ἐγχεόμενος, ὀδόντων πόνον παύει, ἐὰν εἰς τὸν ἀντικεί- G μενον μυξωτῆρα τῷ ἀλγοῦντι ἐμβληθῇ· καθαίρει καὶ ἄργεμα μετὰ μέλιτος Ἀττικοῦ, καὶ ἀμβλυωπίαις βοηθεῖ. ὠφελεῖ καὶ ἐχιοδήκτους μετ' οἴνου

Alter ἀργεμίδα

In altero legitur eodem sensu: ὀψιαίτερον δὲ αὗται τῶν ἀνεμωνῶν.

Vulg. exempl. ἀνεμώνης

V. codex τὸ δὲ φύλλον ἀργεμώνης ἐσχισμένον. Par. inserit ἄνθος Par. καυλὸν

In fine v. cod. margo habet, καὶ ἑτέρα εὑρίσκεται μικρὰ, εὐπατορίῳ ἐμφερὴς πόσως. Hoc cap. in cod. vet. Crateuæ tribuitur.

V. caret conclusis.

ἐπισπαστική

V. caret, vsque ad ἐγχεόμενος.

Lacuna addit ex cod. v. καὶ ὑδρωπικοῖς

V. cod. quidã in extremo cap. καὶ Κρατεύας ὁ ῥιζοτόμος: αἱ ἀγαλλίδες ἀμφότεραι τραυματικαί, ἀφλέγμαντοι, σκολόπων ἐπισπαστικαί. Catac. addit, καὶ Κρατεύας ὁ ῥιζοτόμος εἰς τὸ αὐτὸ τὰ αὐτά φησιν ἀπαραλλάκτως.

V. μικρά
V. γωνιοειδῆ

Ald. τοῖς τρισὶ δακτ.

Deest in Ald.

Hæc v. non habet.

V. αἱμοῤῥαγοῦντα

Lacuna legit in antiquo, μελανοκάρπου
V. ἄνοιαν, alius ἀγονίαν, alius ἀτοκίαν.
Al. παραφέρουσι

Byzantinus codex caret.

Al. ἐγκλυζόμενος.

πινόμενος, καὶ νεφριτικοῖς, καὶ ἡπατικοῖς." φασὶ δὲ ἔνιοι τὴν μὲν ἔχουσαν τὸ κυάνεον ἄνθος, προπτώσεις δακτυλίου στέλλειν· τὴν δὲ τὸ φοινικοῦν, ἐρεθίζειν καταπλασθεῖσαν."

Περὶ κισσοῦ. Κεφ. σί.

ΚΙΣΣΟΣ πολλὰς ἔχει διαφορὰς τὰς κατ' εἶδος, τὰς δὲ γενικωτάτας τρεῖς. λέγεται γὰρ ὁ μέν τις λευκός, ὁ δὲ, μέλας, ὁ δὲ, ἕλιξ. ὁ μὲν οὖν λευκός, φέρει τὸν καρπὸν λευκόν· ὁ δὲ μέλας, μέλανα ἢ κροκίζοντα, ὃν δὴ καὶ ἰδιωτικῶς Διονύσιον καλοῦσιν. ὁ δὲ ἕλιξ ἄκαρπός τε ἐστὶ, καὶ *λευκὰ ἔχει τὰ κλήματα, καὶ τὰ φύλλα "λεπτὰ καὶ "γωνιώδη καὶ *ἐρυθρά. πᾶς δὲ κισσὸς δριμύς ἐστι, στυπτικός, τῶν νευρωδῶν ἁπτικός. ποιεῖ δὲ αὐτοῦ τὰ μὲν ἄνθη "τρισὶ τοῖς δακτύλοις ληφθέντα καὶ ποθέντα ἐν οἴνῳ, πρὸς δυσεντερικούς. δὶς δὲ τῆς ἡμέρας δεῖ πίνειν· καὶ πρὸς πυρίκαυστα δὲ ἁρμόζει σὺν κηρωτῇ λεανθέντα. τὰ δὲ ἁπαλὰ τῶν φύλλων σὺν ὄξει ἑψόμενα, ἢ ὠμὰ "ἄρτῳ συλλεαινόμενα, σπλῆνα ἰῶνται. ῥινεγχυτεῖται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων σὺν ἰρίνῳ, ["ἢ μέλιτι, ἢ νίτρῳ,] καὶ πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλγήματα ἁρμόζει, καὶ ἐπιβρέχεται σὺν ὄξει καὶ ῥοδίνῳ· ὠταλγίας δὲ καὶ "πυορροοῦντα ὦτα σὺν ἐλαίῳ ἰᾶται. τοῦ δὲ "μέλανος κισσοῦ ὁ χυλὸς καὶ οἱ κόρυμβοι ποθέντες, "*ἀτονίαν ποιοῦσι, καὶ "παραφθείρουσι τὴν διάνοιαν πλεονασθέντες. λεῖα δὲ σφαιρία πέντε τῶν κορύμβων θερμανθέντα σὺν ῥοδίνῳ ἐν σιδίῳ, καὶ ἐνσταχθέντα εἰς τὸ ἀντικείμενον οὖς ἐπὶ ὀδονταλγίας, τὸ ἄλγημα πραΰνει. μελαίνουσι δὲ καὶ τὰς τρίχας οἱ κόρυμβοι. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς πᾶν ἕλκος, ἑψηθέντα σὺν οἴνῳ. καὶ καταπλασσόμενα, κατακαύματα κακοήθη, καὶ ἐφήλιδας θεραπεύει ὡς προείρηται ἑφθά. κινοῦσι δὲ καὶ καταμήνια ὑποτεθέντες οἱ κόρυμβοι λεῖοι· καὶ ποθέντες δὲ μετὰ τὴν κάθαρσιν < πλῆθος, ἀτόκιον ἐστί." καὶ ὁ μόσχος δὲ τῶν φύλλων μέλιτι δευθεὶς καὶ προστεθεὶς τῇ μήτρᾳ, ἔμμηνα ἄγει καὶ ἔμβρυα. ὁ δὲ χυλὸς "ἐνσταζόμενος τὰς ἐν τοῖς ῥώθωσι δυσωδίας καὶ σηπεδόνας ἐκκαθαίρει. τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχας· καὶ

A potus, itémque nephriticis, hepaticis, atque hydropicis. Cæterùm aiunt nonnulli impositam eam quę cæruleum edit florem, sedis procidẽtiam retrò agere: quæ verò phœniceum, eandem proritare.

De Hedera. Cap. CCX.

B HEDERA multas in specie differentias sortitur: summas autem genere tres. Est enim candida quędam, nigra altera, tertiáque quę vocatur helix. Et candida quidem, fructum fert candidũ: nigra, quam etiam vulgus Dionysiam vocat, nigrum aut croci æmulum. At helix fructum non gignit, tenues autem habet viticulas: folia verò parua, C angulosa & rubra. Porrò hedera omnis acris est & astringẽs, neruosúmque genus tentat. Flores ternis digitis capti, & in vino poti, ad dysentericos faciunt: sed bis die potari oportet. Ijdem cum cerato triti, ambustis prosunt. Recentia autem molliáve folia ex aceto decocta, aut cruda cum pane detrita, lienem sa- D nant. At succus foliorum & corymborum cum irino vnguento, melle aut nitro contra veteres capitis dolores vtiliter per nares infunditur. Perfunditur & eo caput cum aceto & rosaceo. Dolentibus verò purulentísque auribus cum oleo medetur. Nigræ autem hederæ suc- E cus & corymbi epoti sterilitatem faciunt, mentémque turbant largiùs sumpti. Globosi verò corymborum acini quinque, triti calfactíque cum rosaceo in Punici cortice, & in dolore dentium contrariæ auri instillati, dolorem mitigant. Denigrant & capillum corymbi. At folia in vino cocta, omni vlcerum F generi illinuntur. Ambusta quoque, etiã maligna, & maculas à sole contractas sanant, velut antè dictum est, decocta. Mouent & menses corymbi triti ac subditi. Ijdem post purgationes fœminarũ drachmæ pondere poti, spem conceptionis adimunt. Sed & pediculus foliorum melle irrigatus, & vuluæ in- G ditus menses & partus extrahit. Succus autẽ instillatus, narium graueolentiam emendat, & earundem putrida vlcera expurgat. Hederæ verò lachryma psilothrum est: ac

illitu pediculos enecat. Radicum denique succus in aceto potus, morsis à phalangio succurrit.

A κτείνει φθεῖρας ἐπαλειφόμενον. ὁ δὲ τῶν ῥιζῶν χυλὸς σὺν ὄξει "ποθεὶς, φαλαγγιοδήκτοις βοηθεῖ.

Lacuna ex vet. cod. restituit, σὺν ὄξει ἑψηθεὶς καὶ ποθείς. V. inserit, ὀδονταλγίαις

De Chelidonia. Cap. CCXI.

Περὶ Χελιδονίου τοῦ μεγάλου. Κεφ. σια.

CHELIDONIA maior caulem profert cubitalem, aut etiam altiorem, gracilem, qui quidem adnatos habet ramulos folijs refertos. B Sunt autem ea ranunculi folijs similia, at molliora tamen, & aliquantum colore glauco: flos verò secundum singula folia prodit, vti violæ albæ. Succus croceus est, acris, mordax, aliquantulum subamarus & graueolens. Radix supernè quidem singularis est, at infernè in multa crocea capillamenta fibratur. C ſiliquæ "Fructus ceu corniculati papaueris, tenuis, longus, coni seu metæ figura, in quo exigua semina papaueris seminibus maiora cõcluduntur. Succus melli admixtus, & in æreo vase prunis decoctus, oculorum aciem adiuuat. Folijs verò, radice & fructu ineunte æstate succus exprimitur: qui quidem siccatus D in vmbra digeritur in pastillos. Radix cum aniso ex vino albo pota, regio morbo medetur, itémque herpetibus, imposita cum vino: sed & commanducata dentium dolorem sedat. Porrò creditur chelidoniæ nomẽ sibi vendicasse, quòd primo statim hirundinum aduentu erumpat, earundémque discessu E marcescat. Sunt & qui tradiderint, si quis ex hirundinum pullis excæcatus fuerit, matres admota herba illius cæcitati mederi, adeóque visum restituere.

ΧΕΛΙΔΟΝΙΟΝ μέγα καυλὸν ἀνίησι πηχυαῖον, ἢ καὶ μείζονα, ἰσχνὸν, ἔχοντα παραφυάδας φύλλων μεστάς. φύλλα ὅμοια βατραχίῳ, τρυφερώτερα μέντοι τὰ τοῦ χελιδονίου καὶ ὑπόγλαυκα τὴν χρόαν. καὶ παρ' ἕκαστον φύλλον ἄνθος ὥσπερ τὸ λευκοΐου. χυλὸς δὲ κροκώδης, δριμὺς, δηκτικὸς, ποσῶς ὑπόπικρος καὶ δυσώδης· ῥίζα ἄνωθεν μέν ἐστι μία, κάτωθεν δὲ πλείονες, "κροκοειδεῖς τὴν χρόαν. καρπὸς δὲ ὥσπερ τῆς κερατίτιδος μήκωνος, λεπτὸς, μακρὸς ὡς κῶνος, ἐν ᾧ σπερμάτια μείζονα μήκωνος. ταύτης ὁ χυλὸς μιγεὶς μέλιτι καὶ ἑψηθεὶς ἐν χαλκῷ ἐπ' ἀνθράκων, ἁρμόζει πρὸς ὀξυδορκίαν. χυλίζεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ* καρπὸς ἀρχομένου θέρους, καὶ ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάσσεται· ἡ δὲ ῥίζα πινομένη σὺν ἀνίσῳ καὶ οἴνῳ λευκῷ, ἰκτερικοὺς θεραπεύει καὶ ἕρπητας* καὶ καταπλασσομένη σὺν οἴνῳ. ὀδονταλγίας τε παύει διαμασωμένη. δοκεῖ δὲ ὠνομάσθαι χελιδόνιον, ἐπειδὴ ἅμα ταῖς χελιδόσι φαινομέναις ἀναφύεται, ληγούσαις δὲ συμπαρακμάζει. "τινὲς δὲ ἱστόρησαν ὡς ἐάν τις τυφλωθῇ τῶν τῆς χελιδόνος νεοσσῶν, αἱ μητέρες προσφέρουσαι τὴν πόαν, ἰῶνται τὴν πήρωσιν αὐτοῦ.

Ita v.c. ac vulgata exẽplaria his κροκ. τὴν χρόαν carent.

Lacuna legit in vet. cod. τινὲς δὲ προσιστόρησαν, ὅτι ἐὰν τυφλωθῇ τις τοὺς τῆς χελιδόνος νεοσσοὺς, αἱ μητέρες προσφέρουσαι τὴν πόαν ἰῶνται τὴν πήρωσιν αὐτῶν.

De Chelidonia minore. Cap. CCXII.

Περὶ Χελιδονίου τοῦ μικροῦ. Κεφ. σιβ.

CHELIDONIA minor, quam F syluestre triticum aliqui nuncuparunt, herbula est pediculis ab radice pendens, sine caule, folijs hederę figura, sed multò rotũdioribus ac minoribus, mollib⁹ & subpinguibus circũdata. Radices habet ex eodẽ callo complures, pusillas, in granorum tritici modũ aceruatim congestas, quarum tamen tres quatuórG ve in longitudinẽ protẽduntur. Cęterùm iuxta aquas palustriáque loca nascitur. Vim acrem obtinet, & anemones modo summã cutẽ exul-

Χελιδόνιον τὸ μικρόν, ὃ οἱ δὲ "πυρὸν ἄγριον ἐκάλεσαν, βοτάνιόν ἐστιν ἐκ μοσχῶν* ἀπηρτισμένον, ἄκαυλον, φύλλοις κισσοειδέσι, περιφερεστέροις δὲ μᾶλλον καὶ μικροτέροις, καὶ τρυφεροῖς, καὶ ὑπολιπαρέσι περιεχόμενον. ῥίζας δὲ ἔχει ἐκ τοῦ αὐτοῦ μικράς, πολλάς, ὥσπερ πυροὺς σεσωρευμένας. τρεῖς δὲ εἰσιν ἢ τέσσαρες αὐτῶν μακραὶ πεφυκυῖαι. φύεται δὲ παρ' ὕδασι καὶ τέλμασιν. ἔχει δὲ τὴν δύναμιν δριμεῖαν, παραπλησίαν "ἀνεμώνῃ, ἑλκοῦσαν τὴν ἐπιφά-

Ald. πυρεινόν.

Alius quidam, λιμωνίῳ. V. ἰχώρων

νεῖον· ψώρας τε καὶ ὄνυχας λεπρώδεις ἀφίστησιν. αἱ δὲ ῥίζαι χυλωθεῖσαι, χρήσιμοι εἰς ῥινεγχύσιαν μετὰ μέλιτος πρὸς κάθαρσιν κεφαλῆς.

A cerat: psoras item & scabros vngues eximit. Succus verò radicibus expressus, addito melle, ad purgandum caput naribus vtiliter infunditur.

Περὶ Ὀθόννης. Κεφ. σιγ΄.

De Othonna. Cap. CCXIII.

Quidam codices vetusti vsque ad ἔχει δὲ, omnino cæteris carent.

Hæc verba sic leguntur in veteri: τῆς κερατίτιδος μήκωνος χυλὸν, οἱ δέ. Sed vulgatam scripturam Goupylus meliorem esse censet.

Catacuz. ὀλιγόχυλα

ὌΘΟΝΝΑ· οἱ μὲν φασὶ τοῦ μεγάλου χελιδονίου χυλὸν εἶναι· οἱ δὲ, γλαυκίου· οἱ δὲ, "τῆς κερατίτιδος μήκωνος τῶν ἀνθέων χυλόν. ἔνιοι δὲ μίγμα ἀναγαλλίδος τῆς κυανέας καὶ ὑοσκυάμου καὶ μήκωνος χυλῶν. οἱ δὲ, βοτάνης Τρωγλοδυτικῆς τινὸς, ἥτις Ὀθόννα καλεῖται, εἶναι χυλόν· γεννᾶσθαι δὲ αὐτὴν καὶ ἐν τῇ κατ' Αἴγυπτον Ἀραβίᾳ. ἔχει δὲ τὰ φύλλα εὐζώμῳ ἐμφερῆ, πολύτρητα ὥσπερ σητόκοπα, ψαφαρά, "ὀλιγόφυλλα. ἄνθος δὲ φέρει κρόκινον, πλατύφυλλον· ὅθεν ἔδοξαν ἀνεμώνης αὐτὸ τινὲς εἶδος εἶναι. χυλίζεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ὅπου δεῖ ἀποκαθαίρειν, δάκνουσα, καὶ πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσα. φασὶ δέ τινα καὶ ὑγρασίαν ἀπορρεῖν τῆς βοτάνης, ἣν πλύνοντες καὶ χωρίζοντες τὴν λίθον, ἀναπλάσσουσι τροχίσκους πρὸς τὰ αὐτά. ἔνιοι δὲ φασὶν αὐτὴν λίθον εἶναι Αἰγύπτιον ἐν τῇ Θηβαΐδι γεννώμενον, χαλκίζοντα, μικρὸν τῷ μεγέθει, δάκνοντα τὴν γλῶσσαν μετὰ πυρώσεως καὶ στύψεως.

OTHONNAM aiunt nonnulli maioris Chelidoniæ succum esse, quidam glaucij: alij floribus B corniculati papaueris expressum succum: alij anagallidis cæruleæ hyoscyami & papaueris succorum misturam esse contendunt. Alij denique Troglodyticæ cuiusdam herbæ succum, quæ Othonna vocetur: nascíque eam in eo Arabiæ tractu, qui ad Ægyptum spectat. Habet C hæc folia erucæ proxima, crebrò perforata, & tanquam à tineis pertusa, squalore obsita, pauca: quare quidam anemones speciem esse existimauerunt. Ex ea succus expressus oculorum medicamentis conuenit, vbi expurgare opus est. Mordet enim, & quæcunque oculis caliginem offundunt absterget. Tra- D dunt & humorẽ quendam ex herba emanare, qui elotus, semotis lapillis, in pastillos ad eadem digeratur. Aliqui tamen affirmant lapidem Ægyptium esse, in Thebaïde nascentem, ęreo colore, exigua magnitudine, gustu cum feruore quodam & astrictione mordaci.

Περὶ Μυὸς ὤτων. Κεφ. σιδ΄.

E De Myosotide, seu muris auricula. Cap. CCXIIII.

Mathioli exemplar, λεπτὰ ἢ μικρὰ ῥάχ.

Vetus hanc partem non legit: alij continuè legunt.

Sic Ruellij codex, at Par. ἀλσίνην.

ΜΥΟΣ ὦτα, οἱ δὲ μυὸς ὠτίδα καλοῦσιν, ἀνίησι καυλοὺς ἀπὸ μιᾶς ῥίζης πλείονας, ὑπερύθρους τὰ κάτωθεν καὶ κοίλους· φύλλα δὲ ἐπιμήκη καὶ στενά, ῥάχιν * ἐπηρτημένην ἔχοντα, μελανίζοντα, ἀνὰ δύο πεφυκότα ἐκ διαστημάτων, εἰς ὀξὺ ἀπολήγοντα. ἐκφύεταί τε λεπτὰ καυλία ἐκ τῶν μασχαλῶν, ἐφ' ὧν ἀνθύλλια κυανίζοντα μικρά, ὡς τὰ τῆς ἀναγαλλίδος· ῥίζα δὲ δακτύλου τὸ πάχος, ἔχουσα πολλὰς ἀποβλαστήσεις. "καθόλου δέ ἐστιν ὁμοία ἡ πόα τῷ σκολοπενδρίῳ, λειοτέρα δὲ καὶ ἐλάττων. ταύτης ἡ ῥίζα καταπλασθεῖσα αἰγιλώπια ἰᾶται. τινὲς δὲ καὶ τὴν * ἀλσίνην μυὸς ὠτίδα καλοῦσιν.

MVRIS auricula, quam myosotida vocant, caules promit ab vna radice plures, aliquatenus infernè rubẽtes & concauos: folia oblonga, angusta, dorsi spinam elatam & eminulam habentia, nigricantia, F per interualla assiduè geminata, & in mucronem desinẽtia. Prodeunt verò ex alis tenues cauliculi, in quibus flosculi cęrulei, parui, vt anagallidis. Radix digitali est crassitudine, multis fibrata capillamentis. Est denique, vt semel finiam, herba scolopendrio similis, sed læuior ac G minor. Huius radix imposita ægilopas sanat. Sunt & qui alsinẽ myosotida vocitent.

De Isatide

De Isatide satiua, seu glasto. Cap. CCXV.

ISATIS satiua, qua lanarum infectores vtuntur, folium habet plantagini simile, verùm pinguius nigriúsque: caulem verò altitudine duos excedentem cubitos. Imposita folia œdema quoduis atque tubercula discutiunt, cruentáque vulnera glutinant. Erumpentem quoque sanguinem sistunt, & phagedænas, herpetas, erysipelata ac putrescentia vlcera sanant.

De Isatide syluestri. Cap. CCXVI.

Isatis syluestris, antedictæ similis est, sed folia fert maiora, quæ ad lactucæ folia accedunt: caules verò tenuiores, multifidos, quadantenus rubentes, è quorum cacumine folliculi multi linguarum figura dependent, in quibus semen: florem denique luteum ac tenuem. Eadem quæ & suprà dicta præstat, sed præterea lienosis tam pota quàm imposita auxiliatur.

De Telephio. Cap. CCXVII.

TELEPHIVM portulacæ simile est & foliis & caule: alas verò binas habet singulis foliorum geniculis inhærentes: ramuli seni septenive à radice fruticant, folijs referti cæruleis, crassis, lentis atque carnosis: flores denique lutei sunt aut candidi. Vere nascitur in vitibus locísque cultis. Folia ad senas horas imposita, vitiliginem albam sanant: verùm posteà hordeaceam farinam adhibere oportet. Tollunt & vitiligines alphos dictas, ex aceto in sole illita: sed vbi inaruerint, abstergi ea oportet.

Libri secundi finis.

A

Περὶ Ἰσάτιδος ἡμέρου. Κεφ. σιε'.

ΙΣΑΤΙΣ ἥμερος, ἡ (ᾗ) βαφεῖς χρῶνται, φύλλον ἔχει ἀρνογλώσσῳ ἐμφερές· λιπαρώτερον δὲ καὶ μελάντερον, καυλὸν δὲ ὑπὲρ δίπηχυν. Δύναται δὲ τὰ φύλλα καταπλασσόμενα πᾶν οἴδημα διαφορεῖν, καὶ φύματα καὶ ἔναιμα τραύματα κολλᾶν. αἱμορραγίας τε στέλλειν, καὶ φαγεδαινικὰ, καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ σηπεδόνας θεραπεύειν. B

V. caret.

V. addit οὐ διακινοῦντα

Περὶ Ἰσάτιδος ἀγρίας. Κεφ. σις'.

Margo: καὶ πρὸς πάντα τὰ κακοήθη δραστικῶς αὐξάνεται.

Ἰσάτις ἀγρία, παραπλησία οὖσα τῇ προ αὐτῆς, φύλλα ἔχει μείζονα πρὸς τὰ τῆς θρίδακος. καυλοὺς δὲ λεπτοτέρους, πολυσχιδεῖς, ὑπερύθρους, ἔχονται δὲ ἄκρου C ὥσπερ θυλάκια γλωσσοειδῆ πολλὰ ἀποκρεμάμενα, ἐν οἷς τὸ σπέρμα. ἄνθος μήλινον, λεπτόν. Δύναται δὲ τὰ αὐτὰ τῇ προ αὐτῆς, ὠφελοῦσα καὶ σπληνικοὺς πινομένη καὶ καταπλασσομένη.

Epitom. addit, πλὴν δριμεῖαν καὶ ξηραντικωτέραν εἶναι.

D

Περὶ Τηλεφίου. Κεφ. σιζ'.

ΤΗΛΕΦΙΟΝ, τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ ἔοικεν ἀνδράχνῃ· μασχάλας ἔχον δύο παρ' ἕκαστον γόνυ τῶν φύλλων ἐμφυομένας. ἀφ' ὧν κλωνία ς'. ἢ ζ'. ἀπὸ τῆς ῥίζης πλήρη φύλλων κυανοειδῶν, παχέων τε καὶ γλίσχρων καὶ σαρκωδῶν, ἄνθη μήλινα ἢ λευκά. φύεται δὲ ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις ἔαρος. θεραπεύει δὲ καταπλασσόμενα τὰ φύλλα ἐπὶ ὥρας ἓξ λεύκην· δεῖ δὲ μετὰ ταῦτα ὠμῇ λύσῃ χρῆσθαι. αἴρει δὲ καὶ ἀλφοὺς ἐπιχριόμενα σὺν ὄξει ἐν ἡλίῳ. δεῖ μέντοι μετὰ τὸ ἀποξηρανθῆναι αὐτὰ ἀποψᾶν. E F

V. ἴνδον

Addit Matthioli codex στενὰ, λεπτὰ

Alter non habet hanc vocem, neque etiam eã Plinius expressit.

V. tantùm λευκά. Sed vulgatam scripturam rectiorem vult esse Goupylus, quia in telephio flores lutei spectentur.


Τέλος τοῦ βιβλίου δευτέρου.



ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ Περὶ ὕλης ἰατρικῆς λόγος τρίτος.

PEDACII DIOSCORIDIS ANAZARBAEI De medica materia Liber tertius.

IANO ANTONIO SARACENO, LVGDVNAEO, INTERPRETE.



ἘΝ μὲν τοῖς πρὸ τούτου βιβλίοις, φίλτατε Ἄρειε, παραδεδώκαμεν περὶ ἀρωμάτων, καὶ μύρων, καὶ ἐλαίων, καὶ δένδρων, καὶ τῶν ἀπ' αὐτῶν καρπῶν τε καὶ δακρύων, ἔτι τε ζώων καὶ σιτηρῶν καὶ λαχάνων, καὶ τῶν δριμύτητα κεκτημένων βοτανῶν. ἐν δὲ τούτῳ τρίτῳ τῷ ἄρχοντι, περὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων, συμφύλων τε καὶ φαρμακωδῶν ἐπελευσόμεθα.

Περὶ Ἀγαρικοῦ. Κεφ. α'.

ΑΓΑΡΙΚΟΝ ῥίζα φέρεται σιλφίῳ ἐμφερής, οὐ πυκνὴ τὴν ἐπιφάνειαν ὥσπερ τὸ σίλφιον, ἀραιὰ δέ ἐστιν ὅλη. ἔστι δὲ τὸ μὲν αὐτοῦ, ἄρρεν· τὸ δὲ, θῆλυ· ὧν διαφέρει τὸ θῆλυ ἔχον κτηδόνας εὐθείας ἐντός. τὸ δὲ ἄρρεν, περιφερές ἐστι καὶ πάντοθεν συμφυές. γεῦσις δ' ἀμφότερα ὅμοια· κατ' ἀρχὰς μὲν γλυκάζοντα, εἶτα ἐξ ἀναδόσεως ἔμπικρα. γίνεται δὲ ἐν τῇ Ἀγαρίᾳ τῆς Σαρματικῆς. λέγουσι δὲ οἱ μὲν, φυτοῦ ῥίζαν εἶναι, τινὲς δὲ, ἐν τοῖς στελέχεσι τῶν δένδρων κατὰ σῆψιν γίνεσθαι, ὥσπερ οἱ μύκητες. γίνεται δὲ καὶ ἐν τῇ κατὰ τὴν Ἀσίαν Γαλατίᾳ καὶ Κιλικίᾳ ἐπὶ τῶν κέδρων, εὔθρυπτον μέντοι καὶ ἀσθενές. τὴν μέντοι δύναμίν ἐστι στυπτικὸν, θερμαντικόν· ποιοῦν πρός τε στρόφους καὶ ὠμότητας, ῥήγματά τε καὶ πτώματα. ὀβολῶν δὲ δυοῖν πλῆθος διδόμενον μετ' οἰνομέλιτος, ἀπυρέτοις· πυρέσσουσι δὲ, ἐν μελικράτῳ. καὶ ἡπατικοῖς δὲ καὶ ἀσθματικοῖς, καὶ ἰκτερικοῖς καὶ δυσεντερικοῖς, καὶ νεφριτικοῖς καὶ δυσουροῦσι καὶ ὑστερικαῖς πνιξὶ, καὶ κακοχροίαις

Quidam, ἀναδύσεως.
Vulg. ἀγρίᾳ.
Marc. ῥιζῶν.
V. δένδρων. Sic Orib.
Mar. σπάσματα.
Marc. λειεντερικοῦσι.
V. caret.



PRIORIBVS quidem libris, amantissime Areæ, de aromatis, vnguẽtis, oleis, arboribus, earúmque fructibus & lachrymis: deindéque de animalibus, cerealibus, oleribus & acrimonia præditis herbis egimus. In hoc verò tertio de radicibus, succis, herbis & seminibus tũ naturæ nostræ familiaribus, tum etiam medicamentosis disseremus.

De Agarico. Cap. I.

AGARICVM radix fertur silphij similis, non tamen densa summa facie, veluti silphium, sed tota rarior. Duo eius genera: mas inquã, & fœmina. Præfertur verò fœmina, quæ quidem rectas intus habet pectinum modo venas & quasi diuisuras. Mas autem rotundus est, & vndique congener ac sui similis. Sed est similis vtrique gustus: scilicet initio dulcis, mox vbi diffundi per os cœperit, in amaritudinem transit. Gignitur in Sarmatię regione, quæ Agaria dicitur. Sunt verò qui plantæ radicem esse affirment: alij vti fungos ex putredine nasci in arborum caudicibus. Nascitur & in Galatia Asiæ & Cilicia in cedris, sed friabile & infirmius. Porrò Agaricum astringendi calfaciendiq; vim habet: estq; efficax contra tormina, cruditates, rupta & casus ab alto. Datur verò binis obolis ex vino mulso febrim non sentientibus: febricitantibus autẽ, in aqua mulsa: itémque hepaticis, suspiriosis, arquatis, dysentericis, nephriticis, ægrè meientibus, ab vtero strangulatis, atque fœdo pallore decoloratis

drachmæ pődere exhibetur: phthisicis autem ex passo: ac lienosis in aceto mulso. A stomachicis verò per se ita vt est, manditur ac deuoratur citra vllius liquoris sorbitionem: ac simili quoque modo datur acidum eructantibus. Sistit & sanguinis reiectiones, ternis obolis ex aqua sumptum. Facit & ad coxendicum articulorúmque dolores & comitiales morbos, si cum aceto mulso pari pődere assumatur. Menses quoque ciet, ac inflatione vteri vexatis mulieribus pari modo vtiliter exhibetur. Soluit & rigorem horrorémve, datum ante febrilium accessionum initia. Sed & aluũ purgat drachma vna aut altera, si cum aqua mulsa bibatur. Est & venenis pro antidoto, drachmæ vnius pondere cum diluta vini potione sumptum. Quin & serpentium ictibus ac morsibus tribus obolis ex vino potum auxiliatur. In summa internis omnibus vitijs subuenit, pro virium & ætatis ratione propinatum, his ex aqua, illis è vino, alijs ex aceto mulso, aliis denique ex aqua mulsa.

De Rha. Cap. II.

RHA, quod aliqui rheon vocant, prouenit in iis quæ supra Bosphorum sunt regionibus, ex quibus etiam affertur. Radix foris nigra, cẽtaurio magno similis, sed minor ac intus rubicundior, sine odore, laxa seu fungosa & aliquantum leuis. Optimum habetur quod teredines non sensit, si gustatu cum astrictione remissa lentescat, & commanducatum, colorẽ reddat pallidum, & quodammodo ad crocum inclinatem. Id epotum facit ad inflationes, stomachi imbecillitatem, & omne genus dolores, ad conuulsiones, spleneticos, hepaticos, nephriticos, torminosos, itémque aduersus vesicæ & pectoris vitia, distensiones hypochődriorum, icterinos affectus, ischiadas, sanguinis excreationes, suspiria, singultus, dysenterias & cœliacorum affectus, contra febrium circuitus & venenatorum morsus. Dabis verò ad singulos affectus, eodem quo agaricũ pondere & cum eisdem liquoribus: silicet febri carentibus, in vino mulso: febricitantibus autem, ex aqua mulsa: phthisicis, ex passo:

A < α'. διδόμενον· φθισικοῖς δὲ μετὰ γλυκέος· σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος· καὶ στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον, μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. ὁμοίως δὲ καὶ ὀξυρεγμιῶσιν. ἵστησι δὲ καὶ αἵματος ἀναγωγάς, ὁλκὴ τριωβόλου μεθ' ὕδατος λαμβανόμενον. ποιεῖ καὶ πρὸς ἰσχίων
B καὶ ἄρθρων ἀλγήματα, καὶ ἐπιληψίας, μετ' ὀξυμέλιτος λαμβανόμενον τὸ ἴσον πλῆθος. ἄγει δὲ καὶ ἔμμηνα, καὶ ταῖς ἐμπνευματουμέναις ὑστέραις γυναιξὶν ὠφελίμως τὸ ἴσον δίδοται. λύει δὲ καὶ ῥίγη πρὸ τῆς ἐπισημασίας διδόμενον. καθαίρει δὲ καὶ κοιλίαν < α' ἢ β'. μετὰ μελικράτου πινό-
C μενον. ἔστι δὲ καὶ θανασίμων ἀντίδοτον μετὰ κράματος < μιᾶς ὁλκὴ λαμβανόμενον. καὶ πρὸς ἑρπετῶν δὲ πληγὰς καὶ δήγματα, ὁλκὴ τριωβόλου μετ' οἴνου πινόμενον βοηθεῖ· καὶ καθόλου πρὸς τὰ ἐντὸς πάντα πάθη ἁρμόζει, πρὸς δύναμιν καὶ ἡλικίαν διδόμενον, οἷς μὲν μεθ' ὕδατος, οἷς δὲ
D μετ' οἴνου, οἷς δὲ μετ' ὀξυμέλιτος " ἢ μελικράτου. — V. addit πολλάκις

Περὶ Ῥᾶ. Κεφ. β'.

"ΡΑ, οἱ δὲ ῥῆον καλοῦσι, " γεννᾶται ἐν τοῖς ὑπὲρ Βόσπορον τόποις, ὅθεν καὶ κομίζεται. ῥίζα " ἔξωθεν μέλαινα, κενταυρείῳ τῷ μεγάλῳ ἐοικυῖα, μικροτέρα μέντοι καὶ
E ἐνερευθεστέρα, " ἄοσμος, χαύνη, ὑπόκουφος. ἔστι δὲ αὐτοῦ κράτιστον τὸ ἀτερηδόνιστον, ἔγγλισχρόν τε κατὰ τὴν γεῦσιν μετ' ἀνειμένης στύψεως, διαμασηθέν τε ἔνωχρον καὶ κροκίζον πως τῷ χρώματι. Ποιεῖ δὲ πινόμενον πρὸς ἐμπνευματώσεις, στομάχου ἀτονίαν, ἄλγημα παντοῖον, σπάσματα,
F " σπληνικούς, ἡπατικούς, νεφριτικούς, στροφουμένους, καὶ τὰ περὶ κύστιν καὶ θώρακα, καὶ ὑποχονδρίων ἐντάσεις, καὶ τὰ περὶ ὑστέραν πάθη, ἰσχιάδας, αἵματος πτύσεις, ἄσθματα, λυγμούς, δυσεντερίας, κοιλιακὰς διαθέσεις, καὶ περιόδους, καὶ θηρίων δήγματα. δώσεις δὲ ὁμοίως τῷ ἀγαρικῷ πρὸς ἕ-
G καστον πάθος, τῇ αὐτῇ ὁλκῇ, καὶ ὑγροῖς χρώμενος· μετ' οἰνομέλιτος μὲν, ἀπυρέτοις· πυρέσσουσι δὲ, μετὰ μελικράτου· φθισικοῖς, μετὰ γλυκέος,

Alter. ῥᾶ ἢ ῥῆον. V. πολλοὶ δὲ ῥαποντικόν. Sed ab aliquo fortè ista irrepserunt, Vulg. exemp. carent.

Dodon. εὔοσμος legendum putat

V. addit μάλιστα τὸ ἔγγλ.

Lacuna scribit addi in v.c. καὶ ῥήγματα quod non omisit Plin. de rhacomate (sic enim vocat) agens lib. 27. cap. 12.

V. delet.
V. his vsque ad ἄχρι caret. itidemque Serapio.

σπληνικοῖς μετ' ὀξυμέλιτος· στομαχικοῖς A ὡς ἐστι διαμασώμενον καὶ καταπινόμενον, μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. αἴρει δὲ καὶ πελιώματα καὶ λειχῆνας, μετ' ὄξους καταχρισθέν. καὶ φλεγμονὰς πάσας διαφορεῖ χρονίας, σὺν ὕδατι καταπλασσόμενον. ἡ δὲ ἀνωτάτω αὐτοῦ δύναμις, συπτικὴ μετὰ ποσῆς θερμασίας. B

Περὶ Γεντιανῆς. Κεφ. γ'.

Dalech. καὶ μάλιστα τὰ κατ' ἄκρον κείμενα μικρότερα.
V. ὑποσχισμένα μικρῶς
Dod. λάχαιον legisse videtur.
Aliqui cod. omittunt. παχ. πικραί.
V. ἀκρωτηρίοις, idem.
Dod. legit ῥυπτικήν.

ΓΕΝΤΙΑΝΗ δοκεῖ μὲν ὑπὸ πρώτου εὑρῆσθαι Γέντιδος τοῦ Ἰλλυριῶν βασιλέως, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν. ἧς τὰ φύλλα τὰ μὲν πρὸς τῇ ῥίζῃ, καρύᾳ ἢ ἀρνογλώσσῳ ὅμοια, ὑπέρυθρα· τὰ δὲ ἐν C μέσῳ τῷ καυλῷ, καὶ μάλιστα τὰ κατ' ἄκρον, ἐσχισμένα μικρῶς. καυλὸς δὲ κενός, λεῖος, τὸ πάχος δακτύλου, τὸ δὲ ὕψος δίπηχυς, γόνασι διειλημμένος, ἐκ διαστημάτων μειζόνων περιειλημμένος τοῖς φύλλοις· καρπὸν δὲ ἔχων ἐν κάλυξι πλατύν, κοῦφον, ἀχυρώδη, πρὸς τὸν τοῦ σφονδυλίου. D ῥίζαι μακραί, ὅμοιαι ἀριστολοχίᾳ τῇ μακρᾷ, παχεῖαι, πικραί. γεννᾶται δὲ ἐν ὑψηλοτάταις ἀκρωρείαις, καὶ συσκίοις τόποις καὶ ἐνύδροις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν, * συπτικήν· βοηθεῖ δὲ θηριοδήκτοις ποτιζομένη < β'. τὸ πλῆθος, μετὰ πεπέρεως καὶ πηγάνου, καὶ οἴνου. τοῦ E δὲ χυλίσματος ὅσον < α'. καὶ πρὸς ὀδύνας πλευρῶν, καὶ πτώματα, ῥήγματά τε καὶ σπάσματα. εὔθετεῖ καὶ ἡπατικοῖς καὶ στομαχικοῖς, πινομένη μεθ' ὕδατος. ἐκβάλλει δὲ ἔμβρυα ἡ ῥίζα ὡς κολλύριον προστιθεμένη. ἐστι δὲ καὶ τραυματική, ἐπιτιθεμένη ὡς τὸ λύκιον, νομῶν τε ἑλκῶν ἴαμα, καὶ F μάλιστα τὸ χύλισμα, καὶ ὀφθαλμῶν ἐπίχρισμα φλεγμαινόντων. μίγνυται δὲ καὶ εἰς τὰ δριμέα τῶν κολλυρίων τὸ χύλισμα ἀντὶ μηκωνίου. ἐστι δὲ καὶ ἀλφῶν σμηκτικὴ ἡ ῥίζα. χυλίζεται δὲ θλασθεῖσα καὶ βραχεῖσα ἐν ὕδατι ἐπὶ ἡμέρας ε'. εἶτα ἑψηθεῖσα ἐν τῷ ὕδατι, ἄχρις αἱ ὑπερέχωσιν G αἱ ῥίζαι, καὶ μετὰ τὸ ψυγῆναι τὸ ὕδωρ διηθεῖται δι' ὀθονίου· καὶ ἕψεται ἄχρις ἂν γένηται μελιτῶδες τῇ συστάσει.

Alter, καὶ σπάσματα, quæ lectio sensum rei conuenientem Goupylo habere videtur. alius πτώματα.
V. κωνείου.

spleneticis ex aceto mulso. At à stomachicis ita vt est mandetur, ac citra sorbitionem vllam deuorabitur. Tollit quoque liuētia, lichenásque cum aceto illitum: atque inflammationes omnes veteres ex aqua impositum dissipat. Cæterùm summa ipsius vis, astringens est cum aliquanto calore.

De Gentiana. Cap. III.

GENTIANA primùm inuenta creditur à Gentio Illyriorū Rege, à quo etiam cognomentum habuit. Huius folia, quę quidem proximè radicem sunt, iuglandi plantaginíve similia, subrubentia: quæ verò in medio sunt caule, maximéq; quæ circa cacumen, paulùm dissecta. Caulis inanis, læuis, digiti crassitudine ac binûm cubitorum altitudine, geniculis distinctus, & maioribus ex interuallis * foliis circundatus. Semen verò habet in calycibus latū, leue, acerosum, quod ad sphōdylij semen accedit. Radix longa qualis aristolochiæ longæ, crassa & amara. Nascitur in celsissimis montium iugis, locis vmbrosis aquosísq; e. Vis radici excalfactoria & detergens. Contra venenatarum bestiarum morsus duabus drachmis cum pipere & ruta ex vino pota auxiliatur. Extracti succi drachma ad laterum dolores, casus è sublimi, rupta & conuulsa prodest. Hepaticis quoque & stomachicis pota cum aqua subuenit. Radix collyrij modo subdita, partus eiicit: impositáque vt lycium vulneraria est, & cuniculatim depascentibus vlceribus medetur: præcipuè verò succo, qui quidem oculis etiam inflammatione laborantibus illinitur. Miscetur & succus acrioribus collyriis pro meconio. Sed & radix vitiligines alphos dictas absterget. Porrò extrahendi succi ratio hæc est: Contusa radix ad dies quinque aqua maceratur, posteà in eadem tantisper decoquitur, dum extent emineántque radices: ac vbi refrixit aqua, linteo excolatur, móxque discoquitur ad mellis crassitudinem,

* foliatus. V.

fictilíque vase reconditur.

De Aristolochia rotunda. Cap. IIII.

ARISTOLOCHIA ex eo nomen accepit, quòd optimè puerperis opitulari credatur. In eius generibus quædam est rotunda, quæ fœmina vocatur. Folijs hæc est hederaceis, cum acrimonia odoratis, subrotundis, mollibus, cum multis ab vna radice germinibus. Sunt verò prælonga quasi sarmenta: flores cádidi pileolorũ similitudine, in quibus quod rubicundum est grauiter olet.

De Aristolochia longa. Cap. V.

Longa autem Aristolochia mascula appellatur & dactylitis: folijs quàm rotunda oblongioribus, ramulis tenuibus, fermè dodrantalibus: flore purpureo, graueolente, qui vbi defloruit, pyro similis euadit. Rotundæ radix in orbem rapi modo conglobatur. Longæ verò, digiti crassitudinem implet, dodrátalis aut etiam maior. Ambæ colore intus buxeo, gustu amaræ ac virosę.

De Aristolochia Clematitide.
Cap. VI.

Est etiamnum tertia longa, quæ etiam clematitis, quasi sarmentosa seu sarmentitia, vocatur, ramulos habens tenues, folijs refertos subrotundis, minori semperuiuo similibus: flores rutæ: radices longiores, tenues, crasso aromáque redolente cortice vestitas: quæ priuatim vnguentariis ad vnguentorum spissamenta conducunt. Porrò cæteris quidem venenis resistit rotunda. At longa contra serpentes & venenata drachmæ pondere ex vino bibitur, atque etiam imponitur. Pota, pipere & myrrha additis, purgaméta omnia post partum in vtero relicta, menses & partus eiicit. Eadem quoque efficit subdita in pesso. Sed & rotunda ad eadem ad quæ & antedicta est efficax. Ex abũdanti verò suspiriis, singultibus, horroribus, lieni, ruptis, conuulsis & lateris doloribus, pota cum aqua auxiliatur. Extrahit & imposita aculeos ac spicula, ossiúmque squamas remouet. Vlcera quoque putrida emarginat, sordidáque expurgat, & caua cum íride ac melle explet.

A καὶ ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ.

Περὶ Ἀριστολοχίας στρογγύλης. Κεφ. δʹ.

ΑΡΙΣΤΟΛΟΧΙΑ ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν ἄριστα βοηθεῖν ταῖς *λοχοῖς. ἔστι δὲ ἡ μὲν στρογγύλη, θήλεια καλουμένη. φύλλα δὲ ἔχει κισσοειδῆ, εὐώδη μετὰ δριμύτητος, ὑποστρόγγυλα, *ἁπαλά, παρὰ πολλοῖς βλαστοῖς *ἐν μιᾷ ῥίζῃ. τὰ δὲ κλήματα *ἐπιμήκη. ἄνθη λευκά, οἱονεὶ πιλίσκοις. τὸ δὲ ἐν αὐτοῖς ἐρυθρόν, δυσῶδες.

Par. λοχείαις.
V. delet
B V. ἐκ μιᾶς ῥίζης
V. ὑπομήκη.

Περὶ Ἀριστολοχίας μακρᾶς. Κεφ. εʹ.

Η δὲ μακρὰ ἀριστολοχία ἄρρεν καλεῖται καὶ *δακτυλῖτις, φύλλα ἔχουσα ἐπιμηκέστερα τῆς στρογγύλης· κλωνία λεπτά, C ὡς σπιθαμῆς τὸ μέγεθος, ἄνθος πορφυροῦν, δυσῶδες, ὅπερ ἐξανθῆσαν ἀπίῳ παραπλήσιον γίνεται. ῥίζα δὲ τῆς μὲν στρογγύλης, περιφερής, γογγυλιδιόμοια. ἡ δὲ τῆς μακρᾶς, δακτύλου ἔχει τὸ πάχος, σπιθαμιαία ἢ καὶ μείζων. ἀμφότεραι δὲ τὰ πολλὰ πυξοειδεῖς ἔνδοθεν, πικραί τε τὴν γεῦσιν καὶ βρομώδεις.

V. vsque ad γίνεται caret.

D Περὶ Ἀριστολοχίας κληματίτιδος. Κεφ. ϛʹ.

Ἔστι δέ τις καὶ τρίτη μακρά, ἥ τις καὶ κληματῖτις καλεῖται, κλωνία ἔχουσα λεπτά, φύλλοις ὑποστρογγύλοις, ἀειζώου *μικροῦ ἐοικόσι περίπλεα, ἄνθη ἐοικότα πηγάνῳ· ῥίζας *μακροτέρας, λεπτάς, φλοιὸν ἐχούσας παχὺν καὶ ἀρωματίζοντα, E ἰδίως χρησιμευούσας μυρεψοῖς εἰς τὰς τῶν μύρων στύψεις. ποιεῖ δὲ πρὸς μὲν τὰ ἄλλα φάρμακα ἡ στρογγύλη, πρὸς δὲ τὰ ἑρπετὰ καὶ θανάσιμα ἡ μακρά. < αʹ. ὁλκὴ πινομένη μετ' οἴνου καὶ καταπλαττομένη· καὶ τὰ ἐν μήτρᾳ συνιστάμενα πάντα λόχια καὶ ἔμμηνα καὶ ἔμβρυα F ἐκβάλλει, ποθεῖσα μετὰ πεπέρεως καὶ σμύρνης. καὶ ἐν πεσσῷ δὲ προστεθεῖσα, τὰ αὐτὰ δρᾷ. ἡ δὲ στρογγύλη ποιεῖ μὲν πρὸς ἃ καὶ ἡ προειρημένη. ἐκ περιουσίας δὲ βοηθεῖ ἄσθματι, λυγμῷ, ῥίγει, σπληνί, ῥήγμασι, σπάσμασιν, ἀλγήμασι πλευρᾶς, ποθεῖσα μεθ' ὕδατος. ἀνάγει δὲ καὶ σκόλοπας, ἀκί- G δας. λεπίδας ὀστῶν καταπλασσομένη ἀφίστησι· καὶ σηπεδόνας περιχαράσσει, καὶ τὰ ῥυπαρὰ ἐκκαθαίρει ἕλκη· καὶ τὰ κοῖλα *πληροῖ σὺν ἴριδι καὶ μέλιτι.

V. στρογγύλοις μακροῖς.
Orib. μακροτέρας.
Lacuna ex v. c. suppleta.

σμήχει δὲ καὶ οὖλα καὶ ὀδόντας. δοκεῖ δὲ καὶ ἡ κληματῖτις πρὸς τὰ αὐτὰ ποιεῖν· ἐλαττοῦται μέντοι τῇ δυνάμει τῶν προειρημένων.

Περὶ Γλυκυρρίζης. Κεφ. ζ'.

ΓΛΥΚΥΡΡΙΖΑ γεννᾶται πλείστη ἐν Καππαδοκίᾳ, καὶ Πόντῳ. ἔστι δὲ θαμνίσκος, ῥάβδους ἔχων διπήχεις, περὶ οἷς τὰ φύλλα πυκνά, ἐοικότα σχίνῳ, λιπαρὰ καὶ κολλώδη ἁπτομένῳ. τὸ δὲ ἄνθος ὑακίνθῳ ὅμοιον· καρπὸς δὲ πλατάνου σφαιρίων μέγεθος, τραχύτερος, λοβοὺς ἔχων ὡς φακοῦ, πυρροὺς, μικρούς. ῥίζαι μακραί, πυξοειδεῖς ὡς γεντιανῆς, ὑπόστρυφνοι, γλυκεῖαι· χυλίζονται ὥσπερ τὸ λύκιον. ποιεῖ δὲ τὸ χύλισμα πρὸς τραχύτητας ἀρτηρίας· δεῖ δὲ ὑποτιθέντας τῇ γλώττῃ ἀποχυλίζειν. ἁρμόζει δὲ καὶ πρὸς καῦσον στομάχου, καὶ πρὸς τὰ ἐν θώρακι καὶ ἥπατι· ψωριάσεις τε κύστεως καὶ νεφρίτιδας πινόμενον μετὰ γλυκέος· ἄδιψόν τέ ἐστιν ἀποχυλιζόμενον, καὶ τραυματικὸν περιχριόμενον, καὶ *στοματικὸν διαμασώμενον. καὶ τὸ ἀφέψημα δὲ τῶν ῥιζῶν προσφάτων πρὸς τὰ αὐτὰ ἁρμόζει. ἡ δὲ ῥίζα ξηρὰ λειοτριβηθεῖσα, πτερυγίοις καταπαστὸς ἐστὶν ἐπιτήδειος.

V. θάμνος.
V. μακροὺς retinet. Ita & Orib.
Catac. legit πυρροειδεῖς
V. addit ἔξωθεν. Al. addunt τὸ πρῶτον
Addit Lacuna ex V.c. γλαύκιον ἢ
Addit Matthioli cod. μέσον δὲ θερμοῦ καὶ ψυχροῦ
V. addit κατὰ κρᾶσιν
Vulg. καταπλαστὸς

Περὶ Κενταυρίου τοῦ μεγάλου. Κεφ. η'.

ΚΕΝΤΑΥΡΙΟΝ τὸ μέγα, οἱ δὲ νάρκην καλοῦσι, φύλλα ἔχει καρύᾳ βασιλικῇ ὅμοια, περιμήκη, χρώματι χλωρᾷ ὡς κράμβης, τὸ δὲ περιφερὲς αὐτοῦ ἐντετμημένον ὥσπερ πρίων· καυλὸν δὲ ἔχει ὡς λαπάθου δίπηχυν, ἢ καὶ τρίπηχυν, παραφυάδας ἀπὸ τῆς ῥίζης ἔχοντα πολλάς, ἐφ' ὧν κεφαλαὶ ὅμοιαι μήκωνι, ὑπομήκεις ἐν τῷ περιφερεῖ. ἄνθος κυανίζον· καρπὸς δὲ ὅμοιος κνήκῳ, ἐγκείμενος ὥσπερ ἐν ἐριώδεσι τοῖς ἄνθεσι· ῥίζα παχεῖα, στερρά, βαρεῖα, περὶ πήχεις δύο, μεστὴ χυλοῦ, δριμεῖα μετά ποσῆς στύψεως καὶ γλυκύτητος, ὑπέρυθρος. φιλεῖ δὲ λιπαρὰν γῆν, εὐήλιον, καὶ δρυμοὺς καὶ γεώλοφα. πλεονάζει δὲ ἐν Λυκίᾳ καὶ Πελοποννήσῳ, ἐν Ἤλιδι καὶ Ἀρκαδίᾳ καὶ Μεσσηνίᾳ, καὶ περὶ Φολόην καὶ Λυκίαν καὶ Σμύρνην. ἁρμόζει δὲ ἡ ῥίζα ῥήγμασι, σπάσμασι, πλευ-

V. omisit ποσῆς στύψεως
V. ἐρυθρός. Addunt nonnulli veteres, ὁμοίως δὲ καὶ ὁ χυλὸς ἐρυθρός. quam lectionem Hermolaus secutus est.

Gingiuas denique ac dentes extergit. Creditur & clematitis ad eadẽ pollere: sed efficacia tamen cedit antedictis.

De Glycyrrhiza. Cap. VII.

GLYCYRRHIZA, seu dulcis radix, plurima gignitur in Cappadocia & Ponto. Est verò frutex exiguus, ramis binûm cubitorum altitudine: circa quos folia sunt densa, lentisci, pinguia tactúque glutinosa. Flos est hyacinthi: fructus platani pilularum magnitudinis, asperior, qui siliquas habet lentium modo rufas, & paruas: radices longæ, buxei coloris, vti gentianæ, subacerbæ ac dulces: è quibus succus lycij modo elicitur. Est verò spissatus hic succus ad arteriæ scabritias efficax: verùm oportet vt linguæ subditus eliquescat. Sed & æstuanti stomacho ac thoracis & iocineris vitijs conuenit: necnon ad vesicæ scabiẽ ac renum vitia vtiliter ex passo bibitur. Idem eliquatus sitim sedat, illitúsque vulneribus accommodatur, atque commanducatus prodest oris affectibus. Quin & recentium radicum decoctum ad eadem conuenit. Arida verò radix ad læuorem detrita, pterygijs commodè inspergitur.

De Centaurio maiore. Cap. VIII.

CENTAVRIVM magnum, quod aliqui narcen appellãt, folia habet nucis iuglandis, oblonga, viridi brassicæ colore, serrata in ambitu: caulem verò, ceu rumicis, binũ aut etiam ternûm cubitorum, multis ab radice adnatis, in quibus capita ceu papaueris, in rotunditate longiuscula: flos cæruleus: ac semen cnico simile, veluti laneis floccis quibusdam inuolutum. Radix est crassa, solida, grauis, ad bina cubita, succi plena, cum quadam astrictione ac dulcedine acris, rubescens. Amat solum pingue & apricum, ac syluas & colles. Cæterùm copiosè nascitur in Lycia, Peloponneso, Helide, Arcadia & Messenia, atque circa Pholoen, Lyciã & Smyrnã. Cõuenit porrò radix ruptis, cõuulsis, pleu-

riticis, dyſpnœę, veteri tuſſi & ſanguinē excreantibus: ac ſiquidē abſit febris, in vino: ſin minùs, ex aqua drachmis duabus trita exhibetur. Similiter quoque ad tormina & vuluæ dolores. Sed & deraſa, & in collyrij formam vuluæ ſubdita, mēſes atque partus extrahit. Eadē ſuccus etiamnum præſtat. Eſt & illa vulneraria: ſiquidem recens tuſa, aut, ſi arida fuerit, antè macerata, deindéque tuſa, vulnera colligat & conglutinat. Quin & tuſam ſi quis ſimul cum carnibus coquat, carnes ipſæ cohæreſcent. Cæterùm Lyciæ incolæ ſuccum ipſius exprimunt, quo pro Lycio vtuntur. Vocata autem fuit Panacea, quoniam inflammationes omnes ſedat, ictuúmque impetus lenit: atque calculoſos, quibúſque ſubſtillum eſt lotium iniectione ſanat. Legitur verò paulò ante Solis exortum, ſerena tempeſtate, per quam pleniora perfectioráque ſunt omnia.

De Centaurio minore.

Cap. IX.

Centauriū paruū ſeu tenue, quod aliqui limnæū quaſi paluſtre vocāt, quoniā humecta riguáve amet loca, herba eſt hyperico aut origano ſimilis: cuius caulis dodrante altior eſt & anguloſus: flores ad lychnidis florum ſimilitudinē è puniceo colore in purpuram vergunt: folia minuta, quadantenus longiora, veluti rutæ: ſemen tritico ſimile: radix puſilla, læuis & ſuperuacua. Herba ipſa virens contuſa & impoſita, vulnera glutinat, vetera vlcera purgat & ad cicatricem perducit. Bilem autem humoréſque craſſos per aluum exigit, ſi decocta deuoretur. (aut bibatur) Ius verò decocti iſchiadicis conueniēter infunditur: trahit enim ſanguinem, dolorémque leuat. At ſuccus oculorum medicamentis perquàm vtilis: quippe qui quę pupillis caliginem offundunt vnà cum melle diſcutiat. Vuluæ ſubditus menſes & partus extrahit: peculiariter verò neruorum vitiis epotus prodeſt. Succi autem extrahendi ratio hæc eſt: Legitur herba ſemine prægnās & diebus quinque (aqua) perfunditur, deindéque coquitur, dum aquæ ſuperemineat: mox vbi refrixit,

A ριτικοῖς, δυσπνοίᾳ, βηχὶ παλαιᾷ· αἱμοπτοϊκοῖς ἀπυρέτοις μετ᾽ οἴνου· πυρέσσουσι δὲ, μεθ᾽ ὕδατος < β΄. πλῆθος τῆς ῥίζης λείας διδομένης· πρὸς στρόφους ὁμοίως καὶ ὑστέρας ἀλγήματα. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα εἰς σχῆμα κολλυρίου ξυσθεῖσα καὶ προστεθεῖσα τῇ ὑστέρᾳ. ὅ, τε χυλὸς τὰ αὐτὰ ποιεῖ. B ἔστι δὲ καὶ τραυματικὴ, ὑγρὰ μὲν κοπεῖσα, ξηρὰ δὲ προβραχεῖσα καὶ οὕτω κοπεῖσα. συνάγει γὰρ καὶ κολλᾷ· καὶ τὰ ἑψόμενα δὲ κρέα συνάγει, ἐάν τις αὐτὴν κόψας συνεψήσῃ. οἱ δὲ ἐν Λυκίᾳ αὐτὴν χυλίζοντες, χρῶνται αὐτῇ ἀντὶ Λυκίου. "ἐκλήθη δὲ Πανάκεια, ἐπειδὴ πάντα τὰ (V. non habent.) C φλεγμαίνοντα πάθη παύει, καὶ κρούσματα πληγῶν, στραγγουρίας τε παύει ἐν ἐνέμασι, καὶ λιθιῶντας. συνάγεται δὲ τοῦ ἡλίου μέλλοντος ἀνατέλλειν, ὥρᾳ ἁγνῇ ὅτε πληροῦνται ἅπαντα.

Hæc ad finē vſque accreuere. In vtroque vetuſto codice addi teſtatur Goupylus hoc loco, πολυφάρμακος ἐστὶ, quæ ſcriptura ab Hermolao recepta eſt.

Περὶ Κενταυρίου τοῦ μικροῦ.

Κεφ. θ΄.

D Κενταύριον τὸ μικρὸν", ὅ τινες "λιμναῖον καλοῦσιν, ἐπειδὴ ἐνίκμοις φιλεῖ τόποις. πόα ὑπερικῷ ἢ ὀριγάνῳ παραπλήσιός ἐστι, καυλὸν ἔχουσα ὑπὲρ σπιθαμὴν, γεγωνιωμένον. ἄνθη ἐν τῷ φοινικῷ ὑποπόρφυρα πρὸς τὰ τῆς λυχνίδος· φύλλα μικρὰ, "ὑπομήκη ὥσπερ E πηγάνου· καρπὸς ὅμοιος πυρῷ· ῥίζα μικρὰ, ἄχρηστος, λεία". Αὕτη κοπτομένη χλωρὰ καὶ καταπλασσομένη, τραυμάτων ἐστὶ κολλητικὴ, ἀνακαθαρτικὴ ἑλκῶν παλαιῶν καὶ ἀπουλωτική. ἀφεψηθεῖσα δὲ καὶ "καταπινομένη, ἄγει κατὰ κοιλίαν χολώδη καὶ παχέα. ἔγκλυσμά τε τὸ ἀφέ- F ψημα αὐτῆς, ἐπὶ τῶν ἰσχιαδικῶν ἁρμόδιον". ἄγει αἷμα καὶ κουφίζον. ὁ δὲ χυλὸς πρός τε τὰ ὀφθαλμικὰ εὔχρηστος, ἀποκαθαίρων τὰ ἐπισκοτοῦντα ταῖς κόραις σὺν μέλιτι· καὶ ἐν προσθέτῳ ἐμμηνίων ἀγωγὸς καὶ ἐμβρύων· ποθεὶς δὲ, ἁρμόζει τοῖς περὶ τὰ νεῦρα πάθεσιν ἰδίως". Χυ- G λίζεται δὲ ἡ πόα συλλεγομένη ἐγκύμων οὖσα σπέρματος, καὶ ἀποβρεχομένη ἡμέρας ε΄. εἶτα ἕψεται ἄχρις ἂν ὑπερέχοι τὸ ὕδωρ. ἔπειτα τούτου ψυχθέντος,

Addit Lacuna ex v.c. καὶ λεπτὸν

Corn. λιβάδιον, quo modo habetur apud Pliniū.

V. ὑπομήκη

Quidam addunt γευομένη δὲ ἐμποιεῖ πικρίαν. quas voces agnoſcit Marcellus.

Catac. πινομένη. quo modo legit Cornarius.

V. quidam addit, ὠφελεῖ μελαγχολίαν.

Epito. καὶ τοῖς καθ᾽ ἧπαρ ἐμφράξεσι, καὶ σπληνὶ ἐξωθεν.

A χυλίζεται δι' ὀθονίου θλιβείσης τῆς πόας, καὶ πάλιν ἕψεται μέχρι μελιτώδους συστάσεως. ἔνιοι δὲ χλωρὰν ἐγκύμονα αὐτὴν κόψαντες, ἐκθλίβουσι τὸν χυλὸν, καὶ βαλόντες εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, ἐν ἡλίῳ συστρέφουσι, κινοῦντες ἀεὶ ξύλῳ. καὶ τὸ περιπεπηγμένον ἀεὶ ξύοντες, καὶ τῷ ὑγρῷ μιγνύντες, σκεπάζοντές τε νυκτὸς ἐπιμελῶς· ἡ γὰρ δρόσος κωλυτικὴ τῆς τῶν ὑγρῶν χυλῶν συστάσεως καθέστηκεν. ὅσα μὲν οὖν ἐκ ξηρῶν τῶν ῥιζῶν ἢ τῶν βοτανῶν ἐγχυλίζεται, ἑψόμενα σκευάζεται, ὡς ἡ γεντιανή. ὅσα δὲ ἐκ φλοιῶν ὑγρῶν ἢ ῥιζῶν ἢ βοτανῶν ἐκθλιβομένων, ἐν ἡλίῳ συστρέφονται, ὡς προείρηται. οὕτω καὶ ἡ θαψία καὶ μανδραγόρας καὶ "ὄμφαξ, καὶ τὰ ὅμοια τούτοις χυλίζεται." λύκιον μέντοι καὶ ἀψίνθιον καὶ ὑποκιστὶς καὶ τὰ ὅμοια τούτοις, ἑψόμενα συστρέφονται ὃν τρόπον προείρηται.

Ald. ὀμφακὴ

V. ista reiiciunt.

exprimitur & per linteolum excolatur. Expressum (reiecto spissamento) iterũ coquitur, vsque dũ mellis crassitudinem asciscat. Nonnulli eandem illam virentem prægnantémque semine contundunt, ex eáque succum exprimunt: quem fictili non picato inditum in sole lignea rude assiduè mouentes inspissant. B Quòd si quid concretum vasi adhærescat, identidem deradunt, reliquóque liquori permiscent. Noctu verò diligenter operiunt: quoniam ros liquidos succos coire densaríque prohibet. Quicunque igitur succi è siccis radicibus aut herbis eliciuntur, coctura præparantur, veluti gentianæ succus. Qui verò ex C recentibus corticibus, radicibus herbísve expressis: ad solem, vti antè dictum est, inspissantur. Hoc modò è thapsia, mandragora, vuis acerbis, cæterísque id genus succus elicitur. At lycium, absinthium, hypocisthis, & consimilia, coctura, eo quo dictum est modo, coguntur & inspissantur.

Περὶ Χαμαιλέοντος λευκοῦ. Κεφ. ι'.

D ΧΑΜΑΙΛΕΩΝ λευκός, ἰξίαν τοῦτον ἐκάλεσαν, διὰ τὸ ἔν τισι τόποις ἰξὸν εὑρίσκεσθαι πρὸς ταῖς ῥίζαις αὐτοῦ, ᾧ καὶ ἀντὶ μαστίχης χρῶνται αἱ γυναῖκες. ἔχει φύλλα ὅμοια σιλύβῳ ἢ σκολύμῳ, τραχύτερα δὲ καὶ ὀξύτερα καὶ ἰσχυρότερα τοῦ μέλανος· καυλὸν δὲ οὐκ ἔχει, ἀλλ' ἀφίησιν ἐκ τοῦ μέσου ἄκανθαν, ὁμοίαν ἐχίνῳ θαλασσίῳ ἢ κινάρᾳ· ἄνθη δὲ πορφυροειδῆ, ὥσπερ τρίχας ἐκπαππούμενας· καρπὸν δὲ κνίκῳ παραπλήσιον· ῥίζαν ἐν μὲν τοῖς εὐγείοις γεωλόφοις παχεῖαν, ἐν δὲ τοῖς ὀρεινοῖς ἰσχνοτέραν, λευκὴν διὰ βάθους, ὑπαρωματίζουσαν, βαρύοσμον, γλυκεῖαν. ἥτις ποθεῖσα ὀξυβάφου πλῆθος, ἄγει ἕλμινθα πλατεῖαν. λαμβάνεται δὲ σὺν οἴνῳ αὐστηρῷ μετὰ ὀριγάνου ἀποζέματος, καὶ ὑδρωπικοῖς δὲ ἐπιτηδείως δίδοται ὁλκὴ σὺν οἴνῳ· ἰσχναίνει γὰρ αὐτούς· καὶ πρὸς δυσουρίαν τὸ ἀφέψημα αὐτῆς πίνεται· ἔστι δὲ καὶ θηριακή, σὺν οἴνῳ ποθεῖσα. ἀποκτείνει καὶ κύνας καὶ ὗς, καὶ μύας, σὺν ἀλφίτῳ πεφυραμένη, καὶ ὑδρελαίῳ διεθεῖσα.

Vterque Goupyli codex, ποθεῖσα ὅσον

De Chamæleone albo. Cap. X.

CHAMÆLEONEM album ideò ixian appellarunt, quòd quibusdam in locis viscum ad ipsius radices inueniatur, quo etiã pro mastiche vtuntur mulieres. Folia habet E silybo aut carduo similia, sed chamæleonis nigri folijs asperiora, acutiora atque validiora. Caulem non promit: verùm ex medio spinam echino marino aut cinaræ similem erigit: flores verò emittit purpurascentes, capillorũ figura, qui in pappos euanescunt: semen cnici simile: radicem in lætis quidem collibus crassam, in montosis verò graciliorem, in profundo albam, aliquatenus aromaticam, odore graui, dulcem. F Hæc pota acetabuli mensura, latum ventris lumbricum pellit. Sumitur verò in vino austero cum origani decocto. Hydropicis quoque commodè drachma in vino datur: etenim eos extenuat. Ipsius quoque decoctum contra difficultatem vrinæ bibitur. G Aduersatur & in vino pota virulentarum bestiarum venenis. Canes autem, suésque ac mures occidit, subacta cum polenta, aquáque & oleo diluta.

De Chamæleone nigro. Cap. XI.

Chamæleon niger & ipſe folijs ſcolymo ſimilis eſt: ipſa tamen habet minora, tenuioráque ac rubro diſtincta. Caulem verò producit digitali craſſitudine, dodrantalem ac ſubrubrum: qui quidem vmbellam gerit, floréſq; ſpinoſos, tenues, hyacinthi æmulos & verſicolores. Radix eſt craſſa, nigra, denſa, interdũ & exeſa: quæ quidem diſſecta flaueſcit, & commanducata mordendi vim habet. Prouenit in campis aridis cliuoſiſque, & maritimis locis. Radix trita, additis atramenti ſutorij exiguo, cedrino oleo & axũgia, pſoras tollendi vi pollet. Eadem vnà cum ſulphure ac bitumine in aceto decocta inunctáque, lichenas abſterget. Eius autem decoctũ collutione dentium dolores mitigat. Sed & cum pari pipere & cera oblita radix, dẽtium doloribus auxiliatur. Fouentur & ea dentes in aceto decocta & affuſa. Dolentem quoq; dentem comminuit, ſi per ſtylũ calida illi adhibeatur. Maculas verò depurgat à ſole contractas, & vitiligines cum ſulphure emendat: ſepticis medicamentis admiſcetur, ac denique impoſita, phagedænica efferatáque vlcera ſanat & extirpat. Cæterum vt vocetur chamæleo, foliorũ varietate euenit. Nam pro locorum differentijs, hîc intenſè viridia, illic albicantia, aliubi cyanea, alibi denique rubra reperiuntur.

De Crocodilio. Cap. XII.

CROCODILIVM chamæleonis nigri figuram habet. Naſcitur autem in ſyluoſis, radice longa, leui, aliquantum lata, odore, vt naſturtij, " acri. Ferueſacta in aqua & pota radix, valet ad copioſum ſanguinem per nares pellendum. Datur & lienoſis, eos euidenter adiuuans. Sed & ſemen ei rotundum eſt ac duplex, veluti ſcutum, quod quidem vrinam ciendi vim habet.

De Dipſaco. Cap. XIII.

DIPSACVS quoque aculeatarum ſtirpium generi aſcribitur. Caulem habet altum, ſpinis horridum, & folia caulem amplectentia lactucæ foliorum æmula, bina in ſingulis geniculis, prælonga: quæ &

A Περὶ Χαμαιλέοντος μέλανος. Κεφ. ια'.

Χαμαιλέων μέλας, " καὶ αὐτὸς τοῖς φύλλοις σκολύμῳ ἔοικεν. ἐλάττονα μέντοι καὶ λεπτότερα καὶ διέρυθρα ἔχει ταῦτα. καυλὸν δὲ ἀνίησι δακτύλου τὸ πάχος, σπιθαμιαῖον, ὑπέρυθρον· * ἔχον σκιάδιον καὶ ἄνθη ἀκανθώδη, λεπτά, ὑακινθίζοντα, ποικίλα· B ῥίζα δὲ παχεῖα, μέλαινα, πυκνή, ἐνίοτε δὲ καὶ βεβρωμένη, σχισθεῖσα δὲ ὑπόξανθος, διαμασηθεῖσα δηκτική. φύεται δὲ ἐν πεδίοις ξηροῖς καὶ βουνώδεσι τόποις καὶ παραθαλασσίοις. Δύναται δὲ ἡ ῥίζα λεία, μιγνυμένης αὐτῇ χαλκάνθου ὀλίγου καὶ κεδρίνου ἐλαίου καὶ ὀξυγγίου, ψώρας ἐξάγειν· σμήχει C δὲ καὶ λειχῆνας, θεῖον καὶ ἄσφαλτον προσλαβοῦσα, καὶ συνεψηθεῖσα ὄξει καὶ καταχρισθεῖσα. διακλυζόμενον δὲ τὸ ἀφέψημα αὐτῆς, ὀδονταλγίας παύει· μεθ' ἴσου δὲ πεπέρεως καὶ κηροῦ συμπλασσομένη, τοῖς ἀλγοῦσιν ὀδοῦσι βοηθεῖ. καὶ πυριῶνται δὲ δι' αὐτῆς οἱ ὀδόντες, καθεψηθείσης σὺν ὄξει καὶ D καταντληθείσης. προσθραυομένη τε διὰ γραφείου θερμὴ τῷ ἀλγοῦντι ὀδόντι, θρύπτει αὐτόν. ἔφηλιν δὲ ἀποκαθαίρει καὶ ἀλφοὺς μετὰ θείου· μίγνυται δὲ ταῖς δυνάμεσι ταῖς σηπτικαῖς. καὶ τὰ φαγεδαινικὰ ἕλκη καὶ τὰ τεθηριωμένα καταπλασθεῖσα, ἀνασκευάζουσα θεραπεύει. ὠνόμασται δὲ χαμαιλέων, διὰ E τὸ ποικίλον τῶν φύλλων· εὑρίσκεται γὰρ ἢ λίαν χλωρὰ τὰ τοιαῦτα, ἢ ὑπόλευκα, ἢ κυανοειδῆ, ἢ ἐρυθρά, παρὰ τὰς τῶν τόπων διαφοράς.

Περὶ Κροκοδειλίου. Κεφ. ιβ'.

ΚΡΟΚΟΔΕΙΛΙΟΝ ὅμοιόν ἐστι τῷ μέλανι χαμαιλέοντι. φύεται δὲ ἐν τόποις δρυμώδεσι, ῥίζαν ἔχον μακράν, " ἐλα- F φράν, ὑπόπλατυν, ὀσμὴν δριμεῖαν, ὁμοίως καρδάμῳ. Ἰσχύει δὲ ἡ ῥίζα " ζεσθεῖσα ἐν " ὕδατι καὶ " πινομένη, ἄγειν πολὺ αἷμα διὰ ῥωθώνων. δίδοται δὲ καὶ σπληνικοῖς ἐναργῶς ὠφελοῦσα. καὶ τὸ " σπέρμα αὐτῆς διουρητικῆς ὑπάρχει δυνάμεως, " περιφερὲς ὂν καὶ διπλοῦν ὡς ἀσπίς.

G Περὶ Διψάκου. Κεφ. ιγ'.

ΔΙΨΑΚΟΣ τῶν ἀκανθωδῶν ἐστι καὶ αὐτή. καυλὸν δὲ ἔχει ὑψηλόν, ἀκανθώδη, καὶ φύλλα " περιειληφότα τὸν καυλόν, ἐμφερῆ θριδακι, δύο καθ' ἕκαστον γόνυ, " παραμήκη,

Manuſcriptus recentior add. ὅτι τινὲς ὠκιμοειδὲς καλοῦσι. Orib. ὅτι ἔνιοι ξυλοφάγον ἢ ἰξίαν, ἢ κυνόμαζον ἢ ὠκιμοειδὲς ἐκάλεσαν.

Vetus vſque ad (δριμεῖαν) caret. Locus hic coup. ſic legitur, ἐλαφράν, δριμεῖαν, ὑπόπλατυν, quæ lectio probata eſt veteri Interpreti & Hermol. Barbaro. V. σταθεῖσα. Corn. ἐν ὄξει legit. Al. πλυνομένη quidam verò legun τῶν σπληνικῶν. V. omittit. Iſta nonnulli adiectitia cenſent & ex Tordylij hiſtoria huc perperam tranſlata. V. caret. V. ὑπομήκη.

ἀκανθώδη καὶ αὐτά, ὥσπερ τινὰς πομφό- A
λυγας, ἐπὶ μέσης τῆς ῥάχεως, ἔσωθέν τε
καὶ ἔξωθεν ἔχοντα ἀκανθώδεις, κοιλίδας δὲ
περὶ τὰ δύο μέρη τῶν φύλλων ὥστε ὕδατα
ἀπὸ τῶν δρόσων καὶ τῶν ὄμβρων συλλέγειν·
ὅθεν καὶ τὸ ὄνομα εἵλκυσεν. ἐπ' ἄκρου δὲ τοῦ
καυλοῦ καθ' ἑκάστην ἀπόφυσιν, κεφαλὴ
μία ἐοικυῖα ἐχίνῳ, ὑπομήκης, ἀκανθώ- B
δης (ξηρανθεῖσα δὲ λευκὴ φαίνεται). ἔχει δὲ καὶ
σκωλήκια κατὰ μέσην τὴν ἐντεριώνην διαι-
ρεθεῖσα ἡ κεφαλή. Ἡ ῥίζα δὲ ταύτης σὺν
οἴνῳ ἀφεψηθεῖσα, καὶ κοπεῖσα, κηρωτῆς
λαβοῦσα πάχος, τὰς ἐν δακτυλίῳ ῥα-
γάδας καὶ σύριγγας ἐντιθεμένη θεραπεύει.
ἀποτίθεσθαι δὲ δεῖ τὸ φάρμακον εἰς χαλ- C
κῆν πυξίδα. φασὶ δὲ καὶ μυρμηκιῶν αὐ-
τὸ καὶ ἀκροχορδόνων ἴαμα εἶναι. οἱ δὲ τῆς
κεφαλῆς σκώληκες εἰς κυστίδα ἐνδεόμενοι,
καὶ περιαπτόμενοι τραχήλῳ ἢ βραχίονι, ἱ-
στοροῦνται τεταρταϊκοὺς θεραπεύειν.

In altero est κοῖλα δὲ, alij, κοιλίας. V. addit τὰ περὶ τὸ γόνυ. V. συλλέγειν ἐπιτήδεια. Al. ὡς κηρωτῆς πάχος λαβεῖν, τὰς &c. Ald. μυρμηκίας. Ald. τρίμμα. Al. σκυτίδα.

ipsa aculeata sunt, ac ceu quasdam bullas in dorsi medio intus forísque spinosas habent: concauos autem sinus, qua parte bina illa folia ad geniculum copulantur, quibus aquas ex rore & imbribus in sese colligunt: vnde & dipsaci, quasi sitientis, nomen traxit. At in cacumine caulis singulis surculis singula insunt capitula, echino similia, oblonga & aculeata: quæ quidē arefacta candida spectantur, diuisa verò per longitudinem in media medulla vermiculos ostendūt. Huius radix è vino decocta tusáque, vsquedum sit cerati crassitudo, sedis rimas & fistulas immissa sanat. Verùm hoc medicamentum ænea pyxide recondēdum. Aiunt & ipsum myrmeciis verrucísque pensilibus remedio esse. Cæterùm capitulorū vermiculi folliculo illigati, & collo brachióve appensi, quartanas febres excutere perhibentur.

Περὶ Ἀκάνθας λευκῆς. Κεφ. ιδ'.

ἌΚΑΝΘΑ λευκὴ φύεται ἐν ὄρεσι καὶ D
ὑλώδεσι τόποις, φύλλα ἔχουσα χα-
μαιλέοντι λευκῷ ἐμφερῆ, στενώτερα δὲ καὶ
λευκότερα, ὑποδάσεα, ἀκανθώδη· καυ-
λὸν ὑπὲρ δύο πήχεις, δακτύλου τοῦ με-
γάλου ἢ καὶ μείζονος πάχος, ὑπόλευκον,
κενὸν ἔνδοθεν. ἐπ' ἄκρου δὲ αὐτοῦ κεφαλὴ
περίεστιν ἀκανθώδης, ἐχίνῳ θαλασσίῳ E
ἐμφερής, πλὴν ἐλάσσων καὶ ὑπομήκης·
ἄνθη πορφυρᾶ, ἐν οἷς τὸ σπέρμα ὡς κνί-
κος, στρογγυλώτερον δέ. Ταύτης ἡ ῥίζα
πινομένη ποιεῖ πρὸς αἱμοπτοϊκούς, στομαχι-
κούς, κοιλιακούς· οὖρά τε κινεῖ, καταπλά-
σσεταί τε πρὸς οἰδήματα. καὶ τὸ ἀφέψημα
δὲ αὐτῆς πρὸς ὀδονταλγίαν ποιεῖ διακλυ- F
ζόμενον. τὸ δὲ σπέρμα πινόμενον, παιδίοις
σπωμένοις βοηθεῖ, καὶ ἑρπετοδήκτοις. φασὶ
δὲ ὅτι περίαπτον ἐξ αὐτοῦ θηρία διώκει.

Vet. οἱ δὲ, ἀγρία κινάρα. Marcellus ἐλώδεσι legendum suspicatur. V. δασεῖα. V. addit τὰ φύλλα πυρετικοῖς ὠφελεῖ. ἡ ῥίζα. V. caret. al. ἀντιφάρμακον φασί. & ita caput claudit.

De Spina alba. Cap. XIIII.

SPINA alba nascitur in mōtibus & locis syluosis. Folia fert chamæleōtis albi, sed angustiora & candidiora, aliquantum hirsuta & aculeata: caulē supra bina cubita altum, pollicari aut etiam ampliore crassitudine, candicantem ac intus cauum: cuius in cacumine capitulū est spinosum echini marini æmulum, at minus & oblongum. Flores purpurei, in quibus semen ceu cnici, sed rotundius. Huius radix pota sanguinem excreantibus, stomachicis, cœliacísque confert: vrinam ciet, ac œdematis imponitur. Eiusdē decoctū ad dolorem dentium collutione efficax est. At epotum semen, conuulsis puerulis, & à serpente demorsis, auxiliatur. Sed & venenata animalia pro amuleto gestatum abigere traditur.

Περὶ Ἀκάνθας Ἀραβικῆς. Κεφ. ιε'.

Ἄκανθα Ἀραβικὴ ἐοικυῖα τὴν φύ-
σιν εἶναι δοκεῖ τῇ λευκῇ ἀκάνθῃ, στύφουσα δὲ
πρὸς ῥοῦν γυναικεῖον, καὶ πρὸς ἀναγωγὴν G
αἵματος, καὶ πρὸς τοὺς ἄλλους ῥευματι-
σμοὺς ἡ ῥίζα παραπλησίως ἁρμόττει.

Quiddam addunt, φύεται ἐν τραχέσι τόποις.

De Spina Arabica. Cap. XV.

Spina Arabica natura spinæ albæ similis esse creditur. Siquidem astringit: & ad fluxum muliebrem, sanguinis reiectionem, cæterásque fluxiones radix simili modo valet.

De Scolymo, seu carduo. *Cap. XVI.*

SCOLYMVS folia habet chamæleonis, & spinę quæ alba dicitur: at nigriora & crassiora. Caulem edit longum, folijs obsitum, in quo capitulum est spinosum. Radix subiacet nigra, crassa: quæ suapte vi alarum reliquique corporis graueolétiam emendat, seu inspersa, seu decocta in vino ac bibita. Copiosam enim vrinam fœtidámque expellit. Herba verò recens nata, si asparagi modo elixetur, oleris vicem subit.

De Poterio. *Cap. XVII.*

POTERIVM Iones neurada vocant. Grandis est frutex, ramulis lógis, mollibus, lori modo lentis ac flexilibus, tenuibus, tragacanthæ proximis: folijs verò paruis & rotúdis. Totus autem frutex tenui obducitur lanosa lanugine, éstque spinis horridus. Flores sunt parui, candidi: semé verò gustu odoratum & acre, sed nullius vsus. Nascitur in sabulosis locis, atque collibus. Radices subsunt binûm ternúmve cubitorum altitudine, firmæ ac neruosę: quæ proximè terram recisę, lachrymam fundunt gummi similem. Tusæ autem ac illitæ, præcisos neruos vulneráque glutinant. Decoctum quoque eius epotum, vitijs neruorum prodest.

De Acanthio. *Cap. XVIII.*

ACANTHIVM folia gerit spinæ albæ similia, in summo verò eminentias aculeatas, araneosa lanugine obductas, è qua collecta textáque vestes bombycinis similes fieri aiunt. Ipsa radix foliáque potu, opisthotono laborantibus auxiliantur.

De Acantha seu acantho. *Cap. XIX.*

ACANTHA, seu herpacantha, (quasi serpens spina,) nascitur in hortis, petrosis ac humentibus locis. Folia habet lactucaceis latiora multò & longiora, erucæ diuisura, nigricantia, pinguia ac læuia: caulé læuem, binûm cubitorum, digitali crassitudine, propè verticem ex interuallis foliolis quibusdam, ceu alueolis, circundatum oblongis,

A Περὶ Σκολύμου. Κεφ. ις'.

ΣΚΟΛΥΜΟΣ φύλλα ἔχει "χαμαιλέοντος καὶ τῆς λευκῆς ἀκάνθης λεγομένης", μελάντερα δὲ καὶ παχύτερα· καυλὸν ἀνίησι "μακρόν, περίπλεων φύλλων, ἐφ' οὗ κεφαλὴ ἀκανθώδης· ῥίζα "δὲ ὕπεστι μέλαινα, παχεῖα, ἧς δύναμις ποιεῖ πρὸς τοὺς ἔχοντας τὰς μασχάλας. καὶ τὸ λοιπὸν σῶμα δυσῶδες, *καταπλασσομένη, καὶ ἀφεψηθεῖσα ἐν οἴνῳ καὶ πινομένη. ἄγει δὲ "οὖρα πολλὰ καὶ δυσώδη. ἡ δὲ πόα ἀρτιφυὴς οὖσα, λαχανεύεται ἑφθὴ ὥσπερ ἀσπάραγος.

B

Lacuna ex v.c. φύλλα ἔχει μιτρεξὺ χαμαιλέοντος καὶ τῆς λευκῆς ἀκάνθης. Sic Orib. V. addit ἐμφερῆ. V. & Catac. μικρόν. Vulgata scriptura bona est. Goup. V. ῥίζα ὑπόλευκος, ἢ καὶ ἐνίοτε μέλαινα. forte Scholion. Catac. λευκή. V. interponit καὶ.

Περὶ Ποτηρίου. Κεφ. ιζ'.

ΠΟΤΗΡΙΟΝ, Ἴωνες δὲ "νευράδα" καλοῦσι, "θάμνος ἐστὶ μέγας, κλῶνας ἔχων μακρούς, μαλακούς, ἱμαντώδεις, λεπτούς, ἐμφερεῖς τραγακάνθῃ φύλλα," μικρά, περιφερῆ. ὅλος δὲ ὁ θάμνος περίκειται "λεπτὸν χνοῦν ἐριώδη, ["καὶ ἔστιν ἀκανθώδης. ἄνθη μικρά, λευκά, καρπὸν δὲ "γευομένῳ εὐώδη] καὶ δριμύν, "ἄχρηστον. φύεται ἐν "ἀμμώδεσι καὶ γεωλόφοις χωρίοις. ῥίζαι δὲ ὕπεισι πηχέων δύο ἢ τριῶν, ἰσχυραί, νευρώδεις· αἵτινες πρὸς τῇ γῇ ἀποτμηθεῖσαι, ἀνιᾶσι δάκρυον κόμμει ὅμοιον. κοπεῖσαι δὲ καὶ ἐπιπλασθεῖσαι, νεύρων διακοπὰς καὶ τραύματα κολλῶσι. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς πινόμενον, ταῖς περὶ νεῦρα διαθέσεσιν ἁρμόζει.

C, D, E

Sic Paulus. V. quidam ἀκώδη. Deest in Ald. V. θαμνίσκος. V. addit λεπτά. Alter pro μικρά habet λεπτά. Alter φλοιὸν καὶ πολὺν χνοῦν. V. omittit conclusa. Sic Ald. cod. & Orib. Par. caret. sic V. & Lac. vulg. ἐλώδεσι.

Περὶ Ἀκανθίου. Κεφ. ιη'.

ΑΚΑΝΘΙΟΝ "ἐμφερῆ τὰ φύλλα ἔχει τῇ λευκῇ ἀκάνθῃ", ἐπ' ἄκρῳ δὲ ἀκανθώδεις ἐξοχάς, [καθ' ἃς "ἀραχνοειδὴς ἐστὶ χνοῦς. οὗ συλλεγομένου* καὶ ὑφ' ἓν τιθεμένου, βαμβακοειδὴς "γίνεται. ταύτης ἡ ῥίζα καὶ τὰ φύλλα ὀπισθοτονικοῖς βοηθεῖ, πινόμενα".

F

V. inserit τούτου ὁ καυλὸς τρίγωνος. V. epit. addit περονίζοντα. Vulg. exemp. cōclusa non habent. Al. γίνεσθαί φασι. Quidam ad marginem, καὶ αἱ κορυφαὶ τῶν καυλῶν ὀξεῖαι εἰς βαφλοειδῆ &c.

Περὶ Ἀκάνθης. Κεφ. ιθ'.

ΑΚΑΝΘΑ, ἢ ἑρπάκανθα", φύεται ἐν παραδείσοις, καὶ ἐν πετρώδεσι καὶ "παρύγροις χωρίοις· ἔχει δὲ πλατύτερα φύλλα πολλῷ καὶ μακρότερα θρίδακος, ἐσχισμένα ὡς τὰ τοῦ εὐζώμου, ὑπομέλανα, λιπαρά, "λεῖα· καυλὸν λεῖον, δίπηχυν, πάχος δακτύλου, ἐκ διαστημάτων πρὸς τῇ κορυφῇ περιειλημμένον φυλλαρίοις τισίν, οἱονεὶ κιτταρίοις ὑπομήκεσιν,

G

In extremo alius C. habet: ἔστι δὲ ἑτέρα πολυκλωνοτέρα, καὶ αὐτὸ περονίζον τὰ φύλλα. V. ἑρμάκανθα & margo οἱ δὲ ἀκάνθιον. V. παρύδροις. Catalē

Par. ὑακινθοειδέσιν

V. λευκὸν

V. addit ὑπόλευκοι

Alter ἱστῶσι, & V. non habet quæ sequuntur.

G. Hoc caput est coniunctum cum superiore in veteribus libris. Quidam, ἡ χερσαία, οἷα ἐμφερὴς σκολύμῳ

Non habet Orib.

V. caret iis quæ conclusa sunt

In altero vox θερμαντικὴν deest: seu addendam cēset Goup. vt ex Galeno intelligi potest, & res ipsa ostendit.

V. hac voce caret

V. caret

V. addit, καὶ ὁ φλοιός. Alter codex habet hæc verba ascripta, τοῦ ταύτης ἀφεψήματι πινόμενον αἱμορροΐδας θεραπεύειν πεπίστευται, quam scripturam Hermolaus expressit. Sed non esse Diosc. ex eo conicere licet, quòd Plinius & Vet. interpretes eam non agnoscunt. Goup.

V. codices λευκάνθεμον.

Matth. ἰσχυρῶς, valde.

Vulg. exemp. χυλῶδες.

Orib. addit, πυκνοί.

In altero codice adiicitur μικρά.

A *ὑακινθώδεσιν", ἐξ ὧν δ' ἄνθος περιΐεται λευκόν· σπέρμα ὑπόμηκες, " μήλινον· θυρσοειδὴς δ' ἡ κεφαλή. ῥίζαι δ' ὕπεισι γλίσχραι, μυξώδεις, *ἔμπυροι, μακραί. αἳ πυρικαύστοις καὶ ῥέμμασιν ἁρμόζουσι καταπλασσόμεναι· πινόμεναι δὲ, οὖρα ἄγουσι, καὶ κοιλίαν" ἱστᾶσι. φθισικοῖς τε καὶ ῥήγμασι καὶ σπάσμασιν εὐθετοῦσιν.

B "Περὶ ἀγρίας Ἀκάνθης. Κεφ. κ'.

Γίνεται δὲ καὶ " ἀγρία ἄκανθα, ὁμοία σκολύμῳ, ἀκανθώδης, βραχυτέρα τῆς ἐν παραδείσῳ καὶ ἡμέρου. δύναται δὲ καὶ ἡ ταύτης ῥίζα, ὅσα καὶ ἡ πρὸ αὐτῆς.

Περὶ Ἀνωνίδος. Κεφ. κα'.

C ΑΝΩΝΙΣ, ἣν δὲ *ὀνωνίδαν καλοῦσι, κλῶνας σπιθαμιαίους καὶ μείζονας, θαμνοειδεῖς, πολυγόνατοι, μασχάλας ἔχοντες πολλὰς, κεφάλια περιφερῆ, φυλλάρια μικρὰ, λεπτὰ, "ὥσπερ φακοῦ, ἴσα τοῖς τοῦ πηγάνου ἢ λωτοῦ τοῦ ἐν χορτοκοπείοις, ὑποδάσεα, " εὐώδη, οὐκ ἀηδὲς ὄζοντα. ἁλμεύεται δὲ πρὸ τοῦ ἀκανθοφυῆσαι, καὶ ἔστιν D ἡδίστη. ἔχουσι δὲ οἱ κλάδοι ἀκάνθας ὀξείας, σκολοποειδεῖς, στερεάς· ῥίζαν δὲ λευκήν, "θερμαντικήν," λεπτυντικήν· ἧς ὁ φλοιὸς πινόμενος σὺν οἴνῳ, οὖρα ἄγει, καὶ λίθους θρύπτει, ἐσχάρας περιρρήττει. ἀφεψηθεῖσα δὲ ἐν ὀξυκράτῳ καὶ διακλυζομένη, πόνον ὀδόντων παραύει'.

E Περὶ Λευκακάνθης. Κεφ. κβ'.

"ΛΕΥΚΑΚΑΝΘΑ, ταύτης ἡ ῥίζα ὁμοία κυπείρῳ, πικρά, " ἰσχυρά. ἥτις μασσηθεῖσα, ὀδονταλγίας παραμυθεῖται. τὸ δὲ ἀπόζεμα αὐτῆς σὺν οἴνῳ κυάθων τριῶν ποθὲν, βοηθεῖ πλευριτικοῖς χρονίοις, καὶ ἰσχιαδικοῖς, ῥήγμασι, σπωμένοις. F καὶ τὸ "χύλισμα δὲ τῆς ῥίζης, τὰ αὐτὰ ποιεῖ πινόμενον.

Περὶ Τραγακάνθης. Κεφ. κγ'.

ΤΡΑΓΑΚΑΝΘΑ, ῥίζα ἐστὶ πλατεῖα καὶ ξυλώδης, φαινομένη δὲ καὶ ὑπὲρ γῆς· ἀφ' ἧς κλάδοι ταπεινοὶ", ἰσχυροὶ, χεόμενοι δὲ ἐπιπολύ. καὶ ἐπ' αὐτῶν φυλλάρια" G πολλὰ μεταξὺ* λεπτὰ, ἀκάνθας ἔχοντα ἐγκρυπτομένας τοῖς φύλλοις, λευκάς, ἰσχυράς, ὀρθάς. ἔστι δὲ ἡ τραγάκανθα,

"hyacinthinis, è quibus flos prodit albus, semen oblongum ac luteum: caput verò thyrsi specie. Radices subiacent viscosæ, mucosæ, rufæ ac longæ: quæ quidem ambustis igni "luxatísque impositæ prosunt: potæ verò vrinam cient, aluúmque cohibent. Phthisicis quoque, ruptis & conuulsis subueniunt.

al. spinis

vel contusionibus

De Acantha Syluestri. Cap. XX.

Est & syluestris acantha, carduo similis, aculeata, breuior satiua, eáq; quæ in hortis prouenit. Eius verò radix ad eadem ad quæ superior est efficax.

De Anonide. Cap. XXI.

ANONIS, quam aliqui ononida appellant, ramos habet dodrátales ac etiamnum maiores, fruticosos, frequentibus geniculis cinctos, multis alarum cauis præditos, itémque capitulis rotundis: foliolis verò pusillis, tenuibus ceu léticulę, ad rutę aut pratensis loti folia accedétib⁹, subhirsutis, odoratis, nec iniucundè olentibus. Muria conditur antequam spinas producat, éstque cibis gratissima. Ramuli porrò spinis acutioribus, ac spiculorum instar solidis, horrent. Radix verò cádida est, quę excalfacit & extenuat. Huius cortex ex vino potus vrinam ciet, & calculos comminuit: idem "vlcerum crustas emarginat. Cæterùm radix decocta in posca, dentiũ dolorem collutione mitigat. (Huius quoque decoctum potum hęmorrhoïdas sanare creditur.)

Vel. margines vlcerum erodit

De Leucacantha. Cap. XXII.

LEVCACANTHA radice est cyperi, amara, & valida: quę quidé cómanducata dentium doloré sedat. Ipsius verò decoctum cyathis tribus ex vino potum, veteri laterum dolore vexatis, ischiadicis, ruptis & cõuulsis auxiliatur. Sed & epotus radicis succus eosdé præbet effectus.

De Tragacantha. Cap. XXIII.

TRAGACANTHÆ radix lata est & lignosa, ac supra terram etiam eminet: à qua surculi humiles, robusti, latissimè fusi: & in ipsis foliola numerosa, tenuia, inter quæ aculei sese ꝓferũt, quos ipsa occulũt, cádidi, firmi rectiq;. Est & tragacátha,

lachryma

lachryma quæ super resecta radice concrescit: quo in genere præstat pellucens, læuis, gracilis, sincera ac subdulcis. Vim porrò habet æquè ac gummi cutis spiracula obstruendi. Huius autem increbuit vsus ad oculorum medicamenta, itémque ad tussim, exasperatas fauces & vocem interceptam atque destillationes, cum melle in delinctu. Sed & linguæ subdita liquescere sinitur. Bibitur quoque drachmæ pōdere in passo macerata contra renū dolorem & vesicæ rosionem, mixto cornu cerui vsto & eloto, aut scissi aluminis momento.

De Eryngio. Cap. XXIIII.

ERYNGIVM est in aculeatarum stirpium genere: cuius folia primo germinatu muria condita in cibos oleris vice recipiuntur. Lata autem sunt & extremo ambitu aspera, gustu aromatica. Sed vbi augescunt, circa complures caulium eminentias in spinas aculeantur, in quorū summitatibus globosa sunt capitula spinarum acutissimarum durarúmque ambitu stellatim circumuallata. Horum color aliàs viridis, nunc pallidus, aliàs albus, interdum etiam cæruleus inuenitur. Radix oblōga, lata, in superficie quidē nigra, intus verò albicans, pollicis crassitudine: quę & ipsa odorata est, & aromaticū quiddam resipit. Nascitur in campestribus & asperis locis. Vim porrò habet calfactoriā: pota mēses vrináśque pellit, ac tormina inflationésque discutit. Hepaticis quoque, venenatorum morsibus, & ijs qui venenum hauserunt cum vino succurrit. Bibitur verò vt plurimùm drachmæ pondere cum pastinacæ semine. Cæterùm tum amuleti instar adalligata, tū & illita discutere tubercula perhibetur. Pota verò cū hydromelite radix, opisthotonicis & comitialib⁹ medetur.

De Aloë. Cap. XXV.

ALOE folium habet scillæ similitudine, crassum, pingue, in rotūdo modicè latum, retrorsum pandum. Sed vtrinque habent folia ex obliquo spinulas raris interuallis prominentes, eásque breues & quasi decurtatas. Caulem verò profert antherico non dissimilem,

A δάκρυον τῆς ῥίζης ἀποτμηθείσης ἐπισυνιστάμενον· ἧς διαφέρει ἡ διαυγής καὶ λεία καὶ ἰσχνὴ καὶ καθαρὰ καὶ ὑπόγλυκυς. (Cat. λευκή)

Δύναμιν δὲ ἔχει ὁμοίαν κόμμει ἐμπλαστικήν. χρῆσις δ' αὐτῆς εἰς τὰ ὀφθαλμικά, καὶ πρὸς βῆχας, καὶ πρὸς τὰς περὶ ἀρτηρίαν τραχύτητας, καὶ φωνῆς ἀ-
B ποκοπάς, καὶ ἐπισταγμοὺς ἐν ἐκλεικτῷ σὺν μέλιτι· ἀποχυλίζεταί τε ὑποτεθεῖσα τῇ γλώσσῃ, καὶ πίνεται δὲ ἀποβραχεῖσα ἐν γλυκεῖ < α. πλῆθος, πρὸς νεφρῶν ὀδύνην καὶ κύστεως δῆξιν, μιγνυμένου αὐτῇ κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου, ἢ στυπτηρίας σχιστῆς ὀλίγης.

C Περὶ Ἠρυγγίου. Κεφ. κδ'.

ΗΡΥΓΓΙΟΝ τῶν ἀκανθωδῶν ἐστιν· ἧς ἐν ἀρχῇ τὰ φύλλα λαχανεύεται εἰς ἁλμαίας συντιθέμενα. ἔστι δὲ πλατέα, τραχέα τοῖς πέριξ, ἀρωματίζοντα τῇ γεύσει· αὐξανόμενα δὲ ἀκανθοῦνται κατὰ πλείονας ἐξοχὰς καυλῶν, ἐφ' ὧν κατὰ τὰ ἄκρα
D κεφάλια ἐστὶ σφαιροειδῆ, ἀκάνθας περιειλημμένα ὥσπερ ἀστὴρ ὀξυτάτας κύκλῳ, σκληράς. ὧν τὸ χρῶμα χλωρὸν ἢ ὠχρόν, ἢ λευκόν, ἐνίοτε δὲ καὶ κυανοῦν εὑρίσκεται. ῥίζα δὲ ἐπιμήκης, πλατεῖα, μέλαινα κατὰ τὴν ἐπιφάνειαν, ἔνδοθεν λευκή, δακτύλου μεγάλου τὸ πάχος, καὶ αὐτὴ εὐώδης καὶ ἀ-
E ρωματίζουσα. φύεται δὲ ἐν πεδίοις καὶ τραχέσι τόποις. Δύναμιν δὲ ἔχει θερμαντικήν. πινομένη ἄγει καὶ οὖρα καὶ ἔμμηνα, στρόφους τε καὶ ἐμπνευματώσεις λύει· ἡπατικοῖς δὲ καὶ θηριοδήκτοις, καὶ θανάσιμον εἰληφόσιν, ἁρμόζει σὺν οἴνῳ. πίνεται δὲ τὰ πλεῖστα σὺν σταφυλίνου σπέρματι, < α. τὸ πλῆ-
F θος. ἱστορεῖται δὲ ὅτι περιαπτομένη καὶ καταπλασσομένη, φύματα διαφορεῖ. ῥίζα δὲ αὐτῆς πινομένη μετὰ ὑδρομέλιτος, ὀπισθοτονικοὺς ἰᾶται καὶ ἐπιληπτικούς.

Περὶ Ἀλόης. Κεφ. κε'.

ΑΛΟΗ φύλλον ἔχει σκίλλῃ παραπλήσιον, παχύ, λιπαρόν, ὑπόπλατυ, ἐν τῷ
G περιφερεῖ, εἰς τοὐπίσω κλώμενον. παρ' ἑκάτερα δὲ τὰ μέρη ἔχει τὰ φύλλα ἐκ πλαγίων ἀκανθώδη, ἀραιῶς ἐξέχοντα, κολοβά. καυλὸν δὲ ἀνίησιν ἀνθερικῷ ὅμοιον,

V. ἀκανθῶν
Alter παχέα. Sed vulgata scriptura melior.
Samb. legit, καὶ τὰ ἄκρα
V. caret.
Cat. add. σφόδρα.
Deest in vulg. ἢ ὠχρ.
V. σφόδρα pro πλατεῖα
V. addit μακρά
In veterib. codicibus legit Goupylus, δύναμιν δὲ ἔχει θερμαντικὴν ἡ ῥίζα ταύτης. Sed Gal. calfaciendi vim toti plantæ tribuit. Interpretes etiam vulgatam scripturam probant.
V. lg. exempl. πρὸς τὰ πλ.
V. caret.
Vulg. exemplar περιφερές
Cat. ἀκανθώδη. Sic Corn.

ἄνθος δὲ λευκόν· καὶ καρπὸν ἀσφοδέλῳ ἐοικότα. βαρύοσμος δὲ ὅλη, καὶ ἀπογευομένῳ πικροτάτη· ἔστι δὲ μονόῤῥιζος, ὥσπερ πάσσαλον ἔχουσα τὴν ῥίζαν. γίνεται δὲ ἐν τῇ Ἰνδίᾳ πλείστη λιπαρά, ἐξ ἧς καὶ τὸ ὄπισμα κομίζεται. φύεται δὲ καὶ ἐν Ἀραβίᾳ καὶ Ἀσίᾳ, καὶ ἔν τισι παραθαλασσίοις τόποις καὶ νήσοις, ὡς ἐν Ἄνδρῳ οὐκ εὔχρηστος εἰς ὀπισμόν, πρὸς δὲ κόλλησιν τραυμάτων ἐπιτήδειος, λεία καταπλασσομένη. διττὸν δέ ἐστι τὸ εἶδος τοῦ χυλίσματος· τὸ μέν τοι ψαμμῶδες, ὅπερ ὑποστάθμη τῆς καθαρωτάτης ἔοικεν εἶναι· τὸ δέ, ἡπατίζον. ἐκλέγου δὲ τὴν καθαρὰν καὶ ἄδολον καὶ ἄλιθον, στίλβουσαν, ὑπόξανθον, εὔθρυπτον, ἡπατίζουσαν, ῥᾳδίως ὑγραινομένην, ἐπιτεταμένην τῇ πικρίᾳ· τὴν μέν τοι μέλαιναν καὶ δυσκάτακτον ἀποκλέγου. δολίζουσι δὲ αὐτὴν κόμμει· ὅπερ ἐλέγχεται γεύσει καὶ πικρίᾳ καὶ ὀσμῆς ἐπιτάσει· καὶ τῷ μὴ διαλύεσθαι μέχρις ἐλαχίστου ψήγματος * θλιβομένην ὑπὸ τῶν δακτύλων. ἔνιοι δὲ καὶ ἀκακίαν μίσγουσι. Δύναμιν δὲ ἔχει στυπτικήν, ὑπνωτικήν, ξηραντικήν, πυκνωτικὴν τῶν σωμάτων, κοιλίας τε λυτικήν, καὶ στομάχου ἀποκαθαρτικήν, κοχλιαρίων β΄. πλῆθος, μεθ' ὕδατος ψυχροῦ, ἢ γαλακτώδους πινομένη· αἵματός τε ἀναγωγὰς ἐπέχει. καὶ ἴκτερον ἀποκαθαίρει μεθ' ὕδατος τριωβόλου, ἢ < α. ὁλκῆς ἐν ποτῷ. καὶ μετὰ ῥητίνης δὲ καταπινομένη, ἢ ὕδατος ἢ μέλιτος ἑφθοῦ ἀναληφθεῖσα, κοιλίαν λύει· δραχμῶν δὲ τριῶν πλῆθος τελείως καθαίρει· μιγεῖσα δὲ τοῖς ἄλλοις καθαρτικοῖς, ἧσσον αὐτὰ κακοστόμαχα ποιεῖ. ξηρὸν δὲ * ἐπιπλασθέν, τραύματα κολλᾷ, καὶ ἐπουλοῖ ἕλκη καὶ καταστέλλει. αἰδοῖα δὲ ἑλκωμένα ἰδίως θεραπεύει, [καὶ ἐπαγώγια παίδων ῥηχθέντα συγκολλᾷ.] θεραπεύει δὲ καὶ κονδυλώματα καὶ ῥαγάδας κιρναμένη σὺν γλυκεῖ οἴνῳ· αἱμοῤῥαγίας τε ἵστησι τὰς ἐξ αἱμοῤῥοΐδων, καὶ πτερύγια ἀπουλοῖ, αἴρει τὰ πελιώματα καὶ ὑπώπια σὺν μέλιτι· ψωροφθαλμίας τε καὶ * κανθῶν

V. delet. — V. delet. — Al. λεία — V. καθαρωτέρας. — V. λιπαραί. Sic Orib. — Cat. δυσκάθεκτον — Al. ἑψήματος — V. non habet. — V his caret. Marc. pro ῥηχθέντα legendum suspicatur τμηθέντα — V. κανθῶν κνησμοὺς αἰθίσησι. Vulg. ἀκανθῶν

A florem album, & semen ceu hastulę regiæ. Est autē tota odore graui, & gustu amarissima. Vnica verò radice ceu palo in terram demisso nititur. Plurima in India præpinguísq; nascitur: ex qua etiā coactus succus importatur. Nascitur & in Arabia, Asia, ac in locis quibusdam maritimis & insulis, velut in Andro, non B valdè eliciēdo succo idonea, sed ad conglutinanda vulnera sanè quàm vtilis, si trita illinatur. Duo sunt porrò succi genera: alterum arenosum, quod purissimæ veluti fæx & crassamentum esse videtur: alterū quod ad iecinoris imaginē vergit. Eligito pinguem, quæ nihil doli senserit, calculorū expertem, nitidam, sub- C flauam, friabilem, iecinoris modo coactam, quæque facilè humescat, [liquescat V.] eximiæq; sit amaritudinis. Nigram contrà fractúque contumacem improbato. Sunt qui eam gummi adulterent: id quod gustu, amaritudine & odoris vehementia deprehenditur, eóque indicio quòd attrita digitis non ad minima vsque ra- D menta resoluatur. Neque desunt qui acaciam immisceat. Vim habet astringēdi, somnum conciliandi, exiccandi, corpora densandi, aluum soluendi, stomachúmque repurgandi, si binûm cochlearium mensura ex aqua frigida, aut lactis instar tepida seu egelida bibatur. Sanguinis etiamnum excreationes E sistit, & morbum regium emendat, ex aqua tribus obolis, aut drachmæ pondere, in potu. Deuorata verò cum resina, aut aqua vel melle cocto excepta, aluum soluit: ternûm autem drachmarum pondere, perfectè purgat. Sed & alijs purgantibus medicamentis admista, præstat F vt minùs stomachum infestent. Sicca verò inspersa, vulnera glutinat, vlceráque ad cicatricem perducit cohibétque: eadem peculiariter exulceratis genitalibus medetur, & disrupta puerorum præputia agglutinat. Quin & condylomata rimásque sedis dulci vino ammixto sanat. Sanguinis ex hæ- G morrhoïdibus eruptiones sistit, pterygia ad cicatricem ducit, liuida & sugillata, hypopia dicta, ex melle tollit. Scabras quoque lippitudines, angulorúmque in oculis

prurigines mitigat. Dolorem capitis ſedat, ex aceto & roſaceo fronti ac temporibus illita. Sed & cum vino fluentem capillum continet: itidémque tonſillarum, gingiuarum cæterarúmque oris partium vitijs cum melle ac vino proficit. Ceterùm ad oculorum medicamenta torretur in munda & candente teſta, liguláque ſubinde verſatur, donec æqualiter toſta fuerit. Lauatur & aloë: atque id quod arenoſum ſubſidet, tanquam inutile ſecernitur: pinguiſſimum autē quódque læue eſt, recipitur.

De Abſinthio. Cap. XXVI.

ABSINTHIVM, bathypicron dictum, herba eſt vulgo cognita. Præſtantius in eo genere, quod in Ponto & Cappadocia in monte Tauro appellato naſcitur. Vim porrò habet calfaciendi, aſtringendi, concoctiones adiuuandi, bilioſáque detrahendi quæ ſtomacho & aluo inhæſerunt. Vrinam etiam cit, & crapulam in potu præſumptum arcet. Valet & aduerſus inflationes, itémque ad diſcutiendos ventris & ſtomachi dolores, cum ſeſeli aut nardo Celtico potum. Faſtidia quoque abſterget, arquatóſque ſanat ipſius madefacti dilutũ, vti & decoctum, quotidie tribus cyathis hauſtum. Sed & menſes trahit ſeu potum, ſeu etiam cum melle appoſitum. Contra fungorum ſtrangulationes conuenienter ex aceto bibitur. E vino autem ixię necnon & cicutæ venenis aduerſatur, ac muris etiã aranei morſibus, itémque draconi marino. Anginæ eo cum melle & nitro perunguntur, vt epinyctides ex aqua. Ad ſugillata hebetiorémque oculorum aciem ex melle illinitur, ſimilitérq; auribus ſanie manantibus. Quin & aurium dentiúmque dolores decoctum vaporis ſuffitu compeſcit. Decoctum vnà cum paſſo, vehemēter dolētib⁹ oculis adhibetur. Imponitur & hypochondrijs hepatiq; diuturno dolore infeſtatis, tritũ cũ cerato cyprino: ſtomacho verò lõga valetudine laborãti, cũ roſaceo. Admiſtis ficubus, nitro & loliacea farina, hydropicis lienoſiſq; ſubuenit. Vinũ deniq; ex eo paratur quod abſinthite vocãt, præſertimq; in Propon-

A κνησμοὺς παρηγορεῖ· καὶ κεφαλαλγίαν μετ' ὄξους καὶ ῥοδίνου, μετώπῳ καὶ κροτάφοις ἐπιχριομένη· ἐπέχει καὶ ῥεούσας τρίχας σὺν οἴνῳ· καὶ πρὸς παρίσθμια δὲ καὶ οὖλα, καὶ πάντα τὰ ἐν τῷ στόματι ἁρμόζει σὺν μέλιτι καὶ οἴνῳ· φώγνυται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ἐπὶ καθαροῦ καὶ διαπύρου ὀστράκου, B μεταβαλλομένη μύστρῳ, μέχρις ἂν ὁμαλῶς πυρωθῇ. πλύνεται δὲ χωριζομένου τοῦ ψαμμώδους ὡς ἀχρήστου, λαμβανομένου δὲ τοῦ λιπαρωτάτου, καὶ λείου.

Περὶ Ἀψινθίου. Κεφ. κϛ.

ΑΨΙΝΘΙΟΝ, βαθύπικρον, γνώριμος ἡ πόα. ἔστι δὲ αὐτῆς βελτίων, ἡ ἐν C Πόντῳ καὶ Καππαδοκίᾳ ἐν ὄρει τῷ καλουμένῳ Ταύρῳ γεννωμένη. Δύναμιν δὲ ἔχει θερμαντικήν, στυπτικήν, πεπτικήν, καὶ ἀποκαθαρτικὴν τῶν ἐνηρεικότων στομάχῳ καὶ κοιλίᾳ χολωδῶν. ἔστι δὲ καὶ οὐρητικὸν καὶ ἀκραίπαλον, προπινόμενον. καὶ πρὸς ἐμπνευματώσεις δὲ ἁρμόζει, καὶ κοιλίας καὶ στομάχου ἀλγήματα, πινόμενον μετὰ σεσέλεως ἢ νάρδου D Κελτικῆς καὶ ἀνορεξίας καὶ ἰκτερικοὺς θεραπεύει τὸ ἀπόβρεγμα αὐτοῦ ἢ τὸ ἀφέψημα, καθ' ἑκάστην ἡμέραν λαμβανόμενον εἰς πλῆθος κυάθων τριῶν· ἄγει δὲ καὶ ἔμμηνα, πινόμενόν τε καὶ προστιθέμενον μετὰ μέλιτος. πρός τε τοὺς ἀπὸ μυκήτων πνιγμοὺς ἁρ- E μόζει, σὺν ὄξει πινόμενον. σὺν οἴνῳ δέ, πρὸς ἰξίαν καὶ κώνειον καὶ μυγαλῆς δήγματα, καὶ δράκοντα θαλάσσιον. συναγχικοῖς τε διάχρισμα σὺν μέλιτι καὶ νίτρῳ, καὶ πρὸς ἐπινυκτίδας σὺν ὕδατι. πρὸς δὲ ὑπώπια, σὺν μέλιτι. καὶ πρὸς ἀμβλυωπίας, καὶ πρὸς ἰχωρροοῦντα ὦτα ὁμοίως. καὶ ὁ ὑπατμισμὸς δι' αὐτοῦ τοῦ ἀφεψήματος, πρὸς ὠταλγίαν καὶ ὀδονταλ- F γίαν. ἀφεψόμενον δὲ σὺν γλυκεῖ, κατάπλασμα ὀφθαλμῶν περιοδυνώντων ἐστί. καταπλάσσεται δὲ καὶ περὶ ὑποχόνδρια, καὶ ἧπαρ καὶ στόμαχον ἐπαλγῆ καὶ χρονίως πάσχοντα, συνεκλεαινόμενον κηρωτῇ κυπρίνῃ· πρὸς δὲ στόμαχον, ῥοδίνῃ· ἁρμόζει καὶ G ὑδρωπικοῖς, καὶ σπληνικοῖς, μιγνύμενον αὐτοῖς σύκων, καὶ νίτρου, καὶ αἰρίνου ἀλεύρου. Σκευάζεται δὲ ἐξ αὐτοῦ καὶ οἶνος ὁ λεγόμενος ἀψινθίτης, μάλιστα περὶ τὴν Προπον-

Hæc ad finem vſque quidam codices aliena ducunt.

Marc. ὁ videtur legiſſe.

V. addit, οἱ δὲ ῥασικυμ. Marc. βαρύπικρον

Cat. addit, καὶ γαλατίᾳ.

Sic v. codex. Itémque Marc. ex Plin. vulg. exempl. carent.

V. vſque ad πινόμενον hæc omittit.

V. caret.

V. συγκλυζόμενον

Ἴδα καὶ Θρᾴκην, ᾧ πρὸς τὰ προειρημένα χρῶνται ἐν ἀπυρεξίᾳ· καὶ ἄλλως δέ, προπίνουσιν ἐξ αὐτοῦ θέρους, ὑγείας ποιητικὸν εἶναι νομίζοντες. δοκεῖ δὲ καὶ * περιπλαττόμενον εἰς τὰς κιβωτοὺς ἄβρωτα τηρεῖν τὰ ἱμάτια. ἀλειφόμενόν τε μετὰ ἐλαίου, κώνωπας κωλύειν ἅπτεσθαι τοῦ σώματος. τὸ δὲ " μέλαν ᾧ γράφομεν ὑπὸ ἀποβρέγματι αὐτοῦ " βραχέν, ἄβρωτα μυσὶ τηρεῖ τὰ " γράμματα. ἔοικε δὲ καὶ τὸ * τοῦ χυλίσματος ἔργα ποιεῖν τὰ αὐτά. πλὴν εἰς τὰς πόσεις οὐ δοκιμάζομεν αὐτό, κακοστόμαχον καὶ κεφαλαλγὲς ὄν. τὸ δὲ χύλισμα ἀμόργῃ ἑψηθείσῃ καὶ μιγνυμένῃ δολοῦσί τινες.

V. ad finẽ vsque his caret, licet legitima sint.

Sic legit Goupylus ex vet. libris, quanuis vulgati codices habent γράφειν Lacuna legit in vet. cod. βιβλία.

Περὶ Ἀψινθίου θαλασσίου. Κεφ. κζ'.

Ἀψίνθιον θαλάσσιον, τινὲς δὲ καὶ Σερίφιον καλοῦσι, ὅπερ * πλεῖστον ἐν τῷ περὶ Καππαδοκίαν Ταύρῳ ὄρει γεννᾶται, καὶ ἐν Ταφοσίρει τῆς Αἰγύπτου. ᾧ ἀντὶ θαλλοῦ οἱ " Ἰσιακοὶ χρῶνται. ἔστι δὲ ἡ πόα λεπτόκαρφος, ἐοικυῖα ἀβροτόνῳ μικρῷ, περιπληθὴς σπερματίων, ὑπόπικρος, κακοστόμαχος, " βαρύοσμος, στύφουσα μετὰ ποσῆς θερμασίας. ἥτις " ἑψηθεῖσα καθ' ἑαυτήν, ἢ μετὰ ὀρύζης, καὶ ληφθεῖσα μετὰ μέλιτος, ἀσκαρίδας καὶ ἕλμινθας στρογγύλας κτείνει, " ὑπάγουσα κοιλίαν κούφως. δύναται δὲ καὶ σὺν " ἑψήματι, ἢ φακῇ καθεψηθεῖσα, τὰ αὐτὰ ποιεῖν. " * λιπαίνεται δὲ μάλιστα τὰ πρόβατα νεμόμενα."

Ald Καλοῦσι τινὲς καὶ Σέριφον ἀψίνθιον θαλάσσιον.

Ald. Ἀσιακοὶ

V. βαθύοσμος

V. addit μετὰ μέλιτος ἕλμινθας στρογγύλας κτείνει.

V. ἅπαξ ἄγουσα

V. ῥοφήματι φακῆς. Marc. legit ἑψήματι.

V. παραινεῖ

V. addit ἐν Καππαδοκίᾳ.

Περὶ Ἀψινθίου Σαντονίου. Κεφ. κη'.

Ἔστι δὲ καὶ τρίτον εἶδος ἀψινθίου, γεννώμενον ἐν τῇ κατὰ τὰς Ἄλπεις Γαλατίᾳ πλεῖστον· ὃ ἐπιχωρίως Σαντόνιον καλοῦσιν, ἐπωνύμως τῇ γεννώσῃ αὐτὸ * Σαρδονίδι χώρᾳ· ἐοικὸς ἀψινθίῳ, οὐ μὴν οὕτω γε εὔσπερμον, ὑπόπικρον δέ, καὶ δυνάμενον τὰ αὐτὰ τῷ Σεριφίῳ.

Περὶ Ἀβροτόνου. Κεφ. κθ'.

ἈΒΡΟΤΟΝΟΝ, ἔστι δὲ αὐτοῦ τὸ μὲν θῆλυ, θάμνος δενδροειδής, ὑπόλευκος. φύλλοις λεπτοσχιδέσιν ὥσπερ Σεριφίου περὶ τὰ κλωνία, πλῆρες αὐτοῖς, ἐπ' ἄκρου ἔχον κορυμβώδεις χρυσοειδεῖς· θερείας γεννώμενον, εὐῶδες μετὰ ποσοῦ βάρους, πικρὸν τῇ

A tide & Thracia: quo ad antedicta vtuntur, si febris abest. Adde quòd de ipso æstate propinant, corporibus bonam valetudinem præstare existimantes. Creditur & vestiarijs arcis inspersum absinthium, vestes à tinearum iniuria vindicare: itémque ex oleo perunctum, culices abigere, & à corpore arcere. B Cæterùm atramentum librarium ex diluto eius temperatum, libros à musculorum erosione tuetur. Existimatur & expressi succus eosdem præstare effectus. Attamen potionibus improbatur, quòd stomacho sit inimicus, dolorémque capitis cieat. Sunt verò qui succum amurcæ decoctæ permistione adulterát.

C *De Absinthio marino. Cap. XXVII.*

Absinthium marinum quidam Seriphium vocant: quod quidẽ copiosissimum in Tauro monte iuxta Cappadociam gignitur, & in Taphosiri Ægypti. Id " Isiaci pro oleagino ramo præferre solenne habẽt. Est autem herba prætenuibus surculis, abrotoni parui similitudine, D minutulis referta seminibus, subamara, stomacho inimica, graueolens, & cum quadam calfactione astringens. Hæc per sese, aut cum oryza cocta, assumptáq; cum melle, ascaridas teretésq; lumbricos enecat, leuiter simul & semel aluũ subducens. Sed & cum sapa aut lenticula decocta, eadẽ præstare potest. E Cæterùm pecora hoc maximè pabulo pinguescunt.

hoc est, Isidis sacris initiati.

De absinthio Santonico. C. XXVIII.

Est & tertiũ absinthij gen⁹, quod copiosissimũ in Gallia Alpibus finitima nascitur. Id patrio nomine Sãtonicum appellãt, tracto à Santonũ regione, in qua gignitur, cognomẽto. F Absinthio est simile, attamẽ non adeò seminis fœcundum, verùm subamarum & eiusdem cum Seriphio facultatis.

De Abrotono. Cap. XXIX.

ABROTONVM duorum traditur generũ: ac fœmina quidem frutex est arboris specie, cãdicãs, folijs circa ramulos Seriphij modo mi- G nutim incisis, florib⁹ refertos habẽs in summo quasi corymbos auri fulgore, æstate prouenientes, iucũdi odoris cum grauitate quadã, at gustu

amaro. Hoc genus Siculum esse creditur. Alterum mas vocatur, sarmētosum, gracilibus ramulis, velut absinthium. Plurimum in Cappadocia gignitur, & Galatia Asiatica, atque in Syriç Hierapoli. Vtriusque semen seu feruefactum, seu crudum tritum, & ex aqua potum, orthopnoeæ, ruptis, conuulsis, ischiadicis doloribus, vrinæ angustijs & mensibus commorantibus auxiliatur. Est & in vino potum exitialium venenorum antidotum. Rigore prehensis ex oleo vtiliter illinitur. Serpentes quoque tum substratu, tum etiam nidore fugat. Sed & contra morsus eorum cum vino bibitum prodest: priuatim verò pollet contra phalangiorum & scorpionũ ictus. Subuenit & oculorum inflammationibus, cum cotoneo cocto aut pane impositum. Discutit quoque panos, cum farina hordeacea cruda tritum decoctúmque. Miscetur denique & olei irini compositioni.

De Hyssopo. Cap. XXX.

HYSSOPVM herba nulli non cognita, duûm est generũ: montanum enim quoddam est, hortense alterum. Laudatissimũ est, quod in Cilicia nascitur. Vim habet attenuandi & excalfaciendi. Decoctum cum ficis, aqua, melle & ruta, potu peripneumonicis, asthmaticis, diuturnæ tussi, distillationi & orthopnoeæ auxiliatur: itémque ventris animalia enecat. Idem præstat, si cum melle delingatur. Humores crassos per aluum extrahit eiusdem decoctum, cum oxymelite potum. Estur & cum viridibus ficis detritis ad subducēdam aluum, sed valentiùs deijcit admisto nasturtio vel iride aut irione: meliorem quoque colorem cuti conciliat. Lieni verò ac hydropi cum fico nitróque illinitur: ex vino autem, inflammationibus. Discutit & sugillata, cum feruente aqua impositum. In anginis cum decocto ficuum efficacissimè gargarizatur. Cæterùm cum aceto decoctũ, dentium dolorem collutione mitigat, & aurium inflationes vaporis suffitu discutit.

A γλυκύ· δοκεῖ δὲ τὸ Σικελιωτικὸν εἶναι τοῦτο. τὸ δὲ ἕτερον ἄρρεν καλεῖται, κληματῶδες, *λεπτόκαρπον ὡς ἀψίνθιον. πλεῖστον δὲ ἐν Καππαδοκίᾳ γίνεται καὶ Γαλατίᾳ τῇ κατὰ τὴν Ἀσίαν, καὶ ἐν Ἱεραπόλει τῇ κατὰ τὴν "Συρίαν. Τούτων ὁ καρπὸς ἀποζεννύμενος καὶ ὠμοτριβὴς μεθ' ὕδατος
B πινόμενος, βοηθεῖ ὀρθοπνοίᾳ, ῥήγμασι, σπάσμασιν, ἰσχιάσι, δυσουρίαις, ἐμμηνίων ἐπισχέσει. καὶ θανασίμων φαρμάκων ἐστὶν ἀντίδοτος, ποθὲν σὺν οἴνῳ. σύγχρισμά τε ῥιγοῦσι μετ' ἐλαίου ἐστί. διώκει δὲ καὶ ἑρπετὰ "ὑποστρωννύμενον καὶ θυμιώμενον. καὶ πινόμενον δὲ σὺν οἴνῳ ὠφελεῖ τοὺς δη-
C χθέντας· ἰδίως δὲ ἁρμόζει ἐπὶ φαλαγγίων καὶ σκορπίων· βοηθεῖ δὲ καὶ ὀφθαλμῶν φλεγμοναῖς, σὺν ἑφθῷ κυδωνίῳ ἢ μετὰ ἄρτου καταπλασθέν. διαφορεῖ καὶ φύματα, μετὰ ὠμῆς λύσεως λεῖον ἑψηθέν. μίγνυται δὲ καὶ εἰς τὴν τοῦ *ἰρίνου ἐλαίου σκευασίαν.

D Περὶ Ὑσσώπου. Κεφ. λ΄.

ΥΣΣΩΠΟΣ πόα γνώριμος, διττή· ἡ μὲν γάρ τίς ἐστιν ὀρεινή, ἡ δὲ κηπευτή. ἀρίστη δέ ἐστιν ἡ ἐν Κιλικίᾳ γινομένη.

Δύναμιν δὲ ἔχει λεπτυντικήν, θερμαντικήν· ἀφεψηθεῖσα δὲ μετὰ σύκων καὶ ὕδατος, μέλιτός τε καὶ πηγάνου, καὶ πινομένη,
E ἀρήγει περιπνευμονικοῖς, ἀσθματικοῖς, βηχὶ χρονίᾳ, κατάρρῳ, ὀρθοπνοίᾳ· κτείνει δὲ καὶ ἕλμινθας. σὺν μέλιτι δὲ ἐκλειχομένη, τὸ αὐτὸ ποιεῖ. ἄγει δὲ καὶ πάχος κατὰ κοιλίαν τὸ ἀφέψημα αὐτοῦ, σὺν ὀξυμέλιτι πινόμενον· βιβρώσκεται δὲ καὶ μετὰ χλωρῶν σύκων λείων πρὸς ὑπαγωγὴν κοιλίας.
E σφοδρότερον δὲ καθαίρει, μιγέντος αὐτῷ *καρδαμώμου, ἢ ἴρεως, ἢ ἐρυσίμου. περιποιεῖ δὲ καὶ εὔχροιαν. καταπλάσσεται δὲ μετὰ σύκου καὶ νίτρου πρὸς σπλῆνα καὶ ὑδρωπα· σὺν οἴνῳ δέ, πρὸς φλεγμονάς. διαφορεῖ δὲ καὶ ὑπώπια σὺν ὕδατι ζεστῷ καταπλασθεῖσα. συνάγχαις δὲ ἀναγαργάρισμα μετὰ σύκων ἀφεψήματος ἄριστον. ὀδόντων τε
G πόνον πραΰνει, σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη· λύει δὲ καὶ τὰς περὶ τὰ ὦτα ἐμπνευματώσεις πυριαθεῖσα.

V. addit θαλάσσιον

Al. τὴν Ἀσίαν

Quidam ἐμβαλλόμενον præter rem. & subdit v. καὶ πρὸς σκοτωμίαν καὶ ἐπιληψίαν ποιεῖ.

Περὶ Στοιχάδος. Κεφ. λα΄.

Στοιχὰς γεννᾶται μὲν ἐν ταῖς κατὰ Γαλατίαν νήσοις ἀντικρὺ Μασσαλίας, καλουμέναις δὲ Στοιχάσιν, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. πόα * λεπτόκαρπός ἐστιν, ὁμοίαν ἔχουσα κόμην θύμῳ, μακροφυλλοτέρα μέντοι γε καὶ δριμεῖα ἐν τῇ γεύσει, καὶ ὑπόπικρος ποσῶς. ποιεῖ δὲ τὸ ἀφέψημα αὐτῆς καθὼς ὕσσωπος πρὸς τὰ ἐν θώρακι. μίγνυται δὲ καὶ ἀντιδότοις χρησίμως.

Περὶ Ὀριγάνου. Κεφ. λβ΄.

Ὀρίγανος Ἡρακλεωτική, οἱ δὲ κονίλην καλοῦσι, φύλλον ἔχει ἐμφερὲς ὑσσώπῳ· σκιάδιον δὲ οὐ τροχοειδές, ἀλλ' ὥσπερ διῃρημένον, καὶ ἐπ' ἄκρων τῶν ῥάβδων τὸ σπέρμα οὐ πυκνόν. Ἔστι δὲ θερμαντική· ὅθεν τὸ ἀφέψημα αὐτῆς σὺν οἴνῳ ποθέν, ἁρμόζει θηριοδήκτοις· σὺν γλυκεῖ δέ, τοῖς κώνειον ἢ μηκώνειον πεπωκόσι· σὺν ὀξυμέλιτι δέ, τοῖς πεπωκόσι γύψον ἢ ἐφήμερον. πρὸς δὲ τὰ σπάσματα καὶ ῥήγματα καὶ ὕδρωπας, μετὰ σύκου βιβρωσκομένη. ξηρὰ δὲ ποθεῖσα ὀξυβάφου πλῆθος σὺν μελικράτῳ, μέλαινα κατὰ κοιλίαν ἄγει· ἔμμηνά τε κινεῖ καὶ βῆχας θεραπεύει, σὺν μέλιτι ἐκλειχομένη· κνησμοὺς δὲ καὶ ψώρας καὶ ἴκτερον τὸ ἀφέψημα αὐτῆς ἐν λουτρῷ ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτῆς χλωρᾶς οὔσης, καὶ παρίσθμια καὶ κιονίδας καὶ ἄφθας θεραπεύει. καὶ διὰ ῥινὸς ἄγει, σὺν ἐλαίῳ ἰρίνῳ ἐγχυματιζόμενος· σὺν γάλακτι δέ, καὶ ὠταλγίας παρηγορεῖ. ἐμετικόν τε φάρμακον σκευάζεται δι' αὐτῆς καὶ κρομμύων, καὶ ῥόος τοῦ ἐπὶ τὰ ὄψα, πάντων ἐν χαλκῷ κυπρίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡλιασθέντων, ἐπὶ ἡμέρας μ΄. ὑποστρωννυμένη δὲ ἡ πόα, ἑρπετὰ διώκει.

Catae. τεχεῖδες

Περὶ Ὀνίτιδος. Κεφ. λγ΄.

Ἡ δὲ Ὀνῖτις καλουμένη, λευκοτέρα τοῖς φύλλοις ἐστί, καὶ μᾶλλον ἐοικυῖα ὑσσώπῳ. καὶ τὸ σπέρμα ὥσπερ κορύμβους συνεχεῖς ἐπικειμένους ἔχει. Δύναται μέντοι τὰ αὐτὰ τῇ Ἡρακλεωτικῇ, οὐχ οὕτω μέντοι δραστικὴ καθέστηκεν.

Περὶ Ἀγριοριγάνου. Κεφ. λδ΄.

Ἡ δὲ Ἀγριορίγανος, ἣν πάνακες

A *De Stœchade. Cap. XXXI.*

STOECHAS in insulis Galliæ gignitur, quæ è regione Massiliæ sitæ Stœchades appellantur: & ab ijs quoque nomen accepit. Herba est tenuibus surculis, coma thymi, sed folio longiore, gustu acris, & aliquantum subamara. Decoctum huius, vt & B hyssopi, ad pectoris vitia efficax est. Antidotis quoque vtiliter immiscetur.

De Origano. Cap. XXXII.

ORIGANUM Heracleoticum, quod nonnulli cunilam appellant, folium habet hyssopo non dissimile: vmbellam autem non in rotæ C speciem orbiculatam, sed veluti diuisam, & semen in summis virgis haudquaquam densum. Vim habet excalfaciendi: ac proinde ipsius decoctum ex vino potui datum, venenatorum morsibus conuenit. Ex passo verò, ijs prodest qui cicutam aut meconium: ex aceto mulso, ijs qui gypsum aut ephemerum hau-D serunt. Conuulsis autem, ruptis & hydropi medetur, cum fico esui datum. At aridum, acetabuli mensura cum aqua mulsa epotum, atros humores per aluum extrahit, menses ciet, ac tussi cum melle delinctum medetur. Prurigini autem, psoræ ac morbo regio decoctum i-E psius in balneo prodest. Succus virentis, tonsillis, vuulis & aphthis medetur: & in nares ex oleo irino infusus, caput purgat: aurium quoque dolores ex lacte mitigat. Conficitur denique ex eo, cępis, ac rhois frutice quo ad obsonia vtuntur, vomitorium medicamentum, his omnibus in cupreo vase per Canicu-F læ ardores ad dies quadraginta insolatis. Substrata autem herba serpentes fugat.

De Onitide. Cap. XXXIII.

Quod onitis appellatur, folijs est cādidioribus, hyssopóque similius: ac semen habet, veluti corymbos cohærentes ac sibiinuicem incumbentes. Vis tamen eadem, quæ G Heracleotico: at minùs efficax.

De origano syluestri. Cap. XXXIIII.

Syluestre origanū aliqui panaces

Heraclium vocat, alij cunilam: quo in numero est Nicander Colophonius. Folijs est origani, virgultis dodrantalibus, tenuibus, in quibus vmbellæ anethi insunt, flores candidi: radix tenuis ac inutilis. Priuatim venenatorum morsibus folia & flores ex vino in potu auxiliantur.

De Tragorigano. Cap. XXXV.

TRAGORIGANVM exiguus est frutex, folio & ramulis origano aut syluestri serpyllo similis. Quoddam pro locorum ratione lætius ac speciosius, foliísque atrioribus inuenitur, satis glutinosum. Alterum gracilibus est surculis, exilioribúsque folijs: quod etiam prasium aliqui vocauere. Optimum est Cilicium, quódque in Co, Chio, Smyrna Cretáq; prouenit. Omnia excalfaciunt, vrinas cient, bonámque faciunt aluum, si decocti ius ebibatur: siquidem biliosa deijciunt. Prosunt & lienosis ex aceto pota: itémque ex vino, ijs qui ixiam hauserunt. Quin & menses trahunt, & in tussi ac peripneumonia ex melle in eclegmate dantur. Est & eorum potio non ingrata: quò fit vt cibum fastidientibus, stomacho malè affectis, acidáque ructantibus exhibeatur, iísque itidem quos qualis ex maris agitatione anxietas, nausea & præcordiorum æstus comitantur. Discutiunt insuper œdemata, si cum polenta illinantur.

De Pulegio. Cap. XXXVI.

PVLEGIVM, herba vulgaris notitiæ. Extenuat, calfacit, concoctiones adiuuat. Bibitum, mẽstrua, secundas & partus eijcit. Pulmonum verò vitia excreabilia facit, cum sale & melle potum: ac conuulsis etiam auxiliatur. Nauseas & stomachi rosiones ex posca bibitum permulcet: atros etiamnũ humores per aluum exigit. Venenatorũ quoque morsibus in vino potum succurrit. Defectos animo recreat, cum aceto naribus admotũ. Gingiuas etiam arefacti cinere corroborat. Illitum verò cum polenta, inflammationem omnem lenit, & podagricis per se prodest impositum dum rubescat locus. Cum cerato autem, varos extinguit: ac lie-

A Ἡράκλειον, οἱ δὲ κονίλην καλοῦσιν, ὧν ἐστι καὶ Νίκανδρος ὁ Κολοφώνιος, ἔχει τὰ μὲν φύλλα ὅμοια ὀριγάνῳ, ῥαβδία δὲ σπιθαμιαῖα, λεπτά, ἐφ' ὧν σκιάδια ὅμοια ἀνήθου, ἄνθη δὲ λευκά. ῥίζα λεπτή, ἄχρηστος. ἰδίως δὲ βοηθεῖ θηριοδήκτοις τὰ φύλλα καὶ τὰ ἄνθη, σὺν οἴνῳ πινόμενα.

Catac. θαμνίσκοι δὲ

Alii add. καὶ κεφαλαλγίαις παραιτεῖται.

B ### Περὶ Τραγοριγάνου. Κεφ. λε´.

ΤΡΑΓΟΡΙΓΑΝΟΣ θαμνίσκος ἐστὶν, ὀριγάνῳ ἢ ἑρπύλλῳ ἀγρίῳ ὅμοιος τὰ φύλλα καὶ τὰ κλωνία· ἡ μέν τις εὑρίσκεται κατὰ τόπους εὐερνεστέρα, καὶ πλατύφυλλος, κολλώδης ἱκανῶς. ἡ δέ τις λεπτόκαρφος καὶ λεπτόφυλλος, ἣν καὶ C πράσιον ἔνιοι καλοῦσι. ἀρίστη δὲ ἡ Κιλίκιος, καὶ ἡ ἐν Κῷ, καὶ Χίῳ, καὶ Σμύρνῃ, καὶ Κρήτῃ. θερμαντικαὶ δὲ πᾶσαι καὶ οὐρητικαὶ καὶ εὐκοίλιοι, πινομένου τοῦ ἀφεψήματος. ὑποβιβάζουσι γὰρ τὰ χολώδη. εὔθετοι καὶ σπληνικοῖς πινόμεναι μετ' ὄξους, καὶ τοῖς ἰξίαν πεπωκόσι μετ' οἴνου, D καὶ ἔμμηνα δὲ ἄγουσι· βηξί τε καὶ περιπνευμονίαις, σὺν μέλιτι ἐν ἐκλεικτῷ δίδονται. ἔστι δὲ καὶ τὸ πόμα ἐπιεικές· ὅθεν τοῖς ἀσώδεσι καὶ κακοστομάχοις καὶ ὀξυρεγμιῶσι δίδοται· καὶ ἐφ' ὧν ἀλυσμὸς καὶ ναυτία καὶ θέρμη ὑποχονδρίων παρακολουθεῖ. διαφορεῖ δὲ καὶ οἰδήματα E καταπλασθεῖσα μετὰ ἀλφίτων.

V. θάμνος

Quid. Schol. πλατύφυλλος

Ald. κομμώδης

V. Κῷος

V. caret.

V. βοηθεῖ δὲ καὶ

V. caret vsque ad vocẽ δίδοται.

Περὶ Γλήχωνος. Κεφ. λϛ´.

ΓΛΗΧΩΝ πόα γνώριμος, λεπτυντική, θερμαντική, πεπτική. ποθεῖσα δὲ ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει· ἀνάγει δὲ καὶ τὰ ἐκ πνεύμονος μετὰ ἁλὸς καὶ μέλιτος ποθεῖσα, καὶ σπωμένοις βοηθεῖ· ναυ- F τίας τε καὶ δηγμοὺς στομάχου μετὰ ὀξυκράτου ποθεῖσα παραμυθεῖται. ἄγει δὲ καὶ κατὰ κοιλίαν μέλανα. βοηθεῖ δὲ καὶ θηριοδήκτοις πινομένη μετ' οἴνου. λειποθυμοῦντάς τε ἀνακτᾶται σὺν ὄξει, ταῖς ῥισὶ προσφερομένη· κρατύνει δὲ καὶ οὖλα, ξηρὰ λεία κεκαυμένη. ἐπι- G πλασθεῖσα δὲ πραΰνει πᾶσαν φλεγμονὴν σὺν ἀλφίτῳ. καθ' ἑαυτὴν δὲ, ποδαγρικοῖς ἁρμόζει, ἄχρι φοινίξεως τῆς ἐπιφανείας. σὺν κηρωτῇ δὲ, ἰόνθους σβέννυσιν· ὠφε-

Sunt qui addant: ποιεῖ δὲ τὰ αὐτὰ ἅπερ καὶ ἡ ὀρίγανος· καὶ ταύτης γὰρ αἱ ῥίζαι πινόμεναι καὶ εἰς ἐγκάθισμα καθεψόμεναι ποιοῦσι πρὸς χρονίαν ἐμμηνίων κατοχὴν, καὶ πρὸς θηριοδήκτους, καὶ πρὸς δηλητήρια, καὶ πρὸς βῆχα χρονίαν, καὶ κνησμὸν καὶ ψώραν.

V. caret.

Legit Samb. κατακεκλυσμένη

ται δὲ καὶ σπληνικοῖς μεθ' ἁλὸς καταπλασσομένη. τὸ δὲ ἀφέψημα αὐτοῦ κνησμοὺς λουόμενον παύει, καὶ εἰς ἐγκάθισμα, καὶ πρὸς ἐμπνευματώσεις καὶ σκληρίας καὶ ὑποστροφὰς ὑστέρας ἁρμόζει. καλοῦσι δέ τινες αὐτὴν βλήχωνα, ἐπειδὴ τὰ γευσάμενα κατὰ τὴν ἄνθησιν τῶν ποιμνίων, βληχῆς ἀποπίμπλαται.

Ald. ἀποστροφάς. V. στροφάς

Quæ in Cataeuz. cod. capiti huic adduntur, iuxta Mathiolum tantū, exegesis sunt: nam vires sunt eædem.

Cat. δικτική

Περὶ Δικτάμνου. Κεφ. λζʹ.

ΔΙΚΤΑΜΝΟΣ, ἣν καλοῦσί τινες γλήχωνα ἀγρίαν, πόα ἐστὶ Κρητική, δριμεῖα, λεία, ὁμοία γλήχωνι· μείζω δὲ καὶ γναφαλώδη τὰ φύλλα ἔχει, καὶ ἐριώδη τινὰ ἐπίφυσιν. οὔτε δὲ ἄνθος, οὔτε καρπὸν φέρει. ποιεῖ δὲ πάντα ὅσα καὶ ἡ ἥμερος γλήχων, ἐνεργέστερον δὲ πολλῷ· οὐ μόνον γὰρ πινομένη, ἀλλὰ καὶ προστιθεμένη καὶ ὑποθυμιωμένη, τὰ τεθνηκότα ἔμβρυα ἐκτινάσσει. φασὶ δὲ καὶ τὰς αἶγας ἐν Κρήτῃ τοξευθείσας καὶ νεμηθείσας τὴν πόαν, ἐκβάλλειν τὰ τοξεύματα. ἔχει δὲ καὶ καθαρτικὴν δύναμιν ὁ χυλὸς αὐτῆς, καταχριόμενος ἢ ῥιβόμενος μετὰ ἀλφίτων. καταπλασσομένη δὲ ἡ βοτάνη, τοὺς ὑποκάτω τῶν ποδῶν ἢ τοῦ λοιποῦ σώματος θεραπεύει σκόλοπας. ποιεῖ δὲ καὶ πρὸς πόνον σπληνός, μειοῖ γὰρ αὐτόν. καρπίζουσι δὲ αὐτὴν ἐν θέρει καὶ φθινοπώρῳ. ἡ δὲ ῥίζα αὐτῆς γευομένοις θερμαίνει. ἔστι δὲ καὶ ὀξυτόκιον. βοηθεῖ δὲ καὶ θηριοδήκτοις ὁ χυλὸς αὐτῆς, μετ' οἴνου πινόμενος. τοιαύτη δὲ τῆς βοτάνης ἡ δύναμις, ὡς καὶ ὀσφραινομένη διώκειν, καὶ προσαπτομένη ἀναιρεῖν τὰ ἰοβόλα θηρία. τὸ δὲ αὐτῆς χύλισμα ἐπιχεόμενον πληγῇ σιδήρου ἢ ἰοβόλου δήγματι, καὶ πρὸς τὸ ἐπιχυθῆναι καὶ λαμβανόμενον πόσει, εὐθέως ὑγιάζει.

Ald. γναφαλοειδῆ

V. ἐκφέρει

Ald. γευομένῳ

Περὶ Ψευδοδικτάμνου. Κεφ. ληʹ.

Τὸ δὲ ψευδοδίκταμνον καλούμενον, φύεται ἐν πολλοῖς τόποις, ἐμφερὲς μὲν τῷ πρὸ αὐτοῦ, ἔλαττον δὲ δριμύ. ποιεῖ δὲ τὰ αὐτὰ τῷ δικτάμνῳ, οὐχ ὁμοίως ἐνεργοῦν.

Περὶ τοῦ ἑτέρου ἀπὸ Κρήτης Δικτάμνου. Κεφ. λθʹ.

Φέρεται δὲ καὶ ἀπὸ Κρήτης ἕτερον εἶδος δικτάμνου, φύλλοις ἐοικὸς σισυμβρίου, κλωσὶ δὲ μείζοσιν· ἐφ' ὧν ἄνθος ὀριγάνῳ ἀγρίῳ ἐοικός, μέλαν, μαλακόν.

V. φύεται δὲ ἐν Κρήτῃ

Quidam ὁρμίνῳ vt Cat.

A nosis etiam confert, cum sale adhibitum. Cæterùm decoctum ipsius prurigines lotione mitigat, & vuluę inflationibus ac duritiei, eiusdémque conuersionibus insessione subuenit. Aliqui porrò blechona vocāt: quoniam, dum floret, à pecoribus gustatum, balatum concitat.

B *De Dictamno. Cap. XXXVII.*

DICTAMNVM, quod syluestre pulegium aliquibus appellatur, herba est Cretensis, acris, læuis, pulegio similis: at maioribus lanuginosísque folijs, ac lanosa quadam veluti pube obductis. At neque florem neque semen profert. Præstat verò omnia quę satiuum pulegium, C sed efficaciùs multò. Nam non potum modò, sed & appositum ac suffitum, partus emortuos eijcit. Aiunt & in Creta capras tela quibus ictæ sunt huius herbæ pastu excutere. Porrò purgandi vim habet succus ipsius illitus, aut cum polenta affrictus. Imposita verò herba plantæ pedū reliquóve corpori inpactos D aculeos refigit extrahítque. Est & efficax ad lienis dolorem: siquidem ipsum imminuit. Legitur autem æstate & autumno. Radix gustu excalfacit, necnon & partum accelerat. Sed & succus cum vino potus, contra venenatorum morsus auxilio est. Herbæ verò tanta vis est, vt E ictu venenato sæuientes bestias & olfactu abigat, & contactu perimat. Cæterùm expressus ex ea succus, vulneribus ferro illatis aut venenatis morsibus instillatus, præsentaneo est remedio, si prætereà in potu assumatur.

De Pseudodictamno.
F *Cap. XXXVIII.*

Quod pseudodictamnū vocant, multis in terris nascitur, antedicto simile, at minùs quàm illud acre. Eosdem verò præbet effectus, at inefficaciùs.

De altero Dictamno Cretico.
Cap. XXXIX.

G Defertur & è Creta alterum dictamni genus, folio sisymbrij: at ramis maioribus, in quib⁹ flos emicat syluestris origani, niger ac mollis.

A Odor foliorum inter ſiſymbrium & ſaluiam medius, iucundiſſimus. Ad eadem ad quæ & antedictum efficax, ſed minùs nares ferit. Miſcetur & emplaſtris ac theriacis compoſitionibus.

De Saluia. Cap. XL.

SALVIA, quam Græci eleliſphacon, alij elaphoboſcon, alij deniB que ſphagnon nominant, frutex eſt oblongus, ramis numeroſis, virgas habens quadrangulas & albicantes: folia mali cotoneæ effigie, ſed longiora, aſperiora craſſioráque, & attritarum veſtium modo, ita parum villoſa, vix vt quiſquam villos animaduertat, ſubalbida, vehemēter odorata, ſed viroſa: ſemen ſumC mis in caulibus ſylueſtri hormino ſimile gerit: in aſperis naſcitur. Foliorum ramorúmque decoctū vim habet epotum vrinas menſéſque ciendi, partus extrahendi, & paſtinacæ marinæ ictibus auxiliandi. Capillos quoque denigrat ſaliua, vulnerariáque eſt, & ſanguinis coD hibendi vi prædita: ac denique fera repurgat vlcera. Sed & folia ac ipſi etiam rami, ſi in vino decoquantur, genitalium pruritus fotu ſedant.

De Menta ſatiua. Cap. XLI.

GALBANVM liquor est nascẽtis in Syria ferulæ: id nonnulli Metopium vocant. Est in hoc genere probatissimum quod thuris (aut hammoniaci) præbet effigiem, grumosum, purum, pingue, minimè lignosum, at nonnihil retinens admixti seminis ac ipsius quoque ferulæ, odore graui, neque valde humidum, neque etiam penitus aridum. Admixtis resina, faba fresa & hammoniaco, adulteratur. Excalfacit porrò galbanum, vrit, attrahit atque discutit: menses ac partus trahit appositu vel suffitu: lentigines cum aceto & nitro illitum tollit. Deuoratur autem ad tussim veterem, spirandi difficultatem, suspiria, rupta atque conuulsa. Cum vino quoque & myrrha epotum toxico aduersatur. Sed & simili modo sumptum partus mortuos extrahit. Imponitur & lateris dolori atque furunculis. Comitiales, vuluæ strangulatus, & vertiginosos olfactu suscitat. Si vratur, fugat nidore venenatas bestias, ac perunctos itidem ab illarum morsu vindicat: serpentes cum sphondylio & oleo admotum necat. Dentium dolorem oblitum, aut cauernis inditum sedat. Prodesse quoque difficulter meientibus existimatur. Sed & ad potiones, amaris amygdalis &

A ὥστε πᾶν τὸ προσαγόμενον, εὐφόρβιον δοκεῖν εἶναι. ἡ μέντοι εὕρεσις αὐτοῦ κατὰ Ἰόβαν τὸν βασιλέα τῆς Λιβύης ἐπεγνώσθη. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς διαφορητικὴν ὑποχυμάτων, ἐγχριόμενος, πυροῖ μέντοι δι' ὅλης τῆς ἡμέρας * ποθείς· ὅθεν μέλιτι μίγνυται, καὶ κολλυρίοις, κατὰ ἀναλογίαν τῆς B δριμύτητος. ἁρμόζει καὶ ἰσχίων ἀλγήμασι, μιγεὶς ἀρωματικῷ ποτήματι καὶ πινόμενος· ἀφίστησι δὲ καὶ λεπίδας αὐθημερόν· δεῖ μέντοι χρωμένους ἀσφαλίζεσθαι τὴν περικειμένην τοῖς ὀστοῖς σάρκα, μοτοῖς ἢ κηρωταῖς. ἱστοροῦσι δέ τινες μηδὲν παρακολουθεῖν δυσχερὲς τοῖς ἑρπετοδήκτοις, ἐάν C τις ἐκκόψας ἄχρις ὀστέου τὸ δέρμα τῆς κεφαλῆς, ἐγχέῃ τὸν ὀπὸν λεῖον, καὶ ῥάψῃ τὸ τραῦμα.

Epit. addit ψυχρῶν

Περὶ Χαλβάνης. Κεφ. ϙζ.

ΧΑΛΒΑΝΗ ὀπός ἐστιν νάρθηκος ἐν Συρίᾳ γεννωμένου, ἣν ἔνιοι μετώπιον καλοῦσιν. ἔστι δὲ αὐτῆς ἀρίστη λιβανοειδής, D * χονδρώδης, καθαρά, λιπαρά, ἄξυλος, ἔχουσα δέ τι τοῦ σπέρματος * καὶ τοῦ νάρθηκος μιγνυμένου, ὀσμῇ βαρεῖα, οὔτ' ἄγαν ὑγρά, οὔτε πάλιν κατάξηρος. δολοῦσι δὲ αὐτὴν, μιγνύντες ῥητίνην, καὶ ἔρεγμον καὶ ἀμμωνιακόν. Δύναμιν δὲ ἔχει θερμαντικὴν, πυρωτικὴν, ἐπισπαστικὴν, διαφο- E ρητικήν. προστιθεμένη δὲ καὶ ὑποθυμιωμένη, ἔμμηνα καὶ ἔμβρυα ἄγει· φακούς τε αἴρει μετ' ὄξους καὶ νίτρου ἐπιπλασθεῖσα· καταπίνεται δὲ πρὸς παλαιὰν βῆχα, δύσπνοιαν, ἄσθματα, ῥήγματα, σπάσματα. ἀντιπάσχει δὲ καὶ τοξικῷ σὺν ὄξει * καὶ σμύρνῃ ποθεῖσα. ἐκβάλλει καὶ τεθνηκότα F ἔμβρυα ὁμοίως ληφθεῖσα· ἐπιτίθεται δὲ καὶ πρὸς ὀδύνην πλευρᾶς, καὶ πρὸς δοθιῆνας· ἐπιληπτικούς τε καὶ ὑστερικὰς πνίγας καὶ σκοτωματικοὺς ὀσφραινομένη διεγείρει, θηρία τε θυμιωμένη διώκει, τούς τε συγχριομένους ἀδήκτους τηρεῖ· σὺν σφονδυλίῳ δὲ καὶ ἐλαίῳ " προστεθεῖσα, ἑρπετὰ " κτεί- G νει· ὀδόντος τε πόνον περιπλασθεῖσα ἢ ἐντεθεῖσα εἰς τὸ βρῶμα, παύει. δοκεῖ δὲ καὶ * δυσουροῦσι ποιεῖν· λύεται δὲ καὶ εἰς μὲν τὰ ποτήματα, πικροῖς ἀμυγδάλοις καὶ

Corn. legit περιχρισθεῖσα, aut περιῤῥανθεῖσα
Goup. alter. διώκει

ὕδατι ἢ πηγάνῳ ἢ μελικράτῳ ἢ ἄρτῳ θερμῷ· ἄλλως δὲ μηκωνείῳ ἢ χαλκῷ κεκαυμένῳ, ἢ χολῇ ὑγρᾷ. καθαίρειν δὲ αὐτὴν βουλόμενος, κάθες εἰς ζεστὸν ὕδωρ· τακείσης γὰρ αὐτῆς, ἐπιπλεύσει τὸ *ῥυπαρόν· ὅπερ χωρίσεις οὕτως· εἰς ὀθόνιον καθαρὸν ἀραιὸν ἐνδήσας ἀποκρέμασον εἰς χαλκῆν πυξίδα ἢ ὀστράκινον ἀγγεῖον, ὡς μὴ ἅπτεσθαι τοῦ πυθμένος τοῦ ἀγγείου τὸ ἔνδεσμον· καὶ πωμάσας, εἰς ἀναβραστὸν ὕδωρ κάθες· οὕτω γὰρ τὸ μὲν νόσιμον ἀποτακήσεται ὡς δι' ἠθμοῦ. τὸ δὲ ξυλῶδες ἐν τῷ ὀθονίῳ μενεῖ.

ὁ legendum suspicatur Marcellus.

Lacuna ex vet. cod. εἰς τὸ ἄγγος ἀποσταγήσεται. τὸ δὲ &c.

aqua, aut ruta mulsáve aut calido pane resoluitur: aliàs verò meconio, æréve vsto aut felle liquido. Porrò si purgare galbanum voles, in feruentê aquam demittito: nam vbi liquatum fuerit, sordes ex parte fluitabunt, quas ita facilè separabis: dein galbanum ipsum mundo raróque linteo illigatum in ærea pyxide aut fictili vase ita suspendito, vt ne fasciculus nodulúsve vasis imum contingat, opertúmque vas in feruidam aquam demittito. Sic enim quod vtile præstantiúsq; fuerit, veluti per colum eliquescet: lignosum verò quicquid fuerit intra linteum remanebit.

Περὶ Ἀμμωνιακοῦ. Κεφ. ϟη'.

ἈΜΜΩΝΙΑΚΟΝ, καὶ τοῦτο ὀπός ἐστι νάρθηκος, γινομένου ἐν τῇ κατὰ Κυρήνην Λιβύῃ. καλεῖται δὲ αὐτοῦ ὅλος ὁ θάμνος σὺν τῇ ῥίζῃ, Ἀγασυλλίς. ἐγκριτέον δὲ αὐτοῦ τὸ εὔχροον [καὶ ἄξυλον καὶ ἀλιθές,] λιβανωτίζον τοῖς χόνδροις, καθαρὸν καὶ πυκνὸν, μηδεμίαν ἔχον ῥυπαρείαν, καστορίζον τῇ ὀσμῇ, πικρὸν δὲ τῇ γεύσει. καλεῖται δὲ τὸ τοιοῦτον, θραῦσμα· τὸ δὲ γεῶδες ἢ λιθῶδες, φύραμα. γίνεται δὲ ἐν Λιβύῃ κατὰ Ἄμμωνα, χυλὸς ὢν δένδρου ναρθηκοειδοῦς. Δύναμιν δὲ ἔχει μαλακτικὴν, ἐπισπαστικὴν, θερμαντικὴν, διαφορητικὴν σκληρωμάτων τε καὶ φυμάτων· κοιλίαν τε ὑπάγει ποθέν· καὶ ἔμβρυα κατασπᾷ. σπλῆνα τήκει μετ' ὄξους < α' ποθέν. καὶ ἀρθρῖτιν καὶ ἰσχίων ἀλγήματα παραιτεῖται· βοηθεῖ δὲ καὶ ἀσθματικοῖς, ὀρθοπνοϊκοῖς, ἐπιληπτικοῖς, καὶ τοῖς ὑγρασίαν ἐν θώρακι ἔχουσιν, ἐκλειχόμενον μετὰ μέλιτος, ἢ πτισάνης ῥοφούμενον χυλῷ· ἄγει δὲ καὶ οὖρα αἱματώδη· σμήχει δὲ καὶ τὰ ἐν ὀφθαλμοῖς λευκώματα· καὶ τραχύτητας βλεφάρων τήκει. λειωθὲν δὲ σὺν ὄξει καὶ ἐπιτεθὲν, παύει τὰς περὶ σπλῆνα καὶ ἧπαρ σκληρίας. λύει καὶ τοὺς περὶ τὰ ἄρθρα πώρους μετὰ μέλιτος καταπλασσόμενον, ἢ καὶ πίσσῃ μιγέν· ποιεῖ καὶ πρὸς κόπους καὶ

V. quidam his carent καὶ ἄξυλον καὶ ἀλ.

V. καὶ τὸ βρῖζον τῇ ὀσμῇ σφοδρὸν

V. pro his θερμ. διαφορ. tantum διαλυτικὴν legit.

Lacuna legit in vet. codice παρέχουσι καὶ ὑπάγει.

In quibusdam codicibus legi annotat Marcellus ποπαθὲν

De Hammoniaco. Cap. XCVIII.

EST & Hammoniacum ferulæ liquor, quæ in ea gignitur Africæ parte quæ est iuxta Cyrenen. Totus cum radice frutex Agasyllis appellatur. Maximè probatur quod bene coloratum est, ligni & calculorum expers, thuris glebarum granorúmve similitudine, syncerum ac densum, nulla sorde spurcatum, castoreum odore imitans, & gustu amarum. Hoc genus thrausma, quasi fragmẽtum seu friaturam dicas, appellatur: alterum quod terræ calculorúmve est particeps, phyrama, id est, mixtura seu miscella. Gignitur verò succus is in Africa iuxta Hammonis templum è ferulacea stillans arbore. Vim habet molliendi, attrahendi, calfaciendi, atque duritias & panos discutiendi. Potum, aluum subducit, partúsque extrahit: lienem verò consumit cum aceto drachmæ pondere haustum, & articulorum coxendicúmque doloribus liberat. Auxilio quoque est anhelatoribus, orthopnoïcis & comitialibus: item quibus humor intra pectus hæret, si ex melle delingatur, aut cũ ptisanæ succo sorbeatur. Cruentas etiam vrinas pellit: necnon & oculorum albugines abstergit, & genarum scabritias absumit. Tritum autem ex aceto & impositum, lienis iocinerísque duritias emollit. Sed & tophos seu nodos dissoluit qui circum articulos occalluerunt, cum melle adhibitũ, aut etiam pici admixtũ. Facit & ad lassitudines & ischia-

ischiadas, si additis aceto, nitro & cyprino oleo, acopi vice, perunguntur.

A ἰσχιάδας συγχριόμενον, μιγὲν ὄξει καὶ νίτρῳ καὶ κυπρίνῳ ἐλαίῳ ἀντὶ ἀκόπου.

De Sarcocolla. Cap. XCIX.

SARCOCOLLA lachryma est arboris in Perside nascentis, thuri tenui similis, subfulua, gustu amariuscula. Vim habet vulnera glutinandi, & oculorum fluxiones inhibendi. Inseritur & emplastris. Ceterùm admixto gummi adulteratur.

Περὶ Σαρκοκόλλας. Κεφ. ϟθ'.

Ἡ δὲ σαρκοκόλλα ἐστὶ δάκρυον δένδρου "γινομένου ἐν Περσίδι, ἐοικὸς λιβανωτῷ "λεπτῷ, ὑπόκιρρον, ἔμπικρον τῇ γεύσει. Δύναμιν δὲ ἔχει κολλητικὴν B τραυμάτων καὶ "ἐφεκτικὴν τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων· μίγνυται δὲ καὶ ἐμπλάστροις. δολοῦται δὲ κόμμεως αὐτῇ μιγνυμένου.

Par. γινόμενος
Alij μικρῷ
Veteres quidam non habent καὶ ἐφ. vsque ad μίγνυται.

De Glaucio. Cap. C.

GLAVCIVM succus est herbæ quæ ad Hierapolin Syriæ nascitur, folijs ferè cornuti papaueris, pinguioribus tamen & in terram sparsis, grauecolentibus & gustanti amarioribus, quæque sunt crocei coloris succo copioso prædita. Folia in ollam coniecta, semifrigidis clibanis calfaciunt indigenæ, vsquedum flaccescant: deinde contusis succum exprimunt. Est porrò eius vsus ad oculorum affectus circa principia: quippe cùm refrigerandi vim habeat.

Περὶ Γλαυκίου. Κεφ. ρ'.

Γλαύκιον χυλός ἐστι βοτάνης κατὰ Ἱεράπολιν τῆς Συρίας γινομένης. C ἔοικε δὲ αὐτῆς τὰ φύλλα τῆς κερατίτιδος μήκωνος", λιπαρώτερα δὲ καὶ χαμαίζηλα, καὶ βαρύοσμα καὶ πικρότερα ἐν τῇ γεύσει· χυλὸν δὲ ἔχει πολὺν κροκίζοντα. ταύτης τὰ φύλλα βάλλοντες οἱ ἐπιχώριοι εἰς χύτραν, θερμαίνουσιν ἐν κλιβάνοις ἡμιψυγέσιν ἄχρι μαρασμοῦ, εἶτα ἐκκόψαντες D ἐκθλίβουσι τὸν χυλόν· ἔστι δὲ ἡ χρῆσις αὐτοῦ πρὸς τὰ ὀφθαλμικὰ ἐν ἀρχῇ ψυκτικοῦ ὄντος.

V. margo addit: ἢ τὸ ὄνομα εἴρηται

De Glutino. Cap. CI.

GLVTINVM quod xylocollam vel taurocollam vocat, præstantissimum Rhodiacum, quod è corijs bubulis conficitur. Candidum verò id est atque translucens: at nigrum minùs probatur. Resolutum in aceto, impetigines leprásque summæ cutis delet. Ex aqua verò calida dilutum & illitum non patitur ambusta in pustulas attolli. Vulnerarium quoque est, si melle & aceto diluatur.

Περὶ Κόλλης. Κεφ. ρα'.

Κόλλα ἣν ἔνιοι ξυλοκόλλαν καλοῦσιν ἢ ταυροκόλλαν, καλλίστη ἐστὶν ἡ "Ῥοδιακή, ἡ ἐκ τῶν βοείων βυρσῶν σκευαζομένη· E ἔστι δὲ λευκὴ καὶ διαυγὴς ἡ τοιαύτη· ἡ δὲ μέλαινα ἥττων. Δύναμιν δὲ ἔχει, λυθεῖσα ὄξει, λειχῆνας καὶ λέπρας τὰς ἐπιπολαίους ἀφιστάναι. πυρίκαυστά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι μεθ' ὕδατος θερμοῦ ἐνεθεῖσα καὶ καταχριομένη. ἔστι δὲ καὶ τραυματική, διεθεῖσα μέλιτι καὶ ὄξει.

V. aliqui nō habent.

De Ichthyocolla. Cap. CII.

ICHTHYOCOLLA, hoc est, piscium gluten, venter est piscis cetacei. Præstat natione Pontica, candicans, subaspera, minimè scabra, & quæ celerrimè liquescit. Vtilis est in emplastris cephalicis, leprarúmque medicaminibus, & tetanothris quæ faciei cutem erugant & extendunt.

F Περὶ Ἰχθυοκόλλης. Κεφ. ρβ'.

Ἡ δὲ ἰχθυοκόλλα λεγομένη "κοιλία ἐστὶν ἰχθύος "κητώδους. διαφέρει δὲ ἡ ἐν Πόντῳ γινομένη οὖσα λευκή, "ὑπότραχυς, οὐ ψωρώδης, τάχιστα τηκομένη. ὠφελεῖ δὲ εἰς τὰς κεφαλικὰς ἐμπλάστρους καὶ λεπρικὰς δυνάμεις, καὶ εἰς τετανώθρα τῶν G προσώπων.

Marc. legit in antiquo κόλλα
Alii, κητῴου
Marc. legit ὑπότραχυς.

De Visco. Cap. CIII.

VISCVM optimum quod recens est, colore intus porraceo, extra

Περὶ Ἰξοῦ. Κεφ. ργ'.

Ἰξὸς καλός ἐστιν ὁ" νέος, καὶ πρασίζων τῷ χρώματι κατὰ τὰ ἐντός, ἐκτὸς

Marc. legit λάβος

ὑπόξανθος, μηδὲν ἔχων τραχὺ ἢ πιτυρῶδες. γίνεται δὲ ἔκ τινος καρποῦ* περιφεροῦς, γεννωμένου ἐν δρυῒ τῇ ἐχούσῃ τὰ φύλλα ὅμοια πύξῳ. κόπτεται δὲ ὁ καρπός, εἶτα πλύνεται, εἶτα ἐν ὕδατι ἕψεται. ἔνιοι δὲ μασώμενοι αὐτὸν ἐργάζονται. γίνεται δὲ καὶ ἐκ μηλέας καὶ ἀπίου, καὶ ἐξ ἄλλων δένδρων· εὑρίσκεται δὲ καὶ πρὸς ῥίζαις θάμνων τινῶν. Δύναται δὲ διαφορεῖν, μαλάσσειν, ἐπισπᾶσθαι, συμπέττειν φύματα, παρωτίδας, καὶ τὰς ἄλλας ἀποστάσεις, μιγεὶς ῥητίνῃ καὶ κηρῷ ἴσῳ· ἐπινυκτίδας τε ἐν σπληνίῳ ἰᾶται· σὺν λιβανωτῷ δὲ ἕλκη παλαιὰ καὶ κακοήθεις ἀποστάσεις μαλάσσει· καὶ σπλῆνας τήκει σὺν ἀσβέστῳ ἢ γαγάτῃ λίθῳ ἢ ἀσίῳ ἑψηθεὶς καὶ ἐπιτεθείς. ἕλκει δὲ καὶ ὄνυχας σὺν ἀρσενικῷ ἢ σανδαράχῃ ἐπιπλασθείς· μιγεὶς δὲ ἀσβέστῳ καὶ τρυγὶ, ἐπιτείνει τὴν δύναμιν αὐτοῦ.

V. συνάγεται
Marc. περὶ ...

V. μαλαχθεὶς

Matth. legit αὐτῶν

Περὶ Ἀπαρίνης. Κεφ. ρδ΄.

ΑΠΑΡΙΝΗ, οἱ δὲ, ἀμπελόκαρπον, οἱ δὲ, ὀμφαλόκαρπον, οἱ δὲ, φιλάνθρωπον καλοῦσιν, οἱ δὲ, ἰξόν· κλῶνες πολλοὶ, μικροὶ, τετράγωνοι, τραχεῖς· φύλλα δὲ ἐκ διαστήματος κυκλοτερῶς περικείμενα ὥσπερ τὰ τοῦ ἐρυθροδάνου· ἄνθη λευκά· σπέρμα σκληρὸν, λευκὸν, στρογγύλον, ὑπόκοιλον ἐκ μέσου ὡς ὀμφαλός· *προσέρχεται δὲ καὶ ἱματίοις ἡ πόα. χρῶνται δὲ αὐτῇ καὶ οἱ ποιμένες ἀντὶ ἠθμοῦ ἐπὶ τοῦ γάλακτος, πρὸς ἔκληψιν τῶν ἐν αὐτῷ τριχῶν. Ταύτης τὸ σπέρμα καὶ οἱ καυλοὶ καὶ τὰ φύλλα χυλισθέντα, φαλαγγιοδήκτοις καὶ ἐχιοδήκτοις βοηθεῖ, *πινόμενον μετὰ οἴνου· καὶ ὠταλγίας ἰᾶται ὁ χυλὸς ἐγχυματιζόμενος. ἡ δὲ πόα ἀναληφθεῖσα ὀξυγγίῳ λείῳ, διαφορεῖ χοιράδας.

Al. ὀμφακόκαρπον

μακροὶ mallet Samb.

V. ὑποποίκιλον

Al. προσέχεται

V. caret.

Περὶ Ἀλύσσου. Κεφ. ρε΄.

ΑΛΥΣΣΟΝ φρυγάνιόν ἐστιν, ὑπότραχυ, φύλλα ἔχον στρογγύλα· παρ' οἷς ὁ καρπὸς ὡς ἀσπιδίσκια διπλᾶ, ἐν οἷς τὸ σπέρμα ὑπόπλατυ. φύεται ἐν ὄρεσι καὶ τραχέσι τόποις. Ταύτης τὸ ἀφέψημα ποθὲν, λυγμοὺς τοὺς δίχα πυρετοῦ λύει· καὶ κρατηθὲν δὲ ἢ ὀσφρανθὲν, τὸ αὐτὸ δρᾷ·

Ald. in nothis addit, μονόκαυλον, quam vocem interpretatus est Ruellius.

Mar. τὸ σπέρμα ἀφεψηθὲν καὶ ποθὲν

A verò subflauo, quódque nil habet asperi aut furfuracei. Confit è fructu quodam rotundo, fruticis in robore nascentis, folijs buxo similibus. Contunditur fructus, deinde lauatur, tandémque in aqua decoquitur. Sunt qui acinos commanducantes ipsum conficiant. Gignitur quoque in malo, pyro & plerisque
B alijs arboribus: atque etiam apud fruticum quorundam radices inuenitur. Discutit, emollit, attrahit, tubercula, parotidas aliósque abscessus maturat, resinæ, paríque ceræ admixtum: epinyctidas quoque in splenio sanat. Vetera autem vlcera, malignósque abscessus cum thure mollit: lienémque absumit
C cum calce aut gagate Asióve lapide coctum & impositum. Vngues quoque extrahit cum arsenico aut sandaracha illitum. Cæterùm cum calce viníque fæce mistum suam vim intendit.

De Aparine. Cap. CIIII.

D APARINE, quam alij ampelocarpum, alij omphalocarpum, alij philanthropum, alij deniq; ixum quasi visum vocant, ramis multis fruticat, iísque paruis, quadrangulis, asperis: folia ceu & rubiæ ramulos in orbem cingunt per interualla. Flores sunt candidi, semen durum, album, rotundum, in medio
E quodammodo concauũ instar vmbilici: herba ipsa vestibus adhærescit. Ea verò pastores coli vice vtuntur ad eximendos è lacte pilos. Seminis caulium ac foliorũ expressus succus è vino potus, contra phalangiorum viperarúmque morsus præbet auxilium. Idem auribus infusus, earũ doloribus medetur. Cæ-
F terùm herba ipsa si axungia trita excipiatur, strumas discutit.

De Alysso. Cap. CV.

ALYSSON suffrutex est exiguus, subasper, folijs rotundis: iuxta quæ fructus est duplicium scutulorum effigie, in quo semen
G quadantenus latum. Nascitur in montibus asperísque locis. Huius decoctum potum soluit singultus qui sunt citra febrim. Idem præstat si teneatur vel olfiat:

At cum melle tritum, lentigines & maculas à solis ardore contractas emendat. Sed & existimatur canis rabidi morsui mederi, contusum in edulijs & exhibitum. Quin & in domo suspensum, salutare, ac tum hominibus tum alijs animalibus fascini amuletum esse fertur. Panno verò puniceo circumligatum, pecorum morbos abigit.

De Asclepiade. Cap. CVI.

ASCLEPIAS ramulos emittit longos, in quibus folia lõga, hederacea: radices numerosas, tenues, odoratas, florem graueolentem, semen ceu securidacæ. Nascitur in mõtibus. Radices in vino potę, torminibus, & contra venenatorum animalium morsus auxiliantur. Folia verò imposita, mammarũ ac vuluæ malignis vitijs conferunt.

De Atractylide. Cap. CVII.

ATRACTYLIS spina est cnico similis, sed quæ in summis virgultis folia multò longiora proferat: maior autem pars nuda est & aspera, qua etiam fœminæ pro colu vtuntur. Capitula etiam gerit in cacumine aculeata, florémque pallidum: radix tenuis est atque superuacua. Huius folia, coma & semen, trita potáque cum pipere ac vino, à scorpione percussis succurrũt. Tradunt & nõnulli, percussos, quandiu herbam eam tenuerint, cruciatum non sentire, sed illa deposita, statim dolere.

De Polycnemo. Cap. CVIII.

POLYCNEMON frutex est surculosus, folijs origani, caule geniculis multis intercepto, vti pulegij. Neque verò vmbellam habet, sed paruos in cacumine corymbos cum acri quadam odoris iucũditate. Seu recẽs, seu aridũ, ex aqua impositũ efficaciter vulnera glutinat: sed quinto die solui debet. Ad stranguriam itidem & rupta ex vino bibitur.

De Clinopodio. Cap. CIX.

CLINOPODIVM exiguus frutex est etiã surculosus, duûm dodrantum altitudinẽ, qui quidem in petrosis nascitur: folijs serpyllo similibus, & floribus (orbiculato suo ambitu) lecti pedum speciem præbentibus, ex interuallis marrubij modo dispositis.

A σὺν μέλιτι δὲ λεῖον, * φακοὺς καὶ ἐφήλιν ἀποκαθαίρει. δοκεῖ δὲ καὶ " * λύσσαν κυνὸς ἰᾶσθαι, συγκοπὲν ἐδέσματι καὶ δοθέν. καὶ κρεμάμενον δὲ ἐν οἰκίᾳ, "ὑγιεινὸν λέγεται εἶναι, καὶ ἀνθρώποις καὶ ζώοις ἀβάσκαντον. περιαφθὲν δὲ φοινικῷ ῥάκει, θρεμμάτων νόσους ἀπελαύνει.

Lacuna in vet. legit λυσσοδήκτους: eámque lectionem censet probabiliorẽ.

V. quidam non habet hanc vocem.

B Περὶ Ἀσκληπιάδος. Κεφ. ρϛ'.

ἈΣΚΛΗΠΙΑΣ κλωνία ἀνίησι μακρά. ἐφ' ὧν φύλλα "μακρὰ κισσῷ ὅμοια· ῥίζας πολλὰς καὶ λεπτάς, εὐώδεις· ἄνθος βαρύοσμον· σπέρμα δὲ ὡς πελεκίνου. φύεται ἐν ὄρεσι. βοηθοῦσι δὲ αἱ ῥίζαι ἐν οἴνῳ πινόμεναι, στροφουμένοις καὶ θηριοδήκτοις. καὶ C τὰ φύλλα καταπλαττόμενα, ἁρμόζει πρὸς τὰς ἐν μαστοῖς καὶ * μήτρας κακοηθείας.

Non legit Oribas. al. μικρὰ
In antiquissimo quodam codice non habetur.

Περὶ Ἀτρακτυλίδος. Κεφ. ρζ'.

ἈΤΡΑΚΤΥΛΙΣ "ἄκανθά ἐστιν ἐοικυῖα κνίκῳ, "μακρότερα δὲ πολλῷ φύλλα ἔχουσα ἐπ' ἄκρου τῶν ῥαβδίων. τὸ δὲ πλεῖον γυμνὸν τραχύ, ᾧ καὶ αἱ γυναῖκες χρῶνται ἀντὶ D ἀτράκτου. ἔχει δὲ καὶ "κεφάλια ἐπ' ἄκρου ἀκανθώδη· ἄνθος ὠχρόν"· ῥίζα δὲ λεπτή, ἄχρηστος. ταύτης τὰ φύλλα καὶ ἡ κόμη καὶ ὁ καρπὸς λεῖα ποθέντα σὺν πεπέρει καὶ οἴνῳ, σκορπιοπλήκτοις ὠφελεῖ. ἔνιοι δ' ἱστοροῦσι, τοὺς πληγέντας, ἄχριπερ ἂν κρατῶσι τὴν πόαν, ἀνωδύνους εἶναι· ἀποθεμένους δὲ, E ἀλγεῖν.

Addit Orib. ἢ κνίκον ἄγριον
Margo μικρότερα. Sic & Orib.

Goupylus in vtroque exempl. legit κόμην. Ald. in nothis, ἐν ἐνίοις δὲ τόποις πορφυροῦν: quæ verba Marcellus & Ruellius interpretantur, Quibusdã verò locis purpureũ.

Περὶ Πολυκνήμου. Κεφ. ρη'.

ΠΟΛΥΚΝΗΜΟΝ "θάμνος ἐστὶ φρυγανώδης, ἔχων φύλλα ὀριγάνῳ ἐμφερῆ· τὸν δὲ καυλὸν "πολυγόνατον ὥσπερ γλήχωνος. οὐκ ἔχει μέντοι τὸ σκιάδιον, μικρὰ δὲ ἐπ' ἄκρῳ κορύμβια "μετ' εὐωδίας τινὸς δριμείας. Ποιεῖ δὲ καταπλασσόμενον F χλωρὸν ἢ "ξηρὸν μετ' ὕδατος, πρὸς τραύματα, κολλῶσα· δεῖ δὲ πεμπταῖον λύειν. πίνεται καὶ πρὸς στραγγουρίαν καὶ ῥήγματα, σὺν οἴνῳ.

V. θαμνίον ἐστὶ φρυγανῶδες.

Suspicatur Cornarius legendũ ex Plinio τὸν δὲ καυλὸν πολυγόνατον, σπέρμα δὲ ὥσπερ γλήχωνος. Sic enim ille lib. 26. cap. 14. Polycmemon cunilæ bubulæ similis est, semine pulegii surculosa, multis geniculis corymbo odorato, acri & dulci odore, &c.

V. δριμύ τι μετ' εὐωδίας πνέοντα
V. ξανθὸν

Περὶ Κλινοποδίου. Κεφ. ρθ'.

ΚΛΙΝΟΠΟΔΙΟΝ θαμνίον ἐστὶ καὶ τοῦτο φρυγανῶδες διασπίθαμον, φυόμενον G ἐν πέτραις, ἔχον φύλλα ἑρπύλλῳ παραπλήσια. καὶ τὰ ἄνθη ὅμοια * ὡς κλίνης ποσὶν, ἐκ διαστημάτων ἐμφερῆ πρασίῳ.

Πίνεται δὲ ἡ πόα καὶ τὸ ἀφέψημα αὐτῆς, πρὸς θηρίων δήγματα, καὶ σπάσματα, καὶ ῥήγματα καὶ στραγγουρίαν. ἀλλὰ καὶ ἔμμηνα, καὶ ἔμβρυα, καὶ ἀκροχορδόνας ἀποβάλλει, ἐφ' ἱκανὰς ἡμέρας πινόμενον. κοιλίαν τε ἵστησιν ἐπὶ τρίτον ἑψόμενον καὶ πινόμενον ἀπυρέτοις ἐν οἴνῳ πυρέττουσι δὲ, δι' ὕδατος.

Ista suppositítia censet Marcellus.

A Bibitur herba ipsiúsque decoctum ad venenatorum animalium morsus, conuulsa, ruptáque & stranguriam. Pellit & menses atque partus. Verrucas pensiles, quas acrochordonas vocant, auellit aliquot diebus epotum. Aluum quoque sistit ad ter tias decoctum & potum, siquidem febris absit, in vino: sin minus, ex aqua. B

Περὶ Λεοντοπετάλου. Κεφ. ρί.

Λεοντοπέταλον καυλὸν ἀνίησι σπιθαμιαῖον· ἢ καὶ μείζονα, ἔχοντα μασχάλας πλείστας· ἐφ' ὧν ἄκρων λοβοὶ ὅμοιοι ἐρεβίνθοις, ἐν δὲ τούτοις δύο ἢ τρία σπερμάτια· ἄνθη φοινικᾶ, ἐοικότα ἀνεμώνῃ· φύλλα δὲ ὅμοια κράμβῃ, ἐντετμημένα ὡς τὰ τῆς μήκωνος· ῥίζα μέλαινα ὥσπερ γογγύλη, ἐξοχὰς ἔχουσα καθάπερ κονδύλους τινάς. φύεται δὲ ἐν ἀρούραις καὶ ἐν τῷ σίτῳ. ταύτης ἡ ῥίζα σὺν οἴνῳ πινομένη, βοηθεῖ ἑρπετοδήκτοις, ταχέως ἀπόνους ποιοῦσα. μίσγεται δὲ καὶ εἰς τοὺς ἰσχιαδικοὺς κλυσμούς.

V. σπιθαμιαῖον

Quidam carent his vocibus ὅμ. ἐρεβ.

V. parenthesi includit ῥίζα μελ. ὥσπερ γογγύλη.

De Leontopetalo. Cap. CX.

Leontopetalum caulem profert dodrátalé, aut etiá altioré, plurimis alis concauũ, in quarũ cacuminibus siliquæ sunt cicerum modo, ac in his duo triáve minuta semina, flores punicei, anemonæ similes, folia brassicæ, papaueris, foliorum diuisura: radix nigra, rapo similis, quæ eminentias ceu nodos quosdam habet. Nascitur in aruis, ac inter segetes. Radix ex vino pota commorsis à serpente auxiliatur, dolorem omnem celeriter eximés. Miscetur & ischiadicorum clysteribus. C D

Περὶ Τευκρίου. Κεφ. ρια.

Τεύκριον, οἱ δὲ καὶ τοῦτο χαμαίδρυν καλοῦσι, πόα ῥαβδοειδὴς, ἐοικυῖα χαμαίδρυϊ, λεπτόφυλλος, ἔχουσα ἐρεβίνθῳ πέταλον ὅμοιον. φύεται δὲ πλεῖστον ἐν Κιλικίᾳ τῇ κατὰ Γεντιάδα καὶ Κισσάδα καλουμένη. Δύναμιν δὲ ἔχει χλωρὰ μετ' ὀξυκράτου ποθεῖσα ἢ ξηρὰ ἀποζεσθεῖσα καὶ πινομένη, σπλῆνα τήκειν ἰσχυρῶς. καταπλάσσεται δὲ μετὰ σύκων καὶ ὄξους ἐπὶ σπληνικῶν· ἐπὶ θηριοδήκτων δὲ, μετ' ὄξους μόνου χωρὶς σύκων.

V. hanc alteram appellationem non habet.

Ald. κισσίδα

De Teucrio. Cap. CXI.

Teucrium sunt qui etiá chamædryn appellant. Herba est virgæ speciem præ se ferens, trissagini similis, tenui folio ac ciceris figura. In Cilicia iuxta Gentiadem & Cissadem appellatam vbertim prouenit. Recens cum posca, vel etiam aridæ feruefactæ ius, potu potenter lienem consumendi vim habet. Sed & lienosis imponitur cum ficis & aceto: venenatorum autem animalium morsibus, ex aceto solo sine ficis. E

Περὶ Χαμαίδρυος. Κεφ. ριβ.

Χαμαίδρυς, οἱ δὲ χαμαίδρωψ, ἢ λινόδρυς. διὰ δὲ τὸ σώζειν τινὰ ἐμφέρειαν τῷ τευκρίῳ, καὶ ταύτην τινὲς τεύκριον ἐκάλεσαν. φύεται ἐν τραχέσι καὶ πετρώδεσι τόποις· ἔστι δὲ θαμνίσκος σπιθαμιαῖος, φύλλα ἔχων μικρὰ, τῷ σχήματι καὶ τῇ σχισμῇ δρυΐ ὅμοια, πικρά· ἄνθος ὑποπόρφυρον, μικρόν. συλλέγειν δὲ αὐτὴν δεῖ ἐγκύμονα τοῦ καρποῦ. Δύναμιν δὲ ἔχει χλωρὰ ἀφεψηθεῖσα σὺν ὕδατι καὶ ποτιζομένη, βοηθεῖν σπάσμασι, βηχὶ,

Orib. ὑπόπυρρον

Lacuna legit præterea in vet. cod. καὶ πικρόν.

De Trissagine. Cap. CXII.

F Trissago Grecis chamędrys, quibusdam chamædrops, aliis linodrys dicitur. Sunt & qui eam ipsam Teucrium appellauerint, propterea quod cum teucrio quandam seruet similitudinem. Nascitur in asperis ac petrosis locis. Est verò frutex exiguus, dodrantalis, folia habés exigua, effigie & diuisura quercus, amara: florem pene purpureum ac pusillũ. Carpi ipsam semine prægnantem oportet. Recens in aqua decocta, potu, conuulsis, tussi G

Mar. Chamæpeps

lieni indurato; vrinæ difficultate laborantibus ac incipientibus hydropicis auxiliatur. Ciet etiã menses, atque partus extrahit, lienémque ex aceto pota consumit. Est & aduersus venenata animantia, potu ex vino, illitúque efficax. Sed & trita in catapotia redigi potest ad supradicta. Efficax quoque est ad repurgãda vetera vlcera cum melle. Trita verò cum oleo & illita, caligines oculorum discutit. Denique excalfacit perunctione.

De Leucade. Cap. CXIII.

Leucas montana latioribus folijs est quàm satiua, semine verò acriore, amariore atque etiam ori magis ingrato: attamen quàm satiua efficacior habetur. Vtraque cum vino & illitu & potu contra virulentorum animalium, maximéque marinorum, venena efficax.

De Lychnide coronaria. Cap. CXIIII.

Lychnis coronaria flore est albę violę, sed purpureo: qui quidẽ in corollas nectitur. Semẽ in vino potũ à scorpione ictis auxiliatur.

De Lychnide syluestri. Cap. CXV.

Lychnis syluestris omni ex parte satiuæ similis. Semẽ duabus drachmis potum biliosa per aluum detrahit, & ictis à scorpione subuenit. Sed & aiunt scorpiones hac herba admota torpescere, prorsúsque inertes & ad lædendum inefficaces reddi.

De Lilio. Cap. CXVI.

Lilii regij flos coronarius est: lirium nonnulli vocant: ex eóque paratur vnguentum, quod aliqui lirinum, alij susinum appellant, neruos, priuatímq; vuluæ duritias, emolliens. Herbæ folia imposita, serpentium morsibus opitulantur: feruefacta quoque, adustis proficiunt: aceto verò condita, vulneribus prosunt. Ex eorundem succo in æneo vase decocto, adiectis aceto & melle, liquidum fit medicamentum, veteribus vlceribus recentibúsque vulneribus vtile. Inassata radix & ex ro-

A σπληνὶ ἐσκιρρωμένῳ, δυσουροῦσιν, ὑδρωπικοῖς ἐν ἀρχαῖς· ἄγει καὶ ἔμμηνα καὶ ἔμβρυα, σπλῆνα τήκει, σὺν ὄξει ποθεῖσα· πρὸς δὲ τὰ θηρία, σὺν οἴνῳ πινομένη, καὶ καταπλασσομένη ποιεῖ. λεία δὲ δύναται καὶ εἰς καταπότια ἀναπλάσσεσθαι πρὸς τὰ εἰρημένα, καὶ ἀνακαθαίρειν ἕλκη παλαιὰ
B σὺν μέλιτι· αἴρει δὲ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς σὺν ἐλαίῳ λεία ἐγχριομένη καὶ * ἀλειφομένη. ἔστι δὲ θερμαντική.

Περὶ Λευκάδος. Κεφ. ριγ΄.

"Λευκὰς ὀρεινὴ, πλατυφυλλοτέρα τῆς ἡμέρου ἐστὶ, δριμύτερόν τε καὶ "πικρότερον ἔχουσα τὸν καρπὸν καὶ ἀστομώ-
C τερον· δραστικωτέρα μέντοι τυγχάνει τῆς ἡμέρου. ἐπιπλασσόμεναι δὲ ἀμφότεραι καὶ πινόμεναι, ἁρμόζουσι μετ' οἴνου ἐπὶ τῶν ἰοβόλων, καὶ μάλιστα τῶν θαλασσίων.

Huic capiti principium decurtatum esse suspicatur Marcellus.

In vet. legit Lacuna μικρότερον.

Περὶ Λυχνίδος στεφανωματικῆς. Κεφ. ριδ΄.

Λυχνὶς στεφανωματικὴ, ἄνθος ἐστὶν
D ὅμοιον λευκοΐῳ, ἐμπόρφυρον δὲ πλεκόμενον εἰς τὰ στεφάνια. ἧς τὸ σπέρμα βοηθεῖ σὺν οἴνῳ ποθὲν σκορπιοπλήκτοις.

Περὶ Λυχνίδος ἀγρίας. Κεφ. ριε΄.

Λυχνὶς ἀγρία ὁμοία τῇ ἡμέρῳ κατὰ πάντα. τὸ δὲ σπέρμα αὐτῆς < β΄. πλῆθος ποθὲν, ἄγει κατὰ κοιλίαν χολώδη, καὶ
E σκορπιοπλήκτοις ἁρμόζει. φασὶ δὲ καὶ τοὺς σκορπίους ναρκώδεις καὶ ἀπράκτους γίνεσθαι, παρατεθείσης αὐτοῖς τῆς πόας.

Περὶ Κρίνου. Κεφ. ρις΄.

Κρίνον βασιλικὸν, τούτου δὲ ἄνθος στεφανωματικόν ἐστι, καλούμενον ὑπ' ἐνίων λείριον. ἀφ' οὗ καὶ τὸ χρῖσμα κα-
F τασκευάζεται, ὅ τινες λείρινον, οἱ δὲ σούσινον καλοῦσι, μαλακτικὸν ὂν τῶν νεύρων, καὶ ἰδίως τῶν περὶ μήτραν σκληριῶν. τῆς δὲ πόας τὰ φύλλα καταπλασσόμενα, ἑρπετοδήκτοις βοηθεῖ· ποιεῖ δὲ καὶ πρὸς τὰ καύματα, ζεσθέντα· ταριχευθέντα δὲ ἐν ὄξει, τραυματικὰ γίνεται. ὁ δὲ χυλὸς
G αὐτῶν μιγεὶς ὄξει * ἢ μέλιτι, ἑψηθείς τε ἐν χαλκώματι * ὑγρὸν γίνεται φάρμακον πρὸς τὰ παλαιὰ ἕλκη, καὶ πρόσφατα τραύματα. ἡ δὲ ῥίζα ὀπτὴ λεία συνθρο-

A οἴνῳ, πυρίκαυστα ἰᾶται, καὶ ὑστέρας μαλάσσει, καὶ ἔμμηνα ἄγει, καὶ ἕλκη ἐπουλοῖ· σὺν μέλιτι δὲ λεανθεῖσα, νεύρων διακοπὰς καὶ στρέμματα ἰᾶται· ἀλφούς τε ἀποκαθαίρει καὶ λέπρας, καὶ πίτυρα· καὶ ἀχῶρας σμήχει, τά τε πρόσωπα καθαίρει καὶ ἀρρυτίδωτα ποιεῖ. Σὺν ὄξει δὲ λεία

B ἢ σὺν ὑοσκυάμου φύλλοις καὶ ἀλεύρῳ πυρίνῳ, ὄρχεων φλεγμονὰς παραιτεῖται. Τὸ δὲ σπέρμα ἑρπετῶν δήγμασιν ἀντιφάρμακον, ποθέν· ἐρυσιπελάτων δὲ κατάπλασμα, σὺν οἴνῳ λεανθέντα τό, τε σπέρμα καὶ τὰ φύλλα. Φασὶ δέ τινες καὶ πορφυρᾶ ἄνθη κρίνου γίνεσθαι.* ἐναργέστατα δὲ γίνονται ἐν τῇ Συρίᾳ καὶ Πισι-

C δίᾳ τῆς Παμφυλίας πρὸς τὴν τοῦ χρίσματος κατασκευήν.

Quidam ὀξυκυάμου

Περὶ Βαλλωτῆς. Κεφ. ριζ'.

Ald. τὸ μέγα πράσιον καλοῦσιν.

ΒΑΛΛΩΤΗ ἢ μέλαν πράσιον, καυλοὺς ἀνίησι τετραγώνους, μέλανας, ὑποδασέας, ἐκ μιᾶς ῥίζης πλείονας· φύλλα δὲ πρασίῳ ὅμοια, μείζονα δὲ καὶ στρογγυλότε-

D ρα καὶ μέλανα καὶ δασέα, ἐκ διαστημάτων τοῦ καυλοῦ παραπλήσια μελισσοφύλλου, δυσώδη· ὅθεν καὶ τοῦτο μελισσόφυλλον ἐκάλεσαν· καὶ τὰ ἄνθη δὲ ἅμα περιέχει *λευκοῖς τοῖς καυλοῖς σπονδυλωδῶς. Ταύτης τὰ φύλλα καταπλασσόμενα μετὰ ἁλῶν, ποιεῖ πρὸς τὰ κυνόδηκτα· μαρανθέντα δὲ ἐν θερ-

E μοσποδιᾷ, κονδυλώματα στέλλει, ῥυπαρά τε ἕλκη σὺν μέλιτι ἀποκαθαίρει.

Περὶ Μελισσοφύλλου. Κεφ. ριη'.

Ald. in noth. ὀνομάζεται δὲ ἀπὸ διὰ &c.

ΜΕΛΙΣΣΟΦΥΛΛΟΝ, ὃ ἔνιοι μελίτταιναν καλοῦσι, διὰ τὸ ἥδεσθαι τῇ πόᾳ τὰς μελίττας. ἔοικε δὲ αὐτῆς τὰ φύλ-

F λα καὶ τὰ καυλία τῇ προειρημένῃ βαλλωτῇ· μείζονα δὲ ταῦτα καὶ λεπτότερα, οὐχ οὕτω δασέα, ὄζοντα δὲ κιτρομήλου. Ἁρμόζει δὲ τὰ φύλλα ποτιζόμενα σὺν οἴνῳ καὶ καταπλασσόμενα, πρὸς σκορπιοπλήκτους, καὶ φαλαγγιοδήκτοις, καὶ κυνοδήκτοις. καὶ τὸ ἀφέ-

G ψημα δὲ αὐτῶν καταιονούμενον, πρὸς τὰ αὐτὰ ποιεῖ· εἴς τε ἐγκαθίσματα, πρὸς ἐμμηνίων ἀγωγὴν εὔθετεῖ· ὀδονταλγίαις τε διάκλυσμα, ἔγκλυσμά τε δυσεντερικοῖς.

A facco trita, igni ambusta sanat, vuluam emollit, menstrua ciet, vlceráque cicatrice obducit. Cum melle autem detrita, præcisis neruis luxatísque medetur: alphósque, lepras & furfures emendat. Quin & vlcera in capite manantia exterget, faciémque purgat simul & erugat. Eadem trita cum aceto aut

B hyoscyami folijs & farina tritici, testium inflammationes demulcet. Semen verò potum, serpentiũ morsibus aduersatur: erysipelatis autem, semen & folia trita ex vino imponuntur. Tradunt porrò nonnulli, etiam purpureos nasci liliorum flores. Cæterùm in Syria & Pisidia Pamphyliæ lilia vnguẽto con-

C ficiendo efficacissima nascuntur.

De Ballote. Cap. CXVII.

BALLOTE seu marrubium nigrum caules edit quadrangulos, nigricantes, subhirsutos, ab vna radice numerosos, folijs marrubij: at maioribus, rotundioribus, nigris &

D hirsutis, caulem per interualla cingentibus apiastri similitudine, atque etiam graueolentibus. Vnde & hanc aliqui apiastrum vocauere. Sed & flores candidi vnà cum folijs orbiculatim caules ipsos ambiunt. Huius folia ex sale imposita, aduersus canis morsus efficacia sunt. Feruenti verò cinere cocta dũ

E flaccescant, condylomata reprimũt, sordidáque vlcera cum melle purgant.

De Apiastro. Cap. CXVIII.

APIASTRUM, quod Græci melissophyllõ & alio nomine melittænam, vocant, quoniam apes ea

F herba delectantur, foliis & cauliculis antè memoratæ ballotæ similis est: attamen maioribus & tenuioribus, neque ita hirsutis, citreum verò malum redolentibus. Folia cum vino pota atque etiam imposita, prosunt contra scorpionum ictus, necnon & phalangiorum canísque rabidi morsus. Eorundem

G decoctũ fotu ad eadem valet. Conuenit etiamnum fœminarum dessessionibus ad ciendos menses. Colluitur & in dentium doloribus, atque etiam dysentericis infunditur.

Folia quoque addito nitro bibita, ijs auxiliantur qui à fungis strangulantur, necnon torminosis: orthopnoïcis verò, in ecligmate sumpta. Cæterùm imposita cum sale, strumas discutiũt, itémque vlcera purgant: sed & articularios dolores illita sedant.

De Marrubio. Cap. CXIX.

MARRVBIVM frutex est ab vna radice ramosus, subhirsutus, candicás, virgis quadrangularibus: folium pollicem æquat, subrotundum, villosum, rugosum, gustu amaro. Semen est in caulibus ex interuallis: flores verticillato ambitu asperi. Nascitur circa domorum areas & rudecta. Huius foliorũ siccorum simul & seminis decoctum ex aqua, aut etiam recentium foliorum succus vna cum melle, tabidis, suspiriosis ac tussiẽtibus exhibetur. Crassam quoque pituitam pectore contentã, ammixta iride sicca, excreatione purgat. Datur & mulieribus quæ non purgãtur, ad euocanda menstrua, secundásque pellendas: itémque difficilè parientibus, atque etiam his qui à venenatis bestijs commorsi sunt, necnon & ijs qui venena hauserunt: attamen vesicam ac renes offendit. Folia cum melle illita, sordida purgant vlcera: pterygia nomásque sistunt, & laterum dolores mitigant. Sed & succus folijs contusis expressus, & in sole spissatus coactúsve, ad eadem pollet. Cum vino quoque ac melle inunctus, oculorum claritatẽ adiuuat: per nares itidẽ regium morbum expurgat. Deniq; aurium doloribus per se & cum rosaceo conuenienter instillatur.

De Stachy. Cap. CXX.

STACHYS frutex est marrubio similis, sed aliquantò longior, & folia proferens numerosa, rara, subhirsuta, dura, odoris iucundi, candida: & complures virgulas ab eadem radice exeuntes, quàm marrubij candidiores. Nascitur in montosis & asperis locis. Vim habet excalfactoriam & acrem: ideóque foliorum decoctum menstrua secundásque potu pellit.

A βοηθεῖ καὶ τοῖς ὑπὸ μυκήτων πνιγομένοις σὺν νίτρῳ τὰ φύλλα πινόμενα, καὶ στροφουμένοις. καὶ ἐκλεικτὸν ὀρθοπνοϊκοῖς. καταπλασσόμενα δὲ σὺν ἁλσί, διαφορεῖ χοιράδας, καὶ ἕλκη ἀνακαθαίρει. τά τε ἐπὶ τῶν ἀρθριτικῶν ἀλγήματα παραιτεῖται, καταπλασθέντα.

Legit Laeuna in vet. cod. ἀλφίτῳ

B Περὶ Πρασίου. Κεφ. ριθ΄.

ΠΡΑΣΙΟΝ θάμνος ἐστὶν ἀπὸ μιᾶς ῥίζης πολύκλαδος, ὑπόδασυς, λευκός, τετράγωνος τοῖς ῥάβδοις· φύλλον δὲ τῷ μεγάλῳ δακτύλῳ ἴσον, ὑποστρόγγυλον, δασύ, * ἐρισσόν, πικρὸν τῇ γεύσει· ἐκ διαστημάτων δὲ ἐπὶ τῶν καυλῶν τὸ σπέρ-
C μα, καὶ ἄνθη οἱονεὶ σπόνδυλοι τραχέα. φύεται περὶ τὰ οἰκόπεδα, καὶ " ἐρείπια. Τούτου τὰ φύλλα ξηρὰ σὺν τῷ σπέρματι ἑψόμενα σὺν ὕδατι, ἢ χυλιζόμενα χλωρά, δίδοται μετὰ μέλιτος φθισικοῖς, ἀσθματικοῖς, βήσσουσιν. ἀνάγει καὶ πάχος ἐκ θώρακος, ἴριδος ξηρᾶς μιγείσης.
D δίδοται καὶ ταῖς μὴ καθαιρομέναις γυναιξὶ πρὸς ἀγωγὴν ἐμμήνων καὶ δευτέρων, καὶ δυστοκούσαις, καὶ θηριοδήκτοις, καὶ τοῖς θανάσιμον πεπωκόσι· κύστει μέν τοι καὶ νεφροῖς * ἄθετοι. τὰ δὲ φύλλα καταπλασσόμενα σὺν μέλιτι, ῥυπαρὰ ἕλκη ἀνακαθαίρει, πτερύγιά τε καὶ νομὰς ἀφίστησι, καὶ
E ὀδύνας πλευρῶν παραιτεῖται. καὶ τὸ ἐξ αὐτῶν δὲ σκευαζόμενον χύλισμα ἐκθλιβομένων τῶν φύλλων, καὶ συστρεφόμενον ἐν ἡλίῳ πρὸς τὰ αὐτὰ ποιεῖ. ἔστι δὲ καὶ ὀξυδερκές, σὺν οἴνῳ καὶ μέλιτι ἐγχριόμενον· ἀποκαθαίρει δὲ καὶ ἴκτερον διὰ τῶν ῥινῶν· ὠταλγίαις τε ἁρμόζει, ἐγχυματιζόμενον
F καθ᾽ ἑαυτὸ καὶ μετὰ ῥοδίνου.

Alter, ἐρείπη, sed perperam.

Περὶ Στάχυος. Κεφ. ρκ΄.

ΣΤΑΧΥΣ θάμνος ἐμφερὴς πρασίῳ, ὑπομηκέστερος δὲ καὶ πλεῖστα " φύλλα ἀραιὰ ἔχων ὑποδασέα, σκληρά, εὐώδη, λευκά· ῥαβδία δὲ πλείονα ἀπὸ τῆς αὐτῆς ῥίζης, " λευκότερα τῶν τοῦ πρασίου.
G φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι χωρίοις. Δύναμιν δὲ ἔχει θερμαντικήν, δριμεῖαν· ὅθεν τὸ ἀπόζεμα τῶν φύλλων ἔμμηνα καὶ δεύτερα ἄγει πινόμενον.

V. φυλλάρια ἐκ διαστημάτων ὑποστρόγγυλα. Sed suspecta est ea lectio.
V. ὑπόλευκα, λεπτὰ πρὸς τὰ τοῦ πρασίου αὐτῆς ὑποπόρφυρα.

Περὶ Φυλλίτιδος. Κεφ. ρκα΄.

ΦΥΛΛΙΤΙΣ φύλλα ἀνίησιν ὅμοια λαπάθῳ, ἐπιμηκέστερα δὲ καὶ εὐθαλέστερα, ϛ΄. ἢ ζ΄. ὀρθὰ, λεῖα ἐκ τῶν ἔμπροσθεν· ἐκ τῶν ὄπισθεν δὲ, καθάπερ σκώληκας ἔχοντα ἀπηρτημένους, λεπτούς· φύεται ἐν κατασκίοις καὶ παραδείσοις, γεύσασθαι στρυφνή. οὔτε δὲ καυλὸν, οὔτε καρπὸν, οὔτε ἄνθος φέρει. Ταύτης τὰ φύλλα μετ' οἴνου πινόμενα, πρὸς ἑρπετοδήκτους ποιεῖ· ἐπὶ τετραπόδων τε διὰ στόματος *ἐγχυματισθεῖσα βοηθεῖ· πίνεται καὶ πρὸς δυσεντερίαν καὶ διάρροιαν.

Quidam ἀθαλῆ, στερεά. V. delet. Orib. ἄπισ. Ald. παλισκίοις

Περὶ Φαλαγγίου. Κεφ. ρκβ΄.

ΦΑΛΑΓΓΙΟΝ, οἱ δὲ φαλαγγίτιν, οἱ δὲ καὶ τοῦτο λευκάκανθαν καλοῦσι· κλῶνές εἰσι δύο ἢ τρεῖς ἢ πλείονες, διεστῶτες ἀπ' ἀλλήλων· ἄνθη λευκὰ, παραπλήσια κρίνῳ, ἐντομὰς πολλὰς ἔχοντα· σπέρμα δὲ *παχὺ, μέλαν, ὥσπερ φακοῦ ἥμισυ, ἰσχνότερον μέντοι πολλῷ· ῥίζιον μικρὸν, λεπτὸν, χλωρὸν ἅμα τῷ ἐλκυσθῆναι ἐκ τῆς γῆς. ὕστερον γὰρ συνέλκεται· φύεται δὲ ἐν γεωλόφοις. Ταύτης τὰ φύλλα καὶ τὸ σπέρμα, καὶ τὸ ἄνθος πινόμενον μετ' οἴνου, σκορπιοπλήκτοις βοηθεῖ, καὶ φαλαγγιοδήκτοις· λύει δὲ καὶ στρόφους.

V. διέχοντες. Lacuna legit in nonnullis codicibus, ἢ μεῖζον. ita & Marcellus. His quidam carent ῥιζ. μικρὸν. V. συνέρχονται

Περὶ Τριφύλλου. Κεφ. ρκγ΄.

ΤΡΙΦΥΛΛΟΝ, οἱ δὲ *ὀξύφυλλον, οἱ δὲ μηνυανθὲς, οἱ δὲ ἀσφάλτιον, οἱ δὲ κνίκιον καλοῦσι, θάμνος ἐστὶ πήχεως μείζων, ῥάβδους ἔχων λεπτὰς, μελαίνας, *σχινώδεις, παραφυάδας ἐχούσας, ἐφ' ὧν φύλλα ὅμοια λωτῷ τῷ δένδρῳ, τρία καθ' ἑκάστην βλάστησιν· ὀσμὴ δὲ αὐτῶν ἄρτι μὲν φυομένων, πηγάνου· αὐξηθέντων δὲ, ἀσφάλτου· ἄνθος δὲ ἀνίησι πορφυροῦν· σπέρμα δὲ ὑπόπλατυ καὶ ὑπόδασυ, ἐκ τοῦ ἑτέρου πέρατος ὥσπερ κεραίαν ἔχον· ῥίζα δὲ λεπτὴ, μακρὰ, ἰσχυρά. Βοηθεῖ δὲ τὸ σπέρμα καὶ τὰ φύλλα, πινόμενα ἐν ὕδατι, πλευριτικοῖς, δυσουροῦσιν, ἐπιληπτικοῖς, ἀρχομένοις ὑδρωπιᾶν, ὑστερικαῖς

Vetus inserit ἢ ζ. Sic & Orib. V. addit μίσχους. Sic Lac. V. στερεά. Sic Lac.

A

De Phyllitide. Cap. CXXI.

PHYLLITIS folia promit rumici similia, sed oblongiora & magis virentia, sena septenáve, recta: quæque parte anteriore læuia cernuntur, posteriore verò tenues quasi vermiculos annexos ostendunt. Nascitur in vmbrosis locis ac viridarijs, gustu acerbo. B Neque verò caulem, neque semen, neque florem profert. Folia in vino pota serpentiū morsibus aduersantur. Quadrupedibus itidem per os infusa auxilio sunt. Bibuntur & ad dysenteriam & diarrhœam.

De Phalangio. Cap. CXXII.

C PHALANGIVM aliqui phalangiten, alij etiam leucacantham appellant. Ramuli ei sunt duo aut tres pluresve, "inter se distantes, flores candidi, liliaceis similes, incisuras multas habentes. Semen verò latum, nigrum, ad dimidiatæ lentis figuram, sed multò "gracilius. Radicula parua, tenuis, D & dum è terra eruitur, coloris herbacei: posteà verò contrahit sese. Nascitur in collibus. Folia, semen & flos, siquidem ex vino bibantur, contra scorpionum ictus phalangiorúmq; morsus, auxiliantur: tormina quoque discutiunt.

Pl. in diuersa tendentes. Pl. tenuius.

De Trifolio. Cap. CXXIII.

E TRIFOLIVM Græci triphyllon, alij oxytriphyllon, alij menyanthes, alij asphaltium, alij denique cnicium vocāt. Frutex est supra cubiti altitudinem assurgens, ac virgas habens tenues, nigras, iunceas, non sine ramulorum appendiculis, in quibus folia exeunt loti arboris foliorum similitudine, eáque terna F in singulis germinibus. Odor illorum vbi recēs nata sunt, rutæ: posteaquam verò adoleuerunt, bitumini proximus. Florem verò edit purpureum, ac semen quadantenus latum & subhirsutum, ab altera extremitate veluti corniculum gerēs. Radix autem tenuis, lōga, ac firma validáq; est. G Semen & folia in aqua pota, pleuriticis, vrinę difficultate laborātibus, comitialibus, hydropicis incipiētibus, ac fœminis vuluæ strangulationi opportunis auxiliantur.

menses quoque ciunt. Sed è semine, ternæ drachmæ: è folijs verò, quaternæ exhiberi debent. Succurrunt & venenatorum morsibus folia trita ex aceto mulso pota. Tradunt verò nonnulli, totius fruticis, radicis inquam & foliorum decoctum fotu dolores eorum mitigare quos serpentes momorderint. Verùm si qua sanatus quispiam fuerit aqua, alius aliquis foueatur qui vlcus habuerit, perinde affici vt qui demorsi fuêre. Quidam terna folia aut totidem semina in tertianis cũ vino potui dedere, & in quartanis quaterna, ceu quæ febrium circuitus finiant atque discutiant. Cæterùm radix antidotis inseritur.

De Polio. Cap. CXXIIII.

POLIVM quoddam mõtanum, cui etiam teuthris nomen est, & cuius est vsus. Exiguus frutex est, tenuis, candidus, dodrantalis, & semine refertus: capitulo in cacumine quandam corymbi speciem præ se ferente, paruo, cæsariei canæ simili, & graueolente cum aliquantula odoris iucunditate. Alterum fruticosius est, non vsqueadeò valens odore, ac viribus inefficacius. Decoctum ipsorum epotum, succurrit venenatorum morsibus, hydropicis & arquatis: spleneticis autem ex aceto propinatur. Sed capitis dolorem ciet, stomachúmque malè habet. Ducit verò etiã aluum ac menses. Cæterùm substratum suffitúmve polium venenatas bestias abigit: impositum verò vulnera conglutinat.

De Scordio. Cap. CXXV.

SCORDIVM in montanis & palustribus locis nascitur. Folia habet trissaginis similitudine, at maiora, neque ita per ambitum incisuris diuisa, aliquantum verò allium redolentia, astringentia & gustu amara: cauliculos autem quadrangulos, è quibus flos subruber emicat.

Vim habet herba excalfactoriã, vrinámque cit. Recens trita, itémque arida, decocta in vino, aduersus serpẽtium morsus, venenáque propinatur: ad stomachi verò rosiones, dysenteriam, & vrinæ difficultatẽ, binis drachmis, ex hydromelite.

A ἄγει δὲ καὶ καταμήνια· δεῖ δὲ διδόναι τοῦ μὲν σπέρματος < γ. τῶν δὲ φύλλων < δ'. V. ñ.
Ἀρήγει δὲ καὶ θηριοδήκτοις τὰ φύλλα λεῖα σὺν ὀξυμέλιτι πινόμενα· ἱστοροῦσι δὲ ἔνιοι ὅτι τὸ ἀφέψημα* ὅλου τοῦ θάμνου καὶ τῆς ῥίζης καὶ τῶν φύλλων καταντλούμενον ἐπὶ τῶν ἑρπετοδήκτων παραιτεῖται
B τοὺς πόνους. ᾧ δ᾽ ἂν θεραπευθῇ τις ὕδατι, ἂν ἕτερος ἕλκος ἔχων καταντληθῇ, τὰ αὐτὰ πάσχει τοῖς δηχθεῖσι. ποτίζουσι δέ τινες ἐπὶ μὲν τριταίων τρία φύλλα ἢ τρία σπέρματα σὺν οἴνῳ· ἐπὶ δὲ τεταρταίων δ''. ὡς Vetus addit φυόμενα
λύοντα τὰς περιόδους. μίγνυται δὲ* αὐτῆς ἡ ῥίζα καὶ ἀντιδότοις.

C Περὶ Πολίου". Κεφ. ρκδ'. Vulg. exempl. addunt ὀρεινοῦ.

ΠΟΛΙΟΝ τὸ μὲν, ἐστὶν ὀρεινόν, ὃ καὶ τεύθριον καλεῖται, οὗ καὶ ἡ χρῆσις· θαμνίον δέ ἐστι" λεπτὸν, λευκὸν, σπιθαμιαῖον, Orib. λεπτόφυλλον
καρποῦ πλῆρες, ἔχον κεφάλιον ἐπ᾽ ἄκρου κορυμβοειδὲς μικρὸν ὡς πολιαὶ τρίχα, βαρύοσμον μετὰ ποσῆς εὐωδίας. Τὸ δὲ ἕτε-
D ρον, θαμνωδέστερον, οὐχ οὕτως εὔτονον τῇ ὀσμῇ, καὶ ἀδρανέστερον κατὰ τὴν δύναμιν". V. margo, φύλλα ὑσσώπῳ ἐμφερῆ.
Δύναται δὲ αὐτῶν τὸ ἀπόζεμα πινόμενον, θηριοδήκτοις ἀρήγειν, ὑδρωπικοῖς, ἰκτεριώδεσι· σπληνικοῖς δὲ σὺν ὄξει· ἔστι δὲ καὶ κεφαλαλγὲς καὶ κακοστόμαχον· ἄγει δὲ καὶ κοιλίαν καὶ ἔμμηνα.
E ὑποστρωννύμενον δὲ καὶ θυμιώμενον, θηρία διώκει· καταπλασσόμενον δὲ τραύματα κολλᾷ.

Περὶ Σκορδίου. Κεφ. ρκέ.

ΣΚΟΡΔΙΟΝ φύεται" ἐν ὀρεινοῖς τόποις καὶ ἑλώδεσι, φύλλα ἔχον ἐοικότα V. tantùm ἐν ἑλώδεσι
F χαμαίδρυϊ, "μείζονα δὲ καὶ οὐχ οὕτως ἐντετμημένα τὴν περιφέρειαν, ποσῶς δὲ τῇ ὀσμῇ σκορδίζοντα, στυπτικὰ δὲ καὶ ἔμπικρα κατὰ τὴν γεῦσιν· καυλία δὲ Al. τὸ μεγέθει μέντοι, καὶ ὑποστρογγύλας γωνίας ἔχοντα καὶ ἐχ &c.
"τετράγωνα· ἀφ᾽ ὧν ἄνθος ὑπέρυθρον. V. σπιθαμιαῖα ἢ μείζονα
Δύναμιν δὲ ἔχει ἡ πόα θερμαντικήν, διουρητικήν, ποτιζομένη χλωρὰ, λεία,
G καὶ ξηρὰ ἀφεψομένη σὺν οἴνῳ πρὸς ἑρπετῶν δήγματα καὶ "θανάσιμα" πρός τε δηγμὸν στομάχου καὶ δυσεντερίαν, καὶ δυσουρίαν < β'. σὺν ὑδρομέλιτι. V. omittit. Legit Lacuna in vet. cod. πρός τε δηγμοὺς καὶ λυγμοὺς στομάχου

καθαίρει καὶ πάχες πυώδες ἐκ θώρακος. ποιεῖ καὶ πρὸς παλαιὰν βῆχα καὶ ῥήγματα, καὶ σπάσματα, σὺν καρδάμῳ καὶ μέλιτι καὶ ῥητίνῃ μιγεῖσα ξηρὰ ἐν ἐκλεικτῷ· καὶ ὑποχόνδριον χρονίως φλεγμαῖνον, ἀναληφθεῖσα κηρωτῇ παρηγορεῖ· ποιεῖ δὲ καὶ πρὸς ποδάγραν μετ᾽ ὄξους δριμέος περιχριομένη, ἢ μεθ᾽ ὕδατος καταπλασσομένη. προστεθεῖσα δὲ ἔμμηνα κινεῖ· καὶ τραύματα κολλᾷ· ἕλκη παλαιὰ ἀνακαθαίρει, καὶ ἀπουλοῖ σὺν μέλιτι· ξηρὰ δὲ ὑπερσαρκώματα στέλλει. πίνεται δὲ καὶ τὸ ἐξ αὐτῆς χύλισμα πρὸς τὰ εἰρημένα πάθη. *ἐναργέστατον δέ ἐστι τὸ Ποντικὸν καὶ τὸ Κρητικόν.

V. χύλιον.

Περὶ Βηχίου. Κεφ. ρκϛ´.

V. κισσοειδῆ

V. ἔκλευκα

Βήχιον φύλλα ἔχει ὅμοια κισσῷ, μείζονα δὲ ϛ´ ἢ ζ´. ἀπὸ τῆς ῥίζης, ἐκ μὲν τῶν πρὸς τῇ γῇ καταλευκα, ἐκ δὲ τῶν πρὸς τὰ ἄνω χλωρά, γωνίας πλείους ἔχοντα· καυλὸν σπιθαμιαῖον· ἄνθος ὠχρὸν κατὰ τὸ ἔαρ· ὀξέως δὲ ἀποβάλλει τό, τε ἄνθος καὶ τὸν καυλόν· ὅθεν τινὲς ὑπέλαβον ἄκαυλον καὶ ἀνανθῆ ὑπάρχειν τὴν πόαν. ῥίζα λεπτή, *ἄχρηστος· φύεται περὶ λιβάδας καὶ ἐνύδροις τόποις. Ταύτης τὰ φύλλα λεῖα σὺν μέλιτι καταπλασσόμενα, ἐρυσιπέλατα καὶ πᾶσαν φλεγμονὴν ἰᾶται· ὑποθυμιώμενα δὲ ξηρὰ εἰς ἀποκαπνισμόν, τοὺς ὑπὸ ξηρᾶς βηχὸς καὶ ὀρθοπνοίας ὀχλουμένους θεραπεύει, ὅταν χάνοντες, τὸν καπνὸν τῷ στόματι δέξωνται, καὶ καταπίωσι· ῥήσσει δὲ καὶ τὰ ἐν θώρακι ἀποστήματα. τὸ δ᾽ αὐτὸ ποιεῖ καὶ ἡ ῥίζα ὑποθυμιωμένη. ἔμβρυόν τε τεθνηκὸς ἐκβάλλει ἐν ὑδρομέλιτι ἑφθὴ πινομένη.

Paris. add. πολυκλώνου

V. interserit μονόκλωνος

Περὶ Ἀρτεμισίας. Κεφ. ρκζ´.

Ἀρτεμισία φύεται ἐν παραθαλασσίοις τόποις ὡς τὸ πολύ, πόα θαμνοειδής, παρόμοιος ἀψινθίῳ, μείζω δὲ καὶ λιπαρώτερα τὰ φύλλα ἔχουσα. καὶ ἡ μέν τις ἐστὶν αὐτῆς εὐερνής, πλατύτερα ἔχουσα τὰ φύλλα καὶ τὰς ῥάβδους. ἡ δέ, λεπτοτέρα, ἄνθη μικρά, λεπτά, λευκά, βαρύοσμα· θέρους δὲ ἀνθεῖ. Ἔνιοι δὲ τὴν ἐν μεσογείοις λεπτόκαρφον βοτάνιον ἁπλοῦν τῷ καυλῷ, σφόδρα μικρόν, ἄνθους περίπλεων *κιρρο-

Ald. βαρύοσμος.

Al. κροκοειδῆ

A sed & pus crassius pectore expellit. Facit & arida ad veterē tussim, rupta, conuulsáq; si cū nasturtio, melle ac resina in eclegmate misceatur: diuturnam quoq; hypochondrij inflammationem cerato excepta lenit: valet itidem ad podagram ex aceto acri oblita aut ex aqua imposita: subdita verò mēses mouet. Quin B & vulnera cōglutinat, vetera vlcera repurgat, & cum melle ad cicatricem perducit. Sicca verò carnis excrescentias cohibet. Sed & expressus ex ea succus ad eadem vitia bibitur. Verùm efficacissimum Ponticum, Creticúmque.

De Tussilagine. Cap. CXXVI.

C TVSSILAGINI folia sunt hederaceis similia, sed maiuscula, sena septenáve à radice prodeuntia, infernè subalbida, supernè verò virentia, pluribus angulis prædita: caulis palmi altitudine, flos ex luteo albicans, qui verno tēpore prodit, at quamprimum vnà cum caule amittitur. Ex quo factum vt non- D nulli herbam hanc sine caule ac sine flore esse existimauerint. Radix tenuis, nec superuacua. Nascitur circa scaturigines aquarum, & riguis locis. Folia trita, ex melle imposita, erysipelatis omníque inflammationi medentur: suffita verò arida, ita vt ex ijs fumus per infundibulum hianti ōre excipiatur, hau- E riatúrque, eos sanant qui sicca tussi & orthopnœa infestantur: pectoris etiamnum vomicas rumpunt. Eundem effectum præbet suffita radix: sed & decocta in hydromelite, & epota, partus emortuos eijcit.

De Artemisia. Cap. CXXVII.

F ARTEMISIA in maritimis plerunque nascitur, herba fruticosa, absinthij similitudine, nisi quòd est maioribus pinguioribúsque folijs: quanquam est quædā lætior habitiórque, folijs virgultísq; latioribus, altera verò tenuioribus. Flores sunt parui, tenues, candidi & graueolentes, æstate autem floret. Sunt G qui in Mediterraneis artemisiam monoclonon appellent, herbulam gracili surculo, simplici caule donatam, valde pusillam, attamen floribus refertā tenuibus, & ad fuluum

colorem accedentibus. Hæc quàm præcedens iucundiorem afflat odorem. Vtraque excalfacit & attenuat. Feruefactæ insidentibus fœminis prosunt ad extrahendos menses, partus, secundásque, itémque ad vuluæ præclusionem & inflammationem. Valent etiamnum ad comminuendos calculos remoratámque vrinam eliciendā. Quinetiam herba ipsa copiosior imò ventri imposita menses ciet. Succus ex eadem expressus, cum myrrha subactus vuluęque subditus, eadem quæ & insessus ex vtero trahit. Sed & coma eorundem educendorum gratia ternis drachmis propinatur.

De Artemisia tenuifolia.
Cap. CXXVIII.

Habetur & artemisia tenuifolia, quæ circa riuulos ac sepes & in agris frumentarijs nascitur. Huius flores & folia, si contriueris, sampsuchi odorem expirat. Si quis igitur herbam eam tusam, & cum oleo amygdalino bene subactam, more malagmatis, dolenti stomacho imposuerit, sanabitur. Quòd si quis etiam neruorum dolore tentetur, eius contritæ succo expresso & mixto cū oleo rosaceo, si eum perunxeris, curabitur.

De Ambrosia. Cap. CXXIX.

AMBROSIA, quam alij botryn, alij botryn artemisiam appellant, exiguus frutex est, trium palmorum altitudine, ramosus: folia circa imum caulem habet exigua, ceu rutæ, cauliculos verò minutis seminibus, quasi racemulis, qui nūquam florent, refertos: est is odore vinoso, ac suauis. Radix tenuis, & duûm palmorum longitudine. Nectitur in coronas apud Cappadoces. Vis eius, reprimere, repellere, & illitu astringere humores qui in aliquam partem incumbunt.

De Botry. Cap. CXXX.

BOTRYS herba est lutea tota, fruticosa, latè sparsa, & alis compluribus prædita. Semen circa totos ramulos nascitur: folia cichorio similia, numerosa. Herba verò tota suauiter admodum olet, quamobrem vestibus etiam interponitur.

A δὲς τῇ χροιᾷ, λεπτόν, καλοῦσιν ἀρτεμισίαν "μονόκλωνον· ἔστι δὲ εὐωδεστέρα τῆς περὶ αὐτῆς. Ἀμφότεραι δὲ θερμαίνουσι καὶ λεπτύνουσιν. ἀποζεννύμεναι δὲ ἁρμόζουσιν εἰς γυναικεῖα ἐγκαθίσματα, πρὸς ἀγωγὴν ἐμμηνίων καὶ δευτέρων καὶ ἐμβρύων, μύσιν τε καὶ φλεγμονὴν τῆς
B ὑστέρας καὶ θρύψιν λίθων, καὶ ἐποχὴν οὔρων. ἡ δὲ πόα κατὰ τοῦ ἤτρου καταπλασθεῖσα πολλή, ἔμμηνα κινεῖ· ὁ δὲ ἐξ αὐτῆς χυλὸς λεανθεὶς σμύρνῃ καὶ προστεθείς, ἄγει ἀπὸ μήτρας "ὅσα καὶ τὸ ἐγκάθισμα. καὶ ποτίζεται δὲ ἡ κόμη πρὸς ἀγωγὴν τῶν αὐτῶν, πλῆθος < γ΄.

Al. πολύκλωνον
V. addit, καὶ τὸ ἔγκλυσμα

C Περὶ Ἀρτεμισίας λεπτοφύλλου.
Κεφ. ρκη΄.

Ἀρτεμισία λεπτόφυλλος, ἥ τις γίνεται περὶ ὀχετοῖς τε φραγμοῖς καὶ εἰς χώρας σπορίμοις. τὸ ἄνθος δὲ αὐτῆς καὶ τὰ φύλλα τριβόμενα, ὀσμὴν ἀποδίδωσι σαμψύχου. εἰ δὲ τις πονῇ τὸν στόμαχον, καὶ κόψας
D τὴν βοτάνην ταύτην μετὰ ἀμυγδαλίνου ἐλαίου καλῶς, καὶ ποιήσας ὡς μάλαγμα, καὶ θήσας ἐπὶ τὸν στόμαχον, θεραπευθήσεται. εἰ δὲ καὶ τὰ νεῦρα τις πονῇ, τὸν χυλὸν ταύτης μετὰ ῥοδίνου ἐλαίου μίξας χρίε, θεραπευθήσεται.

Hoc caput in aliquibus codicibus deest: à Cornario ad notha transfertur.

Περὶ Ἀμβροσίας. Κεφ. ρκθ΄.

E ΑΜΒΡΟΣΙΑ, οἱ δὲ βότρυς, οἱ δὲ βότρυς ἀρτεμισίαν, θαμνίσκος ἐστὶ τριπίθαμος τὸ ὕψος, πολύκλαδος· φύλλα ἔχων περὶ τὴν "ἐκβολὴν τοῦ καυλοῦ μικρά, ὡς πηγάνου· τὰ δὲ "καυλία περίπλεα σπερματίων, ἐοικότων βοτρυδίοις μηδέποτε ἀνθοῦσι, τῇ ὀσμῇ οἰνώδης, * ἡδεῖα· ἡ δὲ ῥί-
F ζα λεπτή, διπίθαμος. "καταπλέκεται δὲ ἐν Καππαδοκίᾳ τοῖς στεφάνοις. Δύναμιν δὲ ἔχει "σταλτικὴν τῶν ἐπιφερομένων καὶ ἀποκρουστικήν, καταπλασσομένη στύφει.

V. ἐμβολὴν
Al. ῥαβδία
V. caret.
V. caret.
Al. περιπλέκεται
V. στύφουσαν.

Περὶ Βότρυος. Κεφ. ρλ΄.

ΒΟΤΡΥΣ πόα ἐστὶν ὅλη μηλίνη, θαμνοειδής, διακεχυμένη, πολλὰς ἔχουσα μασχάλας.
G τὸ δὲ σπέρμα ὅλοις τοῖς κλωνίοις περιπέφυκε· φύλλα κιχωρίῳ ἐμφερῆ "πολλά· καὶ τὸ σύμπαν εὐώδης ἱκανῶς· διὸ καὶ ἱματίοις συντίθεται.

Sic V. & Lacunæ codex. vulg. exempl. carent.

φύεται δὲ μάλιστα περὶ χαράδρας καὶ χειμάρροις. Δύναμιν δὲ ἔχει σὺν οἴνῳ ποθεῖσα ὀρθοπνοίας παρηγορεῖν. καὶ ταύτην ἀμβροσίαν Καππαδόκαι καλοῦσι, τινὲς δὲ ἀρτεμισίαν.

Περὶ Γερανίου. Κεφ. ρλα΄.

ΓΕΡΑΝΙΟΝ, τὸ μὲν φύλλον ἔχει ὅμοιον ἀνεμώνῃ, ἐσχισμένον, μακρότερον· ῥίζαν δὲ ὑποστρόγγυλον, γλυκεῖαν, ἐσθιομένην, ἥτις ποθεῖσα ἐν οἴνῳ ἄγει < πλῆθος, ὑστέρας ἐμπνευματώσεις λύει. καλεῖται ὑπ' ἐνίων καὶ ἕτερον γεράνιον, ἔχον καυλία λεπτά, χνοώδη, διασπιθαμιαῖα· φύλλα μαλάχῃ ἐμφερῆ, καὶ ἐπ' ἄκρων τῶν μασχαλῶν ἐξοχάς τινας ἀνανενευκυίας, ὡς γεράνων κεφαλὰς σὺν τοῖς ῥάμφεσιν, ἢ κυνῶν ὀδόντας. χρῆσις δὲ αὐτοῦ ἐν ἰατρικῇ οὐδεμία.

Orib. στρογγύλην

V. addit ὑποπορφύρας

Περὶ Γναφαλίου. Κεφ. ρλβ΄.

ΓΝΑΦΑΛΙΟΝ, τούτου τοῖς φύλλοις τινὲς ἀντὶ γναφάλου χρῶνται, λευκοῖς οὖσι καὶ μαλακοῖς. ποιεῖ δὲ σὺν οἴνῳ αὐστηρῷ ποτιζόμενα τὰ φύλλα πρὸς δυσεντερίαν.

V. ὅτινες καὶ γναφάλιον ἐκάλεσαν

Περὶ Τύφης. Κεφ. ρλγ΄.

ΤΥΦΗ, φύλλον ἀνίησι κυπειρίδι ὅμοιον· καυλὸν λεῖον, ὁμαλόν, ἐπ' ἄκρῳ περικείμενον ἄνθος πυκνὸν καὶ ἐκπαππούμενον, ὃ καλοῦσιν ἔνιοι ἀνθήλην. ταύτης τὸ ἄνθος ἀναληφθὲν στέατι παλαιῷ ὑείῳ πεπλυμένῳ, κατακαύματα θεραπεύει. φύεται δὲ ἐν ἕλεσι καὶ ὑδροστασίμοις τόποις.

Ald. in noth. λευκὸν, quã vocem reddidit Ruellius.
Al. περιφερὲς
Al. ἀνθήλην
Al. πολλῷ

Περὶ Κιρκαίας. Κεφ. ρλδ΄.

ΚΙΡΚΑΙΑ, ἣν δὲ δίρκαιαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει στρύχνῳ ὅμοια κηπαίῳ, παραφυάδας δὲ πολλάς· ἄνθη μέλανα, μικρά, πολλά· καρπὸν δὲ κεγχροειδῆ ἔντισιν οἱονεὶ κερατίοις· ῥίζας σπιθαμιαίας γ΄ ἢ δ΄. λευκάς, εὐώδεις, θερμαντικάς. μάλιστα δὲ ἐν τισὶ πετρώδεσι φύεται τόποις καὶ εὐπνόοις εὐηλίοις. ταύτης ἡ ῥίζα ὅσον * μναῖ δ΄. φλασθεῖσα, καὶ βραχεῖσα ἡμέραν καὶ νύκτα ἐν οἴνου γλυκέως κοτύλαις ς΄. καὶ ποθεῖσα ἡμέρας γ΄. ὑστέραν ἀποκαθαίρει. ὁ δὲ καρπὸς γάλα κατασπᾷ ἐν ῥοφήμασι λαμβανόμενος.

V. quædã margo σμίλακι
Addit Lacuna ex ver. cod. καὶ λεπτάς.
V. μικρά
Addit Lac. ex v. cod. πυκνά

A Inuenitur verò potissimùm circa profluentes aquas, & in torrentium ripis. Pota ex vino orthopnœas mulcendi vim habet. Et hanc Cappadoces ambrosiam vocant, alij artemisiam.

De Geranio. Cap. CXXXI.

GERANIVM folio est anemones, incisuris B diuiso, at longiore, radice propemodum rotunda, dulci & esui apta. Hæc drachmæ pondere in vino pota, vuluę inflationes discutit. Vocatur & à nonnullis geranium alterũ, quod cauliculos habet tenues, lanuginosos, binûm palmorum altitudine: folia verò ceu maluæ, & in summis alis sursum C spectãtes eminentias quasdam, veluti gruum capitula cum suis rostris, aut dentes caninos. Sed nullius est in medicina vsus.

De Gnaphalio. Cap. CXXXII.

GNAPHALII folijs albis, mollibúsque pro tomento vtuntur. Efficaciter autem ad dysenteriam D in vino austero propinantur.

De Typha. Cap. CXXXIII.

TYPHA folium profert cyperidi simile, caulem læuem & æquabilem, quem in cacumine flos ambit densus, quíque in pappos soluitur. Eum aliqui paniculam nominant. Huius flos vetere suillo adi- E pe loto exceptus ambustis medetur. Gignitur autem in paludibus & aquis stagnantibus.

De Circæa. Cap. CXXXIIII.

CIRCÆA quam dircæam aliqui vocant, folia gerit hortensis solani, ac propagines crebras: flores F nigros, pusillos, numerosos: semen milij figura, quibusdam veluti corniculis inuolutum: radices dodrantales, ternas quaternásue, albas, odoratas, & excalfaciendi vi præditas. Nascitur maximè locis petrosis & apricis perflabilibus. Radix vnciarum quatuor pondere tusa, & G in vini dulcis heminis sex diem noctémque macerata, triduóque bibita, vuluam expurgat. At semen in sorbitionibus assumptum lactis vbertatem præstat.

De OEnan-

De OEnanthe. Cap. CXXXV.

A OENANTHEN alij leucanthon nominãt. Folia edit pastinacæ: flores candidos: caulẽ crassum, palmi altitudine: semen atriplicis: radicem denique magnam, in multa rotunda capitula extuberantem. Nascitur in petris. Semen, caulis ac folia, ad secundas pellendas cum vino mulso propinantur. B Ipsa quoq; radix è vino ad stranguriam regiúmque morbum vtilis.

De Conyza. Cap. CXXXVI.

CONYZA quædam parua vocatur, odore præstantior: maior altera, quæ frutice altior est, foliisque latioribus atque graueolens. C Vtriusque folia oleæ similia, at hirsuta & pinguia. Et maioris quidem conyzæ caulis in binûm cubitorum altitudinem assurgit, minoris verò, pedem æquat. Flos squalidus est, lutei coloris, & subamarus, ac in pappos abit: radices autẽ superuacuæ. Frutex cum folijs substratu suffitúque venenatas bestias fugat, culices abi-D git, ac pulices quoque necat. Folia vtiliter imponũtur serpentiũ morsibus, tuberculis atque vulneribus. Flores etiam ac folia ad mẽses partúsque pellendos in vino bibuntur: itémque contra stranguriam, tormina, morbúmque regium. Eadem ex aceto pota, comitiales adiuuant. E Quin & decoctum insessu vuluæ vitijs medetur, mensésque purgat. Subditus autem succus abortũ infert. Sed & herba ex oleo peruncta, contra rigores est efficax. Tenuior verò, etiam capitis dolores imposita sanat. F Est & tertium conyzæ genus, caule crassiore molliore´que, folijs mediæ inter maiorem & minorem amplitudinis. Minimè autem pinguis ea est, at odore longè grauior, atque adeò iniucundior simul & inefficacior. Locis aquosis prouenit.

De Hemerocalle. Cap. CXXXVII.

G HEMEROCALLES caulẽ foliáq; habet lilij, sed porri modo virẽtia. Flores in singulis scapi propaginibus terni quaternive erũpũt, lilij diuisura, cùm dehiscere cœpe-

Περὶ Οἰνάνθης. Κεφ. ρλε'.

ΟΙΝΑΝΘΗ, οἱ δὲ λευκάνθον καλοῦσι· τὰ μὲν φύλλα ἔχει ὥσπερ σταφυλῖνος· ἄνθη δὲ λευκά· καὶ καυλὸν παχὺν, σπιθαμιαῖον· καρπὸν δὲ ὥσπερ ἀτραφάξιος· ῥίζαν μεγάλην, κεφαλὰς ἔχουσαν πλείονας, στρογγύλας. φύεται ἐν πέτραις. Ταύτης ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ τὰ φύλλα, ποτίζεται πρὸς δευτέρων ἐκβολὴν σὺν οἰνομέλιτι. ἡ δὲ ῥίζα σὺν οἴνῳ πρὸς στραγγουρίας ἁρμόζει, καὶ ἴκτερον.

Περὶ Κονύζης. Κεφ. ρλς'.

ΚΟΝΥΖΑ, ἡ μέν τις μικρὰ καλεῖται, εὐωδεστέρα οὖσα· ἡ δὲ μείζων, ὑπερέχουσα τῷ θάμνῳ, καὶ τοῖς φύλλοις πλατυτέρα, καὶ βαρύοσμος. ἀμφότεραι δὲ προσεοίκασι τοῖς φύλλοις ἐλαίᾳ. ἔστι δὲ δασέα ταῦτα καὶ λιπαρά· ὕψος δὲ τοῦ καυλοῦ ἡ μὲν μείζων, δύο πήχεων ἔχει· ἡ δὲ ἐλάττων, ποδός· ἄνθος ψαφαρὸν, μήλινον, ὑπόπικρον, ἐκπαππούμενον· ῥίζαι δὲ ἄχρηστοι. Δύναται δὲ ὁ θάμνος ὑποστρωννύμενος σὺν τοῖς φύλλοις καὶ θυμιώμενος, θηρία διώκειν, καὶ κώνωπας ἀπελαύνειν· κτείνει δὲ καὶ ψύλλας· καταπλάσσεται δὲ τὰ φύλλα ὠφελίμως ἐπὶ ἑρπετοδήκτων καὶ φυμάτων, καὶ τραυμάτων. καὶ πίνεται σὺν οἴνῳ τὸ ἄνθος καὶ τὰ φύλλα πρὸς καταμηνίων ἀγωγὴν καὶ ἐμβρύων ἐκβολὴν, καὶ στραγγουρίαν, καὶ στρόφους καὶ ἴκτερον· μετ' ὄξους δὲ ἐπιληπτικοὺς πινόμενα ὠφελεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ἐν καθίσματι, τὰ ἐν μήτρᾳ θεραπεύει, καὶ ἔμμηνα ἀποκαθαίρει· ἰδίᾳ δὲ χυλὸς προστεθεὶς ἐκτρωσμοὺς ποιεῖ· ποιεῖ δὲ καὶ πρὸς ῥίγη συγχριομένη ἡ πόα μετ' ἐλαίου. ἡ δὲ λεπτὴ καὶ κεφαλαλγίας καταπλασσομένη ἰᾶται. Γίνεται καὶ τρίτον εἶδος κονύζης. ἔστι δὲ καυλῷ παχυτέρα καὶ μαλακωτέρα, τοῖς δὲ φύλλοις μείζων τῆς λεπτῆς, ἥσσων δὲ τῆς μείζονος, οὐ λιπαρὰ, βαρυοσμοτέρα δὲ πολλῷ καὶ ἀηδεστέρα καὶ ἀπρακτοτέρα. φύεται δὲ ἐν ἐφύδροις.

Περὶ Ἡμεροκαλλίδος. Κεφ. ρλζ'.

ΗΜΕΡΟΚΑΛΛΙΣ φύλλα ἔχει καὶ καυλὸν ὅμοια κρίνῳ, χλωρὰ δὲ ὥσπερ πράσα. ἄνθη δὲ ἐν αὐτῷ καθ' ἑκάστην ἀπόφυσιν γ'. ἢ δ'. τὴν σχίσιν τῷ κρίνῳ ἐοικότα, ὅταν ἄρξηται χαίνειν

[Hæc non leguntur in Ald. cod. nisi inter notha.]
[V. ἐοίκασι]
[V. ὑπόμικρον]
[Addit Lacuna ex vet. cod. καὶ τὰ σπέρμα.]
[Alter pro θεραπεύει habet ἀποκαθαίρει. Sic V. & Lacunæ cod. Vulg. exẽpl. carent.]
[Al. [illegible] παύει]
[V. nonnulli carent sequentibus ad capitis vsque calcem.]
[Al. χάσκειν [illegible]]

V. λευκῆ

τὴν δὲ χρόαν ἰσχυρῶς ὠχρά. ῥίζαν ὁμοίαν βολβῷ εὐμεγέθη· ἥτις λεία ποθεῖσα, καὶ σὺν μέλιτι ἐν ἐρίῳ προστεθεῖσα, πεσσός ἐστιν ὑδραγωγὸς καὶ αἱμαγωγός. τὰ δὲ φύλλα λεῖα καταπλασσόμενα, φλεγμονὰς μαστῶν τὰς ἐκ τοκετῶν καὶ ὀφθαλμῶν πραΰνει. καὶ καταπλάσσεται δὲ ἡ ῥίζα καὶ τὰ φύλλα ὠφελίμως ἐπὶ τῶν πυρικαύστων.

Περὶ Λευκοΐου. Κεφ. ρλη'.

ΛΕΥΚΟΙΟΝ γνώριμόν ἐστιν. ἔστι δὲ αὐτῆς διαφορὰ ἐν τῷ ἄνθει. ἢ γὰρ λευκόν ἐστιν, ἢ μήλινον ἢ κυανοῦν ἢ πορφυροῦν εὑρίσκεται. Ἔστι δὲ αὐτῶν εὔχρηστον πρὸς τὴν ἰατρικὴν χρῆσιν τὸ μήλινον· οὗ τὰ ἄνθη ξηρὰ ἀποζεσθέντα, εἰς ἐγκαθίσματα ποιεῖ πρὸς τὰς περὶ ὑστέραν φλεγμονάς, καὶ ἀγωγὰς ἐμμηνίων· ἀναληφθέντα δὲ κηρωτῇ, ῥαγάδας τὰς ἐν δακτυλίῳ θεραπεύει· σὺν δὲ μέλιτι, ἄφθας. ὁ δὲ καρπὸς αὐτοῦ, σὺν οἴνῳ ποθεὶς δραχμῶν δυοῖν πλῆθος, ἢ προστεθεὶς σὺν μέλιτι, ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει. αἱ δὲ ῥίζαι καταπλασθεῖσαι σὺν ὄξει, στέλλουσι σπλῆνα, καὶ ποδαγρικοὺς ὠφελοῦσι.

Addit Catacuzeni codex: λευκόϊον θαλάσσιον, οἱ δὲ ἴον θαλάσσιον. Ῥωμαῖοι βιόλα μαρῖνα. δύναμιν ἔχει καὶ αὐτὸ τὴν αὐτὴν τῷ πρὸ αὐτοῦ λευκοΐῳ.

Περὶ Κραταιογόνου. Κεφ. ρλθ'.

ΚΡΑΤΑΙΟΓΟΝΟΝ, οἱ δὲ κραταιόνον, φύλλα ἔχει ὅμοια τοῖς τοῦ μελαμπύρου (πλείους δὲ ἀπὸ μιᾶς ῥίζης φύονται βλαστοὶ γονατώδεις) καρπὸν δὲ ὅμοιον κέγχρῳ· φύεται ἐν συσκίοις καὶ φρυγανώδεσιν ὡς ἐπιτοπολὺ τόποις, ἰσχυρῶς δὲ δριμύ. Ἱστορεῖται δὲ ὑπό τινων ἡ πόσις τοῦ καρποῦ γυναῖκα ἀρρενοτόκον ποιεῖν, ἐάν τις μετὰ τὴν κάθαρσιν τῶν καταμηνίων πρὸ τοῦ πλησιάσαι πίνῃ νῆστις τρὶς τῆς ἡμέρας ὁλκὴν τριωβόλου μετὰ ὕδατος κυάθων β'. ἐπὶ ἡμέρας μ'. ὡσαύτως δὲ καὶ ὁ ἀνὴρ πινέτω τὰς ἴσας ἡμέρας, καὶ πλησιαζέτω.

Lacuna ex vet. cod. legit φρυγανώδεσιν, id est, aridis.

Περὶ Φύλλου. Κεφ. ρμ'.

ΦΥΛΛΟΝ, οἱ δὲ ἐλαιόφυλλον, οἱ δὲ βρυωνίαν καλοῦσι· φύεται ἐν πέτραις. τὸ μὲν θηλυγόνον λεγόμενον, ὥσπερεὶ βρύον ἔχον, χλωρότερον ἐλαίας τὸ φύλλον· καυλὸν λεπτὸν, βραχύν· ῥίζαν λεπτήν· ἄνθος λευκὸν· καρπὸν μείζονα, ὥσπερ μήκωνος.

Marc. βρύον

Lacuna ex vet. cod. καρπὸν λεπτὸν μικρόν.

A rint, saturatiore verò ochræ colore: radix prægrandi bulbo similis est: quæ quidem trita potáque, aut cum melle & lana subdita in pesso, aquá & sanguinem inutilem educit. Folia verò trita illitáque, mammarum à partu inflammationes, necnon & oculorum epiphoras mitigant. Cæterùm & radix & folia igni ambu- B stis vtiliter imponuntur.

De Leucoio siue viola alba.

Cap. CXXXVIII.

LEVCOION vulgaris est notitiæ: sed est in floribus differẽtia. Nanque aut albi, aut lutei, aut cærulei, aut etiam purpurei reperiuntur. Est porrò leucoium luteum inter C cætera præcipui in medicina vsus: quippe cuius aridi flores feruefacti, in desessionibus valent contra vuluæ inflammationes, menstruáque pellunt. Cerato verò excepti, rimas sedis: cum melle autẽ, oris vlcera, quæ aphthæ dicuntur, sanant. At semen duûm drachmarũ põdere ex vino potum, aut cum melle subdi- D tum, menses, secundas & partus extrahit. Cęterùm radices ex aceto illitæ lienem reprimunt, & podagricos iuuant.

De Crataeogono. Cap. CXXXIX.

CRATÆOGONON, siue, vt alijs placet, Cratæonon, folia habet melampyri: plures autem ab vna radice emicant culmi genicula- E ti: semen est milio simile. Nascitur vt plurimum locis opacis & frutetosis. Est autem vehementer acre. Traditur à quibusdam, seminis potum efficere vt mulier virilis sexus fœtum pariat, siquidem post menses purgatos, anteaquam cum viro congrediatur, ter die ieiuna semen tribus obolis in aquæ cyathis duo- F bus, bibat, ad dies quadraginta: bibat & ipsum vir modo consimili, ac totidem etiam diebus, deindéq; cum illa coeat.

De Phyllo. Cap. CXL.

PHYLLON, alij elæophyllon, bryoniam alij nominãt: in saxosis nascitur. Ac illud quidem quod thelygonon dicitur, veluti bryon G oleæ pallidius gerit: folio verò est magis herbacei coloris: caule tenui, breui: radice gracili: flore albo: semine papaueris, maiusculo.

Arrhenogonon verò cætera antedicto simile: semine tantùm differt: habet enim racemosum, ei quodammodo simile quod, postquam defloruit olea, primulum emergit atque conspicitur. Perhibetur autem, arrhenogoni potu mares generari: thelygoni verò, fœminas. Hæc memoriæ prodidit Crateuas: quanquam talia mihi videtur historiatenus, tanquam fama auditionéve accepta, proponere.

De Orchi seu testiculo. Cap. CXLI.

ORCHIS, quē alij cynosorchin, quasi canis testiculum, vocant, folijs est circa caulis imam partem in terra stratis, "mollibus, oleæ similibus, at longioribus: caule palmari, in quo flores purpurascentes emicant: radice bulbosa, oblonga, gemina, angusta, oliuarum instar: quarũ vna superior est, altera inferior, & hæc quidem plenior ac mollior: illa durior ac rugosa. Radix cocta vt bulbus estur. Sed & de his radicib⁹ memoriæ proditur, si maiorem edant viri, mares generari: si minorem fœminæ, alterum sexum. Insuper autem proditum est, in Thessalia mulieres teneram è lacte caprino propinare ad excitandam libidinem: aridam verò, ad eandem inhibendam: atque ab vnius potu alterius vires exolui. Nascitur in saxosis & sabuletis.

Vel stillæ molli similibus, at angustioribus & lenibus.

De Testiculo altero.

Cap. CXLII.

Testiculus alter, quem alij, velut & Andreas, Serapiada vocant, propter radicis multiplicem vsum, folijs est porri, oblongis, at latioribus & pinguibus, ex alarum sinu inflexis: cauliculis palmaribus, ac floribus penè purpureis: radix autem subiacet testiculis similis. Hæc imposita œdemata dissipat, vlcera repurgat, herpetem sistit: fistulas quoque abolet, & illita partes inflammatas demulcet. Arida eadem inspersa nomas cohibet, sanátque putrescentia & cacoëthe oris vlcera. Aluum denique sistit, è vino pota. Sed & de hac radice eadem, quæ de antè memorata testiculi canini radice, narrantur.

A τὸ δὲ ἀρρενογόνον, τὰ μὲν ἄλλα ὅμοιον τῷ προειρημένῳ· καρπῷ δὲ διαφέρει· ἔχει γὰρ ὅμοιον* αὐτῇ ἐξωθηκυίας ἐλαίας βοτρυώδεσι. λέγεται δὲ, τὸ ἀρρενογόνον, ποθὲν, ἀρρενοτοκεῖν· τὸ δὲ θηλυγόνον, θηλυτοκεῖν. Ἱστορεῖ περὶ τούτων Κρατεύας· ἐμοὶ δὲ δοκεῖ τὰ τοιαῦτα μέχρι τῆς περὶ αὐτῶν ἱστορίας
B προάγειν.

Περὶ Ὄρχεως. Κεφ. ρμα.

De testiculo v. cod. quidã prorsus silent.

ΟΡΧΙΣ, ὃν δὲ κυνὸς ὄρχιν καλοῦσι, φύλλα ἔχει κατὰ γῆς ἐστρωμένα περὶ τὸν καυλὸν καὶ τὸν πυθμένα, *ἐλαίᾳ μαλακῇ ὅμοια, στενώτερα δὲ καὶ λεῖα, μακρότερα· καυλὸν σπιθαμῆς τὸ μῆκος, ἐφ'
C οὗ ἄνθη πορφυροειδῆ· ῥίζαν βολβοειδῆ, ἐπιμήκη, διπλῆν, στενήν, ὡς ἐλαίας, τὴν μὲν ἄνω, τὴν δὲ κατωτέρω. καὶ τὴν μὲν, *πλήρη· τὴν δὲ, μαλακὴν καὶ ῥυσσήν. ἐσθίεται δὲ ἡ ῥίζα ὡς βολβὸς ἑψηθεῖσα· καὶ περὶ ταύτης δὲ ἱστορεῖται, τὴν μὲν μείζονα ῥίζαν ὑπὸ ἀνδρῶν ἐσθιομένην, ἀρρενογόνον
D εἶναι· τὴν δὲ ἐλάττονα ὑπὸ γυναικῶν, θηλυγόνον. προσιστόρηται δὲ καὶ τὰς ἐν Θετταλίᾳ γυναῖκας, *τὴν μὲν ἁπαλὸν μετὰ αἰγείου γάλακτος ποτίζειν, ὡς παρορμᾶν τὰ ἀφροδίσια· τὴν δὲ ξηρὸν, πρὸς ἐπίσχεσιν καὶ ἔκλυσιν τῶν ἀφροδισίων· ἀναλύεσθαί τε τὸν ἕτερον ὑπὸ τοῦ
E ἑτέρου πινόμενον. φύεται δὲ ἐν λιθώδεσι καὶ ἀμμώδεσι τόποις.

V. σκίλλῃ

Περὶ Ὄρχεως ἑτέρου. Κεφ. ρμβ.

Ὄρχις ἕτερος, ὃν Σεραπιάδα ἕτεροι καλοῦσιν, ὡς καὶ Ἀνδρέας διὰ τὸ "πολύχρηστον τῆς ῥίζης· φύλλα ἔχει ἐοικότα "πράσῳ ἐπιμήκη, πλατύτερα δὲ καὶ "λιπαρά, ἐ-
F πικαμπῆ ἐν ταῖς μασχάλαις· καυλία σπιθαμιαῖα· ἄνθη δὲ ὑποπόρφυρα· ῥίζα δὲ ὑπεστιν "ὀρχιδίοις ὁμοία. Ἥτις δύναμιν ἔχει καταπλαττομένη οἰδημάτων σκεδαστικήν, καὶ ἑλκῶν ἀνακαθαρτικήν, καὶ "ἕρπητος ἐφεκτικήν. ἀνασκευάζει δὲ καὶ σύριγγας, καὶ τὰ φλεγμαίνοντα παρηγο-
G ρεῖ καταπλασσομένη. ξηρὰ δὲ "ἐπιπασσομένη, νομὰς ἵστησι· καὶ τὰ ἐν σηπεδόνι καὶ στόματι κακοήθη ἰᾶται· ἵστησι δὲ καὶ "κοιλίαν σὺν οἴνῳ ποθεῖσα. ἱστορεῖται δὲ καὶ περὶ ταύτης, ὅσα καὶ περὶ τοῦ κυνὸς ὄρχεως.

Pena legit πολύχρηστον.
Ald. πρασίῳ. Sic Dod.
V. μαλακά, & sequentia delet vsque ad καυλία
Al. ῥαβδίοις, sed malè.
V. caret.
Sic vetus Lacunæ codex. at vulg. exempl. carent.
Al. νομάς

Περὶ Σατυρίου. Κεφ. ρμγʹ.

Σατύριον, ὃ οἱ δὲ τρίφυλλον καλοῦσιν, ἐπειδὴ ὡς ἐπὶ τὴν γῆν φύλλα τρία φέρει κεκλασμένα, λαπάθῳ ἢ κρίνῳ ὅμοια, ἐλάττονα μέντοι καὶ ἐνερευθῆ· καυλὸν δὲ ψιλόν, μακρόν, ὡς πήχεως· ἄνθος κρινοειδές, λευκόν· ῥίζαν βολβώδη, ὅσον μῆλον, πυῤῥάν· τὰ δὲ ἐντὸς λευκήν, ὥσπερ ᾠόν· γευομένῳ γλυκεῖαν καὶ εὔστομον· ταύτην δεῖ πίνειν ἐν οἴνῳ μέλανι αὐστηρῷ πρὸς ὀπισθότονον. καὶ εἰ βούλει γυναικὶ συνουσιάσαι, χρῆσαι. φασὶ γὰρ αὐτὴν καὶ ὁρμὴν κινεῖν τὴν ἐπὶ συνουσίᾳ.

Marc. ὡς ἐπὶ τὸ πολύ. Lacuna verò legit in antiquo ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ φύλλα τρία φέρει, ἐπὶ γῆς κεκλασμένα. Sic & Serapio & Oribas. Vulg. cod. κρινοειδές.

Hæc non habet Ald. codex, nisi inter notha.

Περὶ Σατυρίου ἐρυθρονίου. Κεφ. ρμδʹ.

Σατύριον δὲ ἐρυθρόνιον, οἱ δὲ σατύριον ἐρυθραϊκόν, ἔχει σπέρμα λινοσπέρμῳ ἐμφερές, μεῖζον δὲ καὶ ῥωμαλέον καὶ στίλβον, καὶ λεῖον, ὅπερ ἱστορεῖται καὶ αὐτὸ συνουσίας ἐγείρειν ὥσπερ καὶ ὁ σκίγκος. ἔστι δὲ τῆς ῥίζης αὐτοῦ ὁ μὲν φλοιὸς ὑπίσχνος καὶ πυῤῥός· τὸ δὲ ἔνδοθεν λευκόν, γευομένῳ εὔστομον καὶ γλυκύ. φύεται ἐν εὐηλίοις καὶ ὀρεινοῖς τόποις. ἱστορεῖται δὲ ὅτι καὶ εἰς τὴν χεῖρα ληφθεῖσα ἡ ῥίζα, ἐρεθίζει πρὸς ἀφροδίσια· σὺν οἴνῳ δὲ ποθεῖσα, μᾶλλον.

Marc. ἐρυθρόκοκκον

V. addit, οἱ δὲ μόλιον τὸ ἐν ὕδασιν. quod inter notha legitur.

Orib. πυκνὸς

Περὶ Ὁρμίνου. Κεφ. ρμεʹ.

Ὅρμινον ἥμερον, πόα ἐστὶν ἐμφερὴς πρασίῳ τοῖς φύλλοις. καυλὸς δὲ τετράγωνος ἡμιπηχυαῖος· περὶ ὃν ἐξοχαὶ ὅμοιαι λοβοῖς ὡς ἐπὶ τὴν ῥίζαν νενευκυῖαι, ἐν αἷς σπέρμα διάφορον· ἐπὶ μὲν γὰρ τοῦ ἀγρίου στρογγύλον εὑρίσκεται φαιόν· ἐπὶ δὲ τοῦ ἑτέρου, ἐπίμηκες καὶ μέλαν, οὗ περ ἡ χρῆσις. δοκεῖ δὲ καὶ τοῦτο σὺν οἴνῳ πινόμενον, συνουσίαν παρορμᾶν. ἀποκαθαίρει δὲ σὺν μέλιτι ἄργεμα, λευκώματα, καταπλασθὲν δὲ μεθ' ὕδατος καὶ οἰδήματα διαφορεῖ, καὶ σκόλοπας ἐπισπᾶται. καὶ ἡ πόα δὲ καταπλασθεῖσα, τὰ αὐτὰ ποιεῖ. τὸ δὲ ἄγριον ἰσχυροτέραν ἔχει τὴν δύναμιν. ὅθεν μίγνυται καὶ συγχρίσμασι, μάλιστα δὲ τῷ γλευκίνῳ.

Vulg. exempl. addunt ἡμέρου

Περὶ Ἡδυσάρου. Κεφ. ρμςʹ.

Ἡδύσαρον δὲ ὑπὸ τῶν μυρεψῶν καλούμενον πελεκῖνος, θάμνος ἐστὶ φυλλάρια ἔχων ἐρεβίνθῳ ὅμοια, λοβοὺς δὲ

A *De Satyrio. Cap. CXLIII.*

Satyrium alij trifoliũ vocant; quoniam vtplurimum terna folia in terram conuexa proferat, rumici aut lilio similia, attamẽ minora atq; rubescentia: caulem gerit nudũ, cubitalem: florẽ lilij effigie, candidũ: radicem bulbosam, mali magnitudine, rufam, intus verò albam, oui B instar, sapore dulcem oríque gratã. Hanc in vino nigro austero bibere oportet, contra opisthotonon. Ipsa quoque vtere, si cum muliere rẽ habere volueris. Eam enim etiam ad venereos impetus concitatricẽ vim habere affirmant.

De Satyrio erythronio.

C *Cap. CXLIIII.*

Satyrium erythronium siue erythraïcum, semen habet lini similitudine, at maius, firmum, splendẽs ac læue: quod fertur etiam nõ secus atque scincus libidinem excitare. Est verò cortex radicis aliquantum gracilis ac rufus: interna autẽ pars D alba, sapore dulci, oríque grata. In apricis & montosis locis enascitur. Proditur & radix, si modò manu teneatur, venerẽ stimulare, eóque magis, si bibatur in vino.

De Hormino. Cap. CXLV.

Horminum herba est folijs marrubio similis: caule quadrã-E gulo, semicubitali, circa quem eminentiæ siliquis similes conspiciuntur, quæ quidem radicẽ versus spectant, & in quibus semen diuersum recluditur. Siquidẽ in syluestri rotundum fuscúmque reperitur, at in altero oblongum & nigrius, cuius & vsus est. Creditur enim in vino bibitum, etiam venerem stimulare. F Purgat verò cum melle oculorũ argema & albugines: illitúmque ex aqua, etiã œdemata discutit, & infixos aculeos è corpore extrahit. Sed & imposita herba hæc eadẽ præstat. Syluestre autẽ magis viribus pollet: quamobrem etiam vnguentis, præsertímque gleucino immiscetur.

G *De Hedysaro. Cap. CXLVI.*

Hedysarum, quod vnguentarij pelecinum, id est, securidacam, vocant, frutex est minutis folijs, ciceri similibus: siliquis verò

cornicula referentibus, in quibus semen fuluum, quod ancipitem securim æmulatur (vnde & nomen accepit) gustu amarum, stomachóque in potu vtile. Additur & in antidota. Cum melle verò subditum, ante coitum spem partus adimere creditur. Cæterùm inter triticum & hordea nascitur.

De Onosmate. Cap. CXLVII.

ONOSMA, alij osmadem, alij phlonitim, alij denique ononim vocant: folia habet ad similitudinẽ anchusæ, oblonga, mollia, quatuor digitorum longitudine & vnius latitudine, in terra iacentia, denique anchusæ folijs quàm simillima. Est autem sine caule, sine semine, sine flore. Radicula verò subest longiuscula, infirma, tenuis, ac modicè rubescens. Gignitur in asperis. Folia in vino pota partus extrahunt. Sed & prægnans si herbam eam supergrediatur, abortum facere dicitur.

De Nymphæa. Cap. CXLVIII.

NYMPHÆA in paludibus stagnantibúsq; aquis nascitur: folia verò habet Ægyptiæ fabæ similia, at minora oblongioráque, plura ab vna eadémque radice prodeuntia: quorum alia super aquam quodammodo extant, alia in ea ipsa demerguntur: florẽ album, lilio similem, in quo medium croceũ est. At cùm defloruerit, calyculus rotundus, figura malo aut papaueris capiti similis, idémq; niger, extuberat: in quo semen nigrum, latum, densum, atque gustanti lẽtum glutinosúmve recluditur. Caulis est læuis, minimè crassus, niger, Ægyptiæ fabæ cauli similis: radix nigra, scabra, clauæ similis, quę autumno secatur. Ea sicca, cum vino pota, cœliacis ac dysentericis auxiliatur, lienémque consumit. Stomachi quoque ac vesicæ doloribus sedandis ipsa radix imponitur, & alphos ex aqua emẽdat: alopecijs etiamnum cum pice imposita medetur. Eadẽ contra veneris insomnia bibitur, siquidẽ illa in totũ adimit: quin & aliquot diebus cõtinẽter epota, genitale ita infirmat, vt arrigi minimè possit. Idẽ porrò seminis quoque poti effectus est. Cæterùm à nymphis nymphææ nomen sibi vendicasse creditur, quoniam loca amet aquosa. Plurima autem

A κερατίοις ἐοικότας· ἐν οἷς τὸ σπέρμα πυρρὸν, ὅμοιον πελέκει ἀμφιστόμῳ, ὅθεν καὶ ὠνόμασται· πικρὸν γεῦσαι μὲν· εὐστόμαχον, ποθέν. μίγνυται δὲ καὶ ἀντιδότοις. σὺν μέλιτι δὲ προστεθὲν πρὸ τῆς μίξεως, ἀτόκιον εἶναι δοκεῖ. φύεται δὲ ἐν κριθαῖς καὶ πυροῖς.

Περὶ Ὀνόσματος. Κεφ. ρμζ΄.

B ΟΝΟΣΜΑ, οἱ δὲ ὀσμάδα, οἱ δὲ φλονῖτιν, οἱ δὲ ὄνονιν καλοῦσι, τὰ μὲν φύλλα ἔχει ὅμοια τοῖς τῆς ἀγχούσης, προμήκη, μαλακὰ, ὡς τετραδάκτυλα τὸ μῆκος, τὸ δὲ πλάτος δακτύλου, ἐπὶ γῆς κατεστρωμένα, ἐμφερέστατα τοῖς τῆς ἀγχούσης. ἔστι δὲ ἄκαυλος, ἄκαρπος, ἀνανθής· C ῥιζίον δὲ ὕπεστιν ὑπομῆκες, ἀσθενὲς, λεπτὸν, ἐνερευθὲς ἡσυχῆ· φύεται δὲ ἐν τραχέσι τόποις. Τούτου τὰ φύλλα ἐν οἴνῳ ποθέντα, ἔμβρυα ἄγει· φασὶ δὲ ὅτι κἂν ἔγκυος ὑπερβῇ τὴν " πόαν, ἐκτιτρώσκει. Lacuna legit in vet.cod. ῥίζαν.

Περὶ Νυμφαίας. Κεφ. ρμη΄.

ΝΥΜΦΑΙΑ φύεται ἐν ἕλεσι καὶ ὕδασι στασίμοις· D φύλλα δὲ ἔχει ὅμοια κιβωρίῳ, σμικρότερα δὲ καὶ ἐπιμηκέστερα, ποσῶς ὑπερέχοντα τοῦ ὕδατος. τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι, πλείονα ἐκ τῆς αὐτῆς ῥίζης· ἄνθος δὲ λευκὸν, ὅμοιον κρίνῳ, ἔχον κροκῶδες τὸ μέσον. ὅταν δὲ ἀπανθήσῃ, στρογγύλον, μήλῳ παραπλήσιον τῇ περιφερείᾳ γίνεται, E ἢ μήκωνος κεφαλῇ, μέλαν· ἐν ᾧ καρπὸς μέλας, " πλατὺς, πυκνὸς, γευομένῳ γλίσχρος· ὁ δὲ καυλὸς λεῖος, οὐ παχὺς, μέλας, ὅμοιος τῷ τοῦ κιβωρίου· ῥίζα μέλαινα, " τραχεῖα, ῥοπαλοειδὴς, ἥτις τέμνεται φθινοπώρῳ. Ξηρὰ δὲ σὺν οἴνῳ ποθεῖσα, κοιλιακοὺς ὠφελεῖ, δυσεντερικούς, καὶ σπλῆνα τήκει. καταπλάσσεται δὲ F πρὸς στομάχου καὶ κύστεως ἀλγήματα ἡ ῥίζα, " καὶ ἀλφοὺς σμήχει σὺν ὕδατι. ἀλωπεκίας τε σὺν πίσσῃ ἐπιτεθεῖσα ἰᾶται. πίνεται δὲ ἡ " ῥίζα καὶ πρὸς ὀνειρωγμούς· περιαιρεῖται γὰρ τούτους· ἀτονίαν τε ἐργάζεται αἰδοίου πρὸς ὀλίγας ἡμέρας, εἴ τις ἐνδελεχῶς G πίνοι. τὸ αὐτὸ δὲ ποιεῖ καὶ τὸ σπέρμα ποθέν. δοκεῖ δὲ ὠνομάσθαι " νυμφαία, διὰ τὸ ἔνυδρον φιλεῖν τόπον. εὑρίσκεται δὲ

V. tantum πικρὸς pro his πλατὺς, πυκνὸς

Orib. παχεῖα

V. vsque ad ἰᾶται caret.

V. omittit.

V. ἀπὸ νυμφῶν

Orib. κολωνίᾳ

πολλὴ ἐν Ἤλιδι ἐπὶ τοῦ Ἀνύγρου ποταμοῦ, καὶ τῆς Βοιωτίας ἐν Ἁλιάρτῳ. A

Περὶ Νυμφαίας ἄλλης. Κεφ. ρμθʹ.

V. non habet.

Al. τέφρα

Γίνεται καὶ ἄλλη νυμφαία, ἧς τὸ ἄνθος βλέφαρον λέγεται, φύλλα ἔχουσα ὅμοια τῇ προειρημένῃ· ῥίζαν μέντοι λευκὴν καὶ τραχεῖαν ἔχει, ἄνθος μήλινον, στίλβον, ὅμοιον ῥόδῳ. ποιεῖ δὲ ἡ ῥίζα καὶ B τὸ σπέρμα πρὸς ῥοῦν γυναικεῖον ἐν οἴνῳ μέλανι πινόμενον. φύεται ἐν τοῖς περὶ Θεσσαλίαν τόποις κατὰ τὸν Πηνειὸν ποταμόν.

Addit Lacuna ex antiquo codice παραθαλασσίοις

Περὶ Ἀνδροσάκους. Κεφ. ρνʹ.

Al. ὑδρόσακες

Al. ἔμφυλλος

Al. ἐπὶ τῇ κεφαλῇ

ΑΝΔΡΟΣΑΚΕΣ γίνεται μὲν ἐν Συρίᾳ ἐν παραθαλασσίοις τόποις· πόα C δέ ἐστι *λεπτή, λεπτόκαρφος, πικρά, ἄφυλλος, θυλάκιον ἐπὶ τῆς κεφαλῆς ἔχουσα περιεκτικὸν σπέρματος. Δύναμιν δὲ ἔχει ποθεῖσα σὺν οἴνῳ < βʹ. πλῆθος, οὖρα πολλὰ ἐπὶ ὑδρωπικῶν ἄγειν. καὶ τὸ ἀφέψημα δὲ τῆς πόας καὶ ὁ καρπὸς πινόμενος, τὸ αὐτὸ ποιεῖ· κατα- D πλάσσεται δὲ καὶ ἐπὶ ποδαλγικῶν ὠφελίμως.

Addit Lacuna ex v. cod. αὐτάρκης μετ᾽ οἴνου.

Περὶ Ἀσπληνίου. Κεφ. ρναʹ.

Leg. πτέρυγα καλοῦσιν. Corn. πτέριν

V. delet.

V. conclusa delet.

ΑΣΠΛΗΝΟΝ, οἱ δὲ σκολοπένδριον, οἱ δὲ σπλήνιον, οἱ δὲ ἡμιόνιον, οἱ δὲ πτέρυξ, φύλλα ἔχει σκολοπένδρᾳ τῷ θηρίῳ ὅμοια, πλείονα ἀπὸ μιᾶς ῥίζης περιεχό- E μενα. φύεται ἐν *τοίχοις καὶ πέτραις ταῖς ἀπὸ κοχλάκων παλισκίοις· ἄκαυλα, [ἀνανθῆ, ἄκαρπα] ἐντετμημένα ὡς τὰ τοῦ πολυποδίου, κάτωθεν ὑπόξανθα, καὶ δασέα, ἄνωθεν δὲ χλωρά. Δύναμιν δὲ ἔχει τὰ φύλλα ἀποζεσθέντα σὺν ὄξει καὶ πινόμενα ἐπὶ ἡμέρας μʹ· σπλῆνα τήκειν· F δεῖ δὲ καταπλάσσειν καὶ τὸν σπλῆνα τοῖς φύλλοις λείοις σὺν οἴνῳ. βοηθεῖ καὶ στραγγουρίᾳ καὶ λυγμῷ, καὶ ἰκτέρῳ, καὶ λίθους τοὺς ἐν κύστει θρύπτει. δοκεῖ δὲ ἀτόκιος εἶναι καθ᾽ ἑαυτήν, καὶ μετὰ ἡμιόνου σπληνὸς περιαπτομένη· ἀσελήνου δὲ νυκτός φασι δεῖν αὐτὴν ὀρύσσειν εἰς ἀτόκιον. G

Add. Lacuna ex vet. cod. καὶ δυσουρίᾳ

Περὶ Ἡμιονίτιδος. Κεφ. ρνβʹ.

V. addit, ἢ ἑτέρου εἴδους σκολοπενδρίου

ΗΜΙΟΝΙΤΙΣ, οἱ δὲ σπλήνιον, φύλλον ἀφίησιν ὅμοιον δρακοντίῳ, μη-

inuenitur in Helide, Anygro amne, & in Bœotiæ Aliarto.

De Nymphæa altera. Cap. CXLIX.

EST & altera Nymphæa, cuius flos blephara dicitur, folijs antedictæ similis, at radice alba simul & aspera, flore luteo, splendente, rosæ simili. Radix & semen ad inhibenda fœminarum profluuia efficaciter ex vino nigro bibuntur. Nascitur autem in Thessalia, iuxta Peneum amnem.

De Androsace. Cap. CL.

ANDROSACES in maritimis Syriç nascitur, herba verò est alba, tenuibus cirris, amara, sine folijs, folliculum habēs in cacumine, quo semen continetur. Ea drachmis duabus in vino pota, copiosam hydropicis vrinam ciet. Quin & herbæ decoctum, seménque largius ex vino potum, eundem præbet effectum. Vtiliter quoque podagricis illinitur.

De Aspleno. Cap. CLI.

ASPLENON aliqui scolopendrium, alij splenium, alij hemionion, alij denique pteryga vocant. Folijs est scolopendræ animali similibus, plurib⁹ ab vna radice sparsis in ambitum. Nascitur in petris parietibúsque confectis è calculis silicibúsve, iísque opacis. Nec verò caulem, nec florem, nec semen habet: folia autem filiculæ modo incisuris diuiduntur, subter flauescentia hirsutáque, supernè verò viridia. Vim hanc habet foliorum in aceto decoctum, vt per dies XL potum lienem absumat. Sed & folijs è vino tritis lienem illini oportet. Stranguriæ quoque, singultui, & regio morbo subuenit, atque calculos vesicæ comminuit. Cæterùm sperma partus adimere creditur tum per sese, tum etiam cum muli liene amuleti instar adalligata. Verùm in eum vsum tradunt nocte quapiam illuni effodiendam.

De Hemionitide. Cap. CLII.

HEMIONITIN sunt qui splenium vocent. Folium emittit simile dracunculi, curuatæ in cornua

lunæ modo sinuatum. Radices subiacent multæ, eæq; tenues: sed neque caulem, neque semen, neque florem profert. In saxosis hæc herba nascitur, astringente sapore prædita, & ex aceto pota lienem quoq; absumit.

De Anthyllide. Cap. CLIII.

ANTHYLLIS duûm est generum: quædam enim folijs est mollibus, alioqui lenticulæ simillimis, & ramulis palmi altitudine rectis, radice tenui & parua. Nascitur in sabulosis, apricis, subsalsa gustanti. Altera est folijs ramusculísque chamæpityi similis, hirsutior tamen, breuior & asperior, flore purpureo, & odoris admodum grauis: radice cichorij. Hæc drachmis quatuor bibita, vrinæ difficultate laborantibus & nephriticis plurimùm prodest. Tritæ verò vteri inflammationes emolliunt, cum rosaceo & lacte subditæ, ac vulneribus quoque medentur. Quæ autem chamæpityos similitudinẽ refert, præter alia etiam comitiales sanat cum aceto mulso pota.

De Anthemide. Cap. CLIIII.

ANTHEMIDEM alij leucanthemon, alij eranthemon, quoniam vere floreat, alij chamæmelũ, quoniam odorẽ mali habeat, nonnulli melanthemon, alij chrysocomen, alij denique calliam vocant. Huius genera tria flore tantùm distantia: rami dodrantales, fruticosi, alis multis concaui: foliola parua, tenuia, numerosa: rotunda item capitula, intus quidem auri colore fulgentia, foris verò orbiculato ambitu floribus circundata candidis, aut melinis, aut purpureis, magnitudine foliorum rutæ. Nascitur in asperis, & iuxta semitas. Colligitur vere. Vim habent radices, flores & herba ipsa, excalfaciendi extenuandíque: seu potu seu insessione pellunt menstrua, partus, calculos & vrinas. Propinantur & aduersus inflationes & ilei tormenta. Sed & regium morbum expurgant, atque hepaticis medẽtur: decoctum quoque vesicæ fotibus accommodatur. Ex omnibus autem hisce generibus ad calculos efficacissima est

A νοειδές· ῥίζαι δὲ ὕπεισι πολλαί, λεπταί· οὔτε δὲ καυλόν, οὔτε καρπόν, οὔτε ἄνθος φέρει. φύεται ἐν πετρώδεσι τόποις. γευσαμένῳ δὲ ἡ πόα στυπτική· ἥτις σὺν ὄξει ποθεῖσα, τήκει σπλῆνα.

Περὶ Ἀνθυλλίδος. Κεφ. ρνγ'.

ΑΝΘΥΛΛΙΣ διττή· ἡ μὲν γὰρ φακῷ
B παραπλήσια φύλλα ἔχει, καὶ κλωνία σπιθαμῆς ὕψος, "ὀρθὰ δέ, καὶ τὰ φύλλα μαλακά. ῥίζα δὲ λεπτή, μικρά. φύεται ἐν "ὑφάμμοις τόποις καὶ εὐηλίοις, "γευομένῳ ὕφαλμος. ἡ δ' ἑτέρα χαμαιπίτυϊ τὰ φύλλα καὶ τὰ κλωνία ἔοικε, δασυτέρα μέντοι [καὶ βραχυτέρα, καὶ τραχυτέρα]
C τὸ δ' ἄνθος πορφυροῦν, "βαρύοσμον ἰσχυρῶς· ῥίζα ὥσπερ κιχωρίου. Δύναται δὲ ἰσχυρῶς δυσουροῦσι καὶ νεφριτικοῖς πινομένη βοηθεῖν, πλῆθος < δ'. ἐκμαλάσσουσι δὲ "φλεγμονὰς τὰς ἐν ὑστέρᾳ λεῖαι, σὺν ῥοδίνῳ καὶ γάλακτι προστεθεῖσαι· ἰῶνται δὲ καὶ τραύματα. ἡ δὲ τῇ χαμαιπίτυϊ ὁ-
D μοία, μετὰ τῶν ἄλλων καὶ ἐπιληπτικοὺς ἰᾶται σὺν ὀξυμέλιτι πινομένη.

V. ὁμοίως δὲ καὶ τὰ βίφυλλα μαλ
Sic v.cod. Plin. sabulosis. Vulg. ex. ὑφαλμυροῖς. subsalsis.
V. nõ habet γευ. ὕφ.
Orib non legit conclusa.
V. addit, δασύτερον.
Sic v.cod. Lac. at vulg. exempl. φλέγματα ἐν

Περὶ Ἀνθεμίδος. Κεφ. ρνδ'.

ΑΝΘΕΜΙΣ, οἱ δὲ λευκάνθεμον, οἱ δὲ ἠράνθεμον, διὰ τὸ ἀνθεῖν ἐπὶ ἔαρος, οἱ δὲ χαμαίμηλον, διὰ τὴν πρὸς τὰ μῆλα ὁμοιότητα τῇ ὀσμῇ, οἱ δὲ μελάνθεμον,
E οἱ δὲ "χρυσοκόμην, οἱ δὲ καλλίαν καλοῦσι· ταύτης εἴδη τρία ἄνθεσι μόνον διαφέροντα· κλῶνες "σπιθαμιαῖοι, θαμνοειδεῖς, μασχάλας ἔχοντες πολλάς, *κλωνάρια μικρά, λεπτά, πολλά, κεφάλια περιφερῆ· ἔνδοθεν μὲν "*χρυσίζοντα ἄνθη, ἔξωθεν δὲ περίκειται κυκλοτερῶς λευκά,
F ἢ μήλινα ἢ πορφυρᾶ, κατὰ μέγεθος πηγάνου φύλλων· φύεται ἐν τόποις τραχέσι καὶ παρὰ τὰς ὁδούς· συλλέγεται δὲ ἔαρος. Δύναμιν δὲ ἔχουσιν αἱ ῥίζαι καὶ τὰ ἄνθη καὶ ἡ βοτάνη θερμαντικήν, λεπτυντικήν· πινόμεναι δὲ καὶ ἐγκαθιζόμεναι, καταμήνια ἄγουσι καὶ ἔμβρυα, καὶ λίθους, καὶ οὖρα· *ποτίζεται δὲ καὶ πρὸς
G ἐμπνευματώσεις καὶ εἰλεούς, καὶ ἴκτερον δὲ ἀποκαθαίρουσι, καὶ ἡπατικοὺς ἰῶνται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν εἰς πυρίας λαμβάνεται τὰς πρὸς κύστιν. πρακτικώτερον δὲ τοῖς λιθιῶσι

Orib. χρυσοκαλλίαν
Marc. διασπιθαμιαῖοι
V. addit λευκὸν καὶ χρυσίζον ἀνθήλιον ἔχοντα

τὸ πορφυρανθὲς, ὅπερ τοῖς ὅλοις ἐστὶ μεῖζον, ἰδίως ἠράνθεμον καλούμενον. τὸ δὲ λευκάνθεμον καλούμενον, οὐρητικώτερον, καὶ τὸ χρυσάνθεμον. θεραπεύουσι δὲ καὶ αἰγίλωπα καταπλασσόμενα· διαμασώμενα δὲ, καὶ ἄφθας ἰῶνται. χρῶνται δέ τινες καὶ * συγκλύσματι μετ' ἐλαίου, λειοτριβοῦντες αὐτὰ πρὸς ἀνασκευὴν τῶν περιοδικῶν πυρετῶν. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα καὶ τὰ ἄνθη, ἕκαστον αὐτῶν κόπτοντας ἰδίᾳ, καὶ ἀναλαμβάνοντας τροχίσκους, τὴν δὲ ῥίζαν ξηραίνοντας. χρείας δὲ ἐπιγινομένης, διδόναι ὁτὲ μὲν τῆς βοτάνης μέρη β'. ὁτὲ δὲ τοῦ ἄνθους ἢ τῆς ῥίζης μέρος ἕν. ὁτὲ δὲ τοὔναντίον, τοῦ ἄνθους μὲν β'. τῆς δὲ βοτάνης ἕν, ἐναλλὰξ διπλασιάζοντας παρ' ἡμέραν· πίνειν δὲ δεῖ ἐν οἰνομέλιτι κεκραμένῳ.

A quæ florem purpureũ habet, quæq; omni ex parte cæteris maior ampliórque est: hanc propriè Eranthemon vocát. Ea verò cui leucanthemo nomen est, item quæ chrysanthemon dicitur, potentiùs vrinam ciunt: ægilopijs quoque illitæ medentur, & commanducatę vlcerum eruptiones in ore sanant. Nonnulli B ijs in farinam tritis cum oleo vtuntur ad illitiones, ídq; ad febres periodicas abigendas. Flores autem ac folia, singula inquam seorsim tusa & in pastillos digesta, recondi oportet: radix verò priùs exiccanda est. Ac vbi vsus exigit, modò herbæ partes duæ dari debent, modò floris aut radicis pars vna: aliâs contrà C floris partes duę & herbæ pars vna, vicissim duplicato pondere alternis diebus. Bibere autem oportet in vino mulso diluto.

Περὶ Παρθενίου. Κεφ. ρνε'.

ΠΑΡΘΕΝΙΟΝ, οἱ δὲ ἀμάρακον, οἱ δὲ λευκάνθεμον, φύλλα ἔχει ὅμοια "κορίῳ, λεπτά· ἄνθη λευκὰ κύκλῳ, τὸ δὲ μέσον μήλινον, ὀσμῇ ὑπόβρωμον, τῇ δὲ γεύσει πικρίζον. Δύναται δὲ ξηρὰ σὺν ὀξυμέλιτι ἢ σὺν ἁλσὶ ποθεῖσα, ὡς τὸ ἐπίθυμον, φλέγμα καὶ χολὴν * ἄγειν κάτω· ὥστε ἀσθματικοῖς ὠφελεῖν, καὶ μελαγχολικοῖς. ἡ πόα δὲ χωρὶς τοῦ ἄνθους, ὠφελίμως ἐπὶ λιθιώντων καὶ ἀσθματικῶν ποτίζεται. τὸ δὲ ἀφέψημα αὐτῆς, ἐγκάθισμα ὑστέρας ἐσκληρυμμένης καὶ φλεγμαινούσης ἐστί. καταπλάσσεται δὲ καὶ πρὸς ἐρυσιπέλατα καὶ φλεγμονὰς σὺν τοῖς ἄνθεσιν.

Al. margo, χαμαιμήλῳ

Lacuna add. ex v. cod. καὶ οἴνῳ

De Parthenio. Cap. CLV.

PARTHENIVM aliqui amaracum, alij leucanthemon vocant: folijs est coriandri, tenuibus, flori- D bus per ambitum albis, in medio verò melinis, odore subuiroso & sapore subamaro. Siccatum cum aceto mulso aut sale potum, æquè ac epithymũ pituitam & bilem atram detrahit, suspiriosísque ac melancholicis prodest. At herba citra florẽ calculosis & anhelatoribus magna vtilitate propinatur. Ipsius ve- E rò decoctum, ad insidendum valet in vuluarum duritijs & inflammationibus. Sed & ipsa cum floribus, erysipelatis & inflãmationibus imponitur.

Περὶ Βουφθάλμου. Κεφ. ρνς'.

ΒΟΥΦΘΑΛΜΟΝ (οἱ δὲ κάχλαν καλοῦσι) "καυλία ἀνίησι τρυφερά, ὑπόλεπτα· φύλλα δὲ μαραθώδη· ἄνθη μήλινα, μείζονα τῆς ἀνθεμίδος, ὀφθαλμοειδῆ· ὅθεν καὶ ὠνόμασται· φύεται δὲ ἐν πεδίοις καὶ περὶ τὰς πόλεις. Ταύτης τὰ ἄνθη λεῖα σὺν κηρωτῇ, οἰδήματα καὶ σκληρίας "διαφορεῖ· φασὶ δὲ ὅτι ἐν τῷ βαλανείῳ μετὰ τὸ ἐξελθεῖν πινόμενον, εὔχροιαν "ποιεῖ πρὸς χρόνον τινὰ τοῖς ἰκτερικοῖς.

Ald. καυλὸν ἀνίησι τρυφερὸν ὑπόλεπτον.

V. add. σπλῆνας διαχεῖ

V. περιποιεῖ

De Buphthalmo. Cap. CLVI.

F BVPHTHALMVM (quidam cachlan vocant) teneros emittit cauliculos, & quodámodo tenues, folia fœniculi, flores melinos, maiores quàm anthemidis, oculorum similitudine: vnde & herba nomen traxit. In campestribus & circa oppida nascitur. Huius flores triti cũ cerato œdemata duritiásque discu- G tiunt. Aiunt verò, post exitum à balneo epotam, regio morbo correptis ad tempus aliquod colorem gratiorem facere.

De Paeonia. Cap. CLVII.

Sic Apul. à [illegible]

PÆONIA siue glycyside quibusdam " pentorobon dicitur: sunt qui Idæos dactylos radicem pæoniam vocent. Caulis ferè in duorũ dodrantum altitudinem adolescit, adnascente numerosa sobole comitatus: ac mari quidem folia sunt qualia iuglandis, fœminæ verò incisuris Smyrnij modo diuisa. Summo caule fert vtraq; siliquas quasdam, veluti Græcas nuces: quibus dehiscentibus grana multa rubentia, parua, acinis punicorum similia inueniuntur, & inter hæc media quinque aut sex, nigra, purpurea. Radix maris digitali ferè est crassitudine, & palmi longitudine, gustu astringens, candida: fœminæ verò radicibus ceu glandes septem octóve adhærent, quales hastulæ regiæ radicibus adnascuntur. Radix fœminis à partu non purgatis exhibetur: ciet quoque menses nucis Græcæ magnitudine pota: vétris etiam doloribus in vino bibita auxiliatur. Prodest & arquatis, iisq; qui renum aut vesicæ cruciatibus infestantur. Eadem decocta in vino potáque aluum sistit. Seminis autem granula decem duodecimve rubentia in vino nigro & austero pota, sanguinolentum fluorem muliebrem sistũt: stomachicisque, qui erosiones ventriculi sentiunt, comesta opitulantur. Quin & à puerulis pota esitatáve, initia calculi eximunt. Quę verò nigra sunt grana, " suppressionibus nocturnis quas ephialtas vocant, vuluæque strágulationibus ac vteri dolorib⁹, numero quindecim, in aqua mulsa aut vino pota, auxiliãtur. Cęterũ nascitur pæonia in altissimis mõtibus, eorúmq; verticibus.

Plin. faunorũ in quiete ludibrijs

Περὶ Παιονίας. Κεφ. ρνζ.

A ΠΑΙΟΝΙΑ, ἢ γλυκυσίδη, οἱ δὲ "πεντόβοϱον· οἱ δὲ Ιδαίους δακτύλους τὴν ῥίζαν παιονίαν καλοῦσι. καυλὸς ὡς διασπιθαμιαῖος "φύεται, παραφυάδας ἔχων πολλάς· φύλλα δὲ ἡ μὲν ἄῤῥην βασιλικῇ καρύᾳ ὅμοια· ἡ δὲ θήB λεια ἀπέσχισται τὰ φύλλα ὥσπερ σμύρνιον. λοβοὺς δέ τινας ἀνίησιν ἐπ' ἄκρου τοῦ καυλοῦ, ἀμυγδάλοις ὁμοίους· ὧν ἀνεῳχθέντων εὑρίσκονται ἐρυθροὶ κόκκοι πολλοί, μικροί, ἐμφερεῖς τοῖς τῆς ῥοιᾶς, ἐν μέσῳ δὲ μέλανες, ἐμπόρφυροι, ε' ἢ ϛ'. ῥίζα δὲ τῆς μὲν ἄῤῥενος, "περὶ δακτύλου πάC χος, μῆκος δὲ σπιθαμῆς, γευομένῳ στύφουσα, "λευκή· ἐπὶ δὲ τῆς θηλείας, παραφυάδας ὥσπερ βαλάνους ἔχουσα ζ'. ἢ η'. ὥσπερ ἀσφόδελος. Δίδοται δὲ γυναιξὶν ἡ ῥίζα ταῖς ἐκ τόκου μὴ καθαιρομέναις· κινεῖ δὲ καὶ τὰ καταμήνια, ἀμυγδάλου μέγεθος πινομένη· D ταῖς τε κατὰ γαστέρα ὀδύναις βοηθεῖ, ποθεῖσα ἐν οἴνῳ. ὠφελεῖ δὲ καὶ ἰκτερικούς", καὶ νεφριτικούς, καὶ κύστιν ἀλγοῦντας. ἑψηθεῖσα ἐν οἴνῳ" καὶ πινομένη, κοιλίαν ἵστησι. τοῦ δὲ καρποῦ ι'. ἢ ιβ'. κόκκοι πυῤῥοὶ ποθέντες ἐν οἴνῳ μέλανι αὐστηρῷ, ῥοῦν ἐρυθρὸν ἱστῶσι· στομαχικοῖς τε δαE κνομένοις ἐσθιόμενοι βοηθοῦσι. καὶ ὑπὸ τῶν παιδίων πινόμενοι καὶ ἐσθιόμενοι, ἀρχὰς λιθιάσεως παραιτοῦνται. οἱ δὲ μέλανες, καὶ πρὸς τοὺς ὑπὸ ἐφιαλτῶν πνιγμούς, καὶ πρὸς τὰς ὑστερικὰς πνίγας καὶ ὀδύνας μήτρας, ἐν μελικράτῳ ἢ οἴνῳ, ὅσον ιε'. κόκκοι πινόμενοι, ποιοῦσι.*

V. πεντόμοϱον

Sunt qui interserant ex Plinio ὑπέρυθρος

Addit Orib. λεπτή, quæ vox in Ald. codice inter notha reperitur. V. caret.

V. καὶ ἧπαρ ἐμπεφραγμένους

V. addit αὐστηρῷ

F

De Lithospermo. Cap. CLVIII.

LITHOSPERMON, quod nonnulli ęgonychon, alij exonychõ, alij heracleam vocãt, propter seminis duritiam: à qua & lithospermi nomẽ accepit. Folijs est oleæ, longioribus tamen, latioribus atque mollioribus, & ijs quidem quæ in imo à terra exiliunt humi iacentibus: ramulis rectis, tenuibus, acuti iunci crassitudine, firmis, lignosis: in quorum cacumine bifida propago

Περὶ Λιθοσπέρμου. Κεφ. ρνη.

ΛΙΘΟΣΠΕΡΜΟΝ, οἱ δὲ αἰγώνυχον, οἱ δὲ ἐξώνυχον, οἱ δὲ ἡράκλειαν, διὰ τὴν περὶ τὸ σπέρμα ἰσχύν· ὅθεν καὶ λιθόσπερμον ὠνόμασται· φύλλα ἔχει ὅμοια ἐλαίας, μακρότερα δὲ καὶ πλατύτερα, καὶ G μαλακώτερα, καὶ τὰ περὶ τὸν πυθμένα ἐπὶ γῆς κείμενα· κλωνία δὲ ὀρθά, λεπτά, πάχος ὀξυσχοίνου, στερεά, "ξυλώδη· ἐπὶ δὲ τῶν ἄκρων αὐτῶν * δίχηλος ἔκφυσις,

Orib. χυλώδη

A καυλώδης· ἔχουσα φύλλα μακρά, περὶ οἷς σπέρμα λιθῶδες, στρογγύλον, λευκόν, ὀρόβῳ μικρῷ ὅμοιον. φύεται ἐν τραχέσι τόποις καὶ ὑψηλοῖς. Δύναμιν δὲ ἔχει τὸ σπέρμα μετ᾽ οἴνου λευκοῦ πινόμενον, λίθους θρύπτειν, καὶ οὖρα ἄγειν.

Περὶ Φαλαρίδος. Κεφ. ρνθ.

B ΦΑΛΑΡΙΣ, καυλία ἀνίησιν ἐκ ῥιζῶν λεπτῶν καὶ ἀχρήστων πολλά, διπάλαιστα, γονατώδη, καλαμοειδῆ, ἐοικότα τοῖς τῆς ζέας, [ἰσχνότερα δὲ καὶ γλυκέα τῇ γεύσει, τὰ φύλλα δὲ ὅμοια τοῖς τῆς ζέας.] σπέρμα δὲ ἔπεστι μέγεθος κέγχρου, λευκόν, ὑπόμηκες. Δύναμιν δὲ ἔχει κοπτομένη ἡ πόα καὶ χυλιζομένη δι᾽ ὕδατος ἢ οἴνου, C πρὸς τὰ τῆς κύστεως ἀλγήματα ποιεῖν, πινομένη. καὶ τοῦ σπέρματος δὲ * μετὰ κοχλιαρίου ὕδατος πλῆθος πινόμενον πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ Ἐρυθροδάνου. Κεφ. ρξ.

ΕΡΥΘΡΟΔΑΝΟΝ, ἢ ἐρευθόδανον, ἔνιοι δὲ τεύθριον καλοῦσι. ῥίζα δέ ἐστιν ἐρυθρά, βαφική· ἡ μέν τις ἀγρία· ἡ δὲ D σπαρτή, ὡς ἐν Θαβαίῃ τῆς Γαλιλαίας, καὶ Ῥαβαίννῃ τῆς Ἰταλίας, καὶ ἐν Καρίᾳ μεταξὺ τῶν ἐλαιῶν σπειρόμενον, ὥσπερ ἐν ταῖς ἀρούραις. [ὠφέλιμος δὲ σπείρεσθαι] διὰ τὸ γίνεσθαι ἐκ τούτου πλείστην πρόσοδον. εἰσὶ δὲ αὐτῷ οἱ καυλοὶ τετράγωνοι, μακροί, τραχεῖς, ὅμοιοι τοῖς τῆς ἀπαρίνης, κατὰ πάντα δὲ E μείζονες καὶ ῥωμαλεώτεροι· ἔχοντες ἐκ διαστημάτων τὰ φύλλα καθ᾽ ἕκαστον γόνυ, ὥσπερ ἀστέρας εἰς κύκλον περικείμενα· καρπὸν στρογγύλον, τὰ πρῶτα χλωρόν, εἶτα ἐρυθρόν, εἶτα πεπαινόμενον μέλανα· ῥίζα λεπτή, μακρά, ἐρυθρά, διουρητική· ὅθεν ἰκτερικοῖς μετὰ μελικράτου πινομένη βοηθεῖ, F ἰσχιαδικοῖς τε καὶ παραλελυμένοις· ἄγει δὲ οὖρα πολλὰ καὶ παχέα, ἔσθ᾽ ὅτε δὲ καὶ αἷμα. λούεσθαι μέν τοι δεῖ καθ᾽ ἡμέραν τοὺς πίνοντας, [καὶ ὁρᾶν τὴν κενουμένων τὴν διαφοράν.] θηριοδήκτοις τε βοηθεῖ ὁ καυλός, μετὰ τῶν φύλλων * ποθείς. ὁ δὲ καρπὸς μετ᾽ ὀξυμέλιτος πινόμενος, σπλῆνα G τήκει· προστεθεῖσα δὲ ἡ ῥίζα, ἔμβρυα καὶ ἔμμηνα ἄγει καὶ δεύτερα, θεραπεύει δὲ καὶ ἀλφοὺς λευκοὺς, μετ᾽ ὄξους καταπλασσομένη.

cauliculorum speciem exhibet, folijs longis: inter quæ semen lapidea duritie rotundum, candicans, erui parui magnitudine. Nascitur in asperis & editis locis. Vim habet semen, cum vino albo potum, calculos frangendi, vrinásque pellendi.

De Phalaride. Cap. CLIX.

PHALARIS cauliculos emittit à tenuibus ac nullius vsus radicibus numerosos, bipalmes, geniculatos, culmis zeæ similes, graciliores tamen ac sapore dulces: folia itidem zeæ: semen verò milij magnitudine, candidum & oblõgum. Herbæ tusæ succus ex aqua aut vino expressus ad vesicæ cruciatus vtilissimè bibitur. Semẽ quoque cochlearis mẽsura ex aqua potum, ad eadem est efficax.

De Rubia. Cap. CLX.

RVBIA, Græcis Erythrodanum seu Ereuthodanum, aliquibus teuthrion vocatur: radix est rubra, tingendo idonea. Vna quidem syluestris est, satiua altera, vt in Thebana Galilææ & Rauennæ in Italia. Sed & in Caria inter oleas seritur, velut in aruis. Vtiliter autem colitur, quòd multo polleat questu, ex eáque amplissimus reditus percipiatur. Sunt ei caules quadranguli, longi, asperi, quales aparinæ: sed omni ex parte maiores atque robustiores, folijs in orbem per interualla, nempe circa singula genicula, stellæ modo decussatim radiatis: semine rotundo, inter initia viridi, mox rubro, ac postremò cũm ematuruit, nigro. Radix est tenuis, longa, rubra, ciendæ vrinæ vi prædita: qua de causa arquatis auxiliatur, pota cũ aqua mulsa: itémq; ischiadicis atq; paralyticis. Crassam porrò copiosámq; vrinam pellit, ac interdum etiam sanguinem: bibẽtes tamen quotidie lauari oportet, & excrementorum quæ reddũtur differentiam contemplari. Contra serpentium morsus caulem cum folijs imponere prodest. Semẽ verò ex aceto mulso potum, lienem absumit. At subdita radix, partus, menses secundásq; trahit. Albæ quoque vitiligini illita ex aceto medetur.

Lat. legit in vet. cod. μικρά. Sic & Orib.
V. addit ὑπόλευκον.
Sic Orib. & v. codex. Lacuna στρογγύλον, λεπτόν, ὀρόβῳ μικρῷ ἴσον. Vulg. ex. στρογγ. μικρὸν ὀρόβῳ ἴσον.
V. addit καὶ πρὸς δυσεντερίαν ποιεῖ.
V. μετὰ
Conclusa habentur in vet. cod. itémque apud Oribas. at in vulg. exempl. desiderantur.
V. inscribit, ἀδάνου.
Alii videtur γαλλίας legisse.
V. caret.
Addit Lacuna ex v. cod. καὶ κινεῖται.
Hæc non habentur in Aldino codice, nisi inter notha.
V. ἰχεοδήκτοις Paris. χυλὸς
V. καταχριομένη

De Lonchitide. *Cap.* CLXI.

LONCHITIS folia habet porro perquàm similia, latiora tamẽ & rubentia, plurima, ad radicẽ circũfracta, veluti in terrã procumbẽtia. Habet & circa caulẽ pauca, in quo quidẽ flores ceu pileoli, hiantibus comicis personis figura similes, iiq; nigri, sed è rictu albam veluti paruã linguam exerentes, quæ ad labrum inferius spectet: semen inuolucris clausum, triangulum & lanceæ cuspidi simile, vnde etiam planta ipsa sibi cognomentum arrogauit: radix dauci. Nascitur in asperis ac sitientibus. Radix ex vino pota, vrinam ciet.

De Lonchitide altera. C. CLXII.

Lonchitis altera, quam alij asperam dicunt, folia profert scolopendrij, sed asperiora maioráque, ac multò magis diuisa. Vim porrò habet vulnerariã, inflammationésque arcet. Lienem quoque pota ex aceto absumit.

De Althæa. *Cap.* CLXIII.

ALTHÆA, quam nonnulli Ibiscum vocant, maluæ syluestris species est, folijs vti cyclamini rotũdis, lanuginosis: flore rosaceo: caule bicubitali: radice lenta glutinosáq;, intus alba. Althææ verò nomen inditum illi est, à multiplici excellentique quam in medendo prẽstat vtilitate. Decocta enim in aqua mulsa aut vino, aut per se etiam tusa, efficaciter imponitur vulneribus, parotidibus, strumis, abscessibus, mãmarũ inflammationibus, sedis doloribus, contusis, flatuosis tumoribus ac neruorum distentionibus: siquidẽ discutit & maturat, aut rumpit, & ad cicatricẽ perducit. At cocta, vti dictũ est, si cum adipe suillo aut anserino, terebinthináve, subigatur, facit ad vuluæ inflammationes præclusionésq;, subdita in pesso. Sed & ipsius decoctum eundem obtinet effectum, relicta post partum in vtero purgamenta præterea extrahens. Succurrit & radicis decoctæ succus ex vino potus vrinæ difficultati, calculosorũ sæuis acerbísque cruciatibus, dysentericis, ischiadicis, tremulis atque ruptis.

A Περὶ Λογχίτιδος. Κεφ. ρξα'.

ΛΟΓΧΙΤΙΣ φύλλα ἔχει "πράσῳ "κάρτα ὅμοια, πλατύτερα δὲ καὶ ὑπέρυθρα "πλεῖστα, περὶ τὴν ῥίζαν περικλώμενα ὡς ἐπὶ τὴν γῆν. ἔχει δὲ καὶ περὶ τὸν καυλὸν ὀλίγα, ἐφ' οὗ ἄνθη ὅμοια πιλίσκοις, τῷ τύπῳ δὲ κωμικοῖς προσωπείοις κε-
B χηνόσι μέλανα μὲν, λευκὸν δέ τι ἀπ' αὐτῶν ἐξέχει ἀπὸ τοῦ χάσματος πρὸς τὸ κάτω χεῖλος, ὥσπερ γλωττάριον· τὸ δὲ σπέρμα δὲ ὅμοιον λόγχῃ, τρίγωνον ἐν "περικαρπίοις· ὅθεν καὶ τῆς προσωνυμίας ἠξιώθη· ῥίζα δὲ ὁμοία δαύκῳ. φύεται ἐν τραχέσι καὶ ἀνίκμοις τόποις. ταύτης ἡ ῥίζα διουρητική,
C πινομένη σὺν οἴνῳ.

V. πλατύκαρπα. Marc. πράσῳ πλατυκάρπῳ ὅμ. Fortè κάρπῳ Dalech. legit πλεκτά

Mar. περικαρπίοις

Περὶ ἑτέρας λογχίτιδος. Κεφ. ρξβ'.

Λογχῖτις ἑτέρα, οἱ δὲ λογχῖτιν τραχεῖαν, φύλλα ἀνίησιν ὅμοια σκολοπενδρίῳ, τραχύτερα δὲ καὶ μείζονα, καὶ μᾶλλον ἐσχισμένα. Δύναμιν δὲ ἔχει "τραυματικήν, ἀφλέγμαντον· τήκει δὲ καὶ σπλῆνα
D μετ' ὄξους πινομένη.

Addit Lacuna ex vet. cod. τὰ φύλλα

Περὶ Ἀλθαίας. Κεφ. ρξγ'.

ΑΛΘΑΙΑ, ἔνιοι δὲ ἰβίσκον καλοῦσι, μαλάχης ἐστὶν ἀγρίας εἶδος· φύλλα περιφερῆ ὥσπερ κυκλάμινος, ἔγχνοα· ἔχει δὲ ἄνθος ῥοδοειδές· καυλὸν "δίπηχυν,
E ῥίζαν δὲ γλίσχρον, λευκὴν ἔνδοθεν. Ὠνόμασται δὲ ἀλθαία, διὰ τὸ πολυαλθὲς καὶ πολύχρηστον αὐτῆς. ἑψηθεῖσα γὰρ ἐν μελικράτῳ ἢ οἴνῳ, καὶ καθ' ἑαυτὴν "κοπεῖσα, ποιεῖ πρὸς τραύματα, παρωτίδας, χοιράδας, ἀποστήματα, μαστοὺς φλεγμαίνοντας, δακτυλίων "ἀλγήματα,
F θλάσματα, ἐμφυσήματα, συντάσεις νεύρων· διαφορεῖ γὰρ καὶ ἐκπέσσει, ἢ ῥήγνυσι καὶ ἐπουλοῖ. συμμαλαχθεῖσα δὲ ἑφθὴ, ὡς εἴρηται, στέατι ὑείῳ ἢ χηνείῳ ἢ τερεβινθίνῃ, πρὸς ὑστέρας φλεγμονὰς καὶ μύσεις ἐν προσθέματι ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς τὸ αὐτὸ ποιεῖ, ἄγον καὶ τὰ
G καλούμενα λόχια. τὸ δὲ τῆς ῥίζης ἀφέψημα σὺν οἴνῳ πινόμενον, ὠφελεῖ δυσουροῦντας, λιθιώντων ὠμότητας, δυσεντερικοὺς, ἰσχιαδικοὺς, τρομώδεις, ῥηγματίας.

Al. legit, δὲ πηχυαῖον· & facilis est lapsus. Sic & Serapio. Orib. τρίπηχυν

Vulg. exempl. ποθεῖσα

Sic vet. cod. at vulg. exempl. carent.

καὶ πόνους ὀδόντων πραΰνει σὺν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη. ὁ δὲ καρπὸς χλωρός τε καὶ ξηρὸς λεῖος καταχρισθεὶς σὺν ὄξει ἐν ἡλίῳ, σμηκτικός ἐστιν ἀλφῶν· μετ' ὀξελαίου δὲ συγχριόμενος, προφυλακτικός ἐστιν ἰοβόλων. ποιεῖ δὲ καὶ πρὸς δυσεντερίας καὶ αἵματος ἀναγωγὴν καὶ διάῤῥοιαν. τὸ δὲ ἀφέψημα τοῦ σπέρματος, πινόμενον καὶ πρὸς μελισσῶν καὶ τῶν λεπτῶν θηρίων πληγὰς πάντων, ἐν ὀξυκράτῳ ἢ οἴνῳ ποθέν. καὶ τὰ φύλλα δὲ μετ' ὀλίγου ἐλαίου καταπλάσσεται ἐπὶ τῶν δηγμάτων καὶ ἐπὶ τῶν πυρικαύστων. πήγνυσι δὲ ἡ ῥίζα καὶ ὕδωρ, μιγεῖσα λεία καὶ συνεξαιθριασθεῖσα.

Lac. in vet. cod. additũ reperit, καὶ ἐλαίῳ

Videntur hic præterea legisse interpretes, καὶ σφηκῶν

V. cod. Lacunæ addit χλωρὰ

A Eadem dentium mulcet dolorem, cum aceto decocta, colluto inde ore. Semen autẽ seu viride, seu etiam siccum, vitiligines in sole ex aceto perunctas emendat & exterit. Illud idem ex oxelæo perunctum, venenatorum animalium arcet iniurias. Vis quoque illi efficax contra dysenteriã, sanguinis per os reiectionem, aluíque profluuium. B Quin & bibitur in posca aut vino decoctũ, contra apum aliarúmque omnium minutarum bestiolarum aculeatos ictus. Folia verò cum olei momento morsibus ipsis atque etiam igni ambustis imponuntur. Cæterùm ipsa radix aquam addensat atque coagulat, siquidẽ trita illi ammixta, C simúlque sub dio posita fuerit.

Περὶ Ἀλκέας. Κεφ. ρξδ'.

Ἀλκέα καὶ αὕτη εἶδός ἐστιν ἀγρίας μαλάχης, ἔχουσα φύλλα ἐπεσχισμένα πρὸς τὰ τῆς ἱερᾶς βοτάνης· καυλοὺς γ'. ἢ δ'. φλοιὸν ἔχοντας κανάβει παραπλήσιον· [ἄνθος μικρὸν, ἐμφερὲς ῥόδῳ·] ῥίζας λευκὰς, πλατείας ε'. ἢ ς'. ὅσον πήχεως· αἳ τινες οἴνῳ ἢ ὕδατι πινόμεναι, δυσεντερίαν καὶ ῥήγματα ἰῶνται.

In antiquiss. codicib', teste Marcello, caput hoc cum superiore coniungitur.

Vet. his caret. Margo vetus, ὡς μαλάχης μικρότερον δὲ

Quidam mauult πλαγίας

De Alcea. Cap. CLXIIII.

ALCEA & ipsa syluestrium maluatum generi assignatur: folia verò habet diuisa, verbenacæ proxima: caules tres aut quatuor cortice cannabino vestitos: florẽ paruũ, rosæ similem: radices albas, latas, D quinque aut sex, ferè cubitales: quæ quidẽ cum vino aut aqua potæ, dysenteriæ ruptísque medentur.

Περὶ Καννάβεως ἡμέρου. Κεφ. ρξε'.

ΚΑΝΝΑΒΙΣ φυτόν ἐστιν εὔχρηστον ἐν τῷ βίῳ πρὸς τὰς τῶν εὐτονωτάτων σχοινίων πλοκάς· φύλλα φέρει παραπλήσια τῇ μελίᾳ, δυσώδη· καυλοὺς μακροὺς, κενούς· καρπὸν στρογγύλον· ὃς ἐσθιόμενος πλείων, σβέννυσι τὴν γονήν. χλωρὸς δὲ χυλισθεὶς, ἁρμόζει πρὸς τὰς τῶν ὤτων ἀλγηδόνας ἐνσταζόμενος.

Marcell. τῇ μηλέᾳ perperam.

De Cannabi satiua. Cap. CLXV.

CANNABIS satiua, plãta ad texendos funes validissimos mortalium generi perutilis, folia gerit E fraxini, sed fœdi odoris, caules proceros, inanes, semen rotundũ: quod cibo largiore genituram extinguit. Ex eo recẽte expressus succus conuenienter aurium doloribus instillatur.

Περὶ Καννάβεως ἀγρίας. Κεφ. ρξς'.

Κάνναβις ἀγρία ῥαβδία φέρει ὅμοια τοῖς τῆς ἀλθαίας, μελάντερα δὲ καὶ τραχύτερα, καὶ μικρότερα, τὸ ὕψος πήχεως· τὰ δὲ φύλλα ὅμοια τῇ ἡμέρῳ, [τραχύτερα δὲ καὶ μελάντερα.] ἄνθη ὑπέρυθρα, λυχνίδι ἐμφερῆ· σπέρμα δὲ καὶ ῥίζαν ὅμοια τῇ ἀλθαίᾳ. Δύναμιν δὲ ἔχει ἡ ῥίζα ἑφθὴ καταπλασθεῖσα, φλεγμονὰς παρηγορεῖν, καὶ οἰδήματα διαφορεῖν, [καὶ πώρους διαχεῖν.] ὁ δ' ἀπὸ ταύτης φλοιὸς, εὔθετος εἰς πλοκὴν σχοινίων.

Marc. παχύτερα legit.

V. caret.

V. non habet conclusa.

V. non legit καὶ πώρ. διαχ.

De Cannabi syluestri. Cap. CLXVI.

F Syluestris cannabis virgulas profert quales althæa, sed nigriores, asperiores ac minores, cubiti altitudinem æquantes: folijs satiuæ, asperioribus tamen ac nigrioribus: floribus lychnidis, subrubris: semine & radice althææ. Vim habet decocta radix & imposita, inflammationes leniendi, G œdemata discutiendi, & tophos articulorum dissipandi. Sed & huius cortex torquẽdis funibus est accommodatus.

De Ana-

De Anagyri. Cap. CLXVII.

ANAGYRIS siue Anagyros, quem alij acopon vocant, frutex est arboris instar, folijs & virgis vitici assimilis, perquàm grauis odore, "flore brassicæ, semine in longis corniculis renibus figura simili, versicolore ac solido, quod vua maturescente durescit. Huius folia recentia trita & imposita, œdemata reprimunt. Eadem (sicca) drachmæ pondere in passo suspiriosis potui dantur, itémque ad secundas, menses partúsque extrahendos, & contra capitis dolores in vino. Difficulter etiam parientibus amuleti instar adalligantur: sed à partu statim auferri abijcíque oportet. Radicis autem succus discutiẽdis concoquendísque adhibetur. Semen verò comestum vomitiones vehementer concitat.

De Cepæa. Cap. CLXVIII.

CEPÆA portulacæ similis est, verùm nigriora habet folia, radicémque tenuem. Folia in vino pota, stranguria & vesicæ scabie laborantibus opitulantur. Maximè verò id præstant, si cum asparagi radicum, quem myacanthon vocát, decocto bibantur.

De Alismate. Cap. CLXIX.

ALISMA aliqui alceam, alij damasonium, alij acyron, alij denique lyron appellát. Folia ei plantaginis, sed angustiora, conuexáque in terram. Caulis tenuis, simplex, cubito altior, thyrsi specie, habens in cacumine capitula. Flores tenues, candidi, pallescentes, radices vt veratri nigri, tenues, odoratæ, acres ac modicè pingues: aquosos amat tractus. Radix drachmæ vnius aut alterius pondere in vino pota his conuenit qui leporem marinum deuorarunt: iisque qui à rana rubeta demorsi sunt, vt & ijs qui opium hauserunt. Valet & contra tormina ac dysenteriam, per se aut cum pari modo seminis dauci potui data. Sed & conuulsis & contra vuluæ vitia prodest. At herba ipsa sistit aluum, ac mẽses ciet, tumoréesque imposita mitigat.

A Περὶ Ἀναγύριος. Κεφ. ρξζ'.

ΑΝΑΓΥΡΙΣ, ἣν οἱ δὲ ἀνάγυρον, οἱ δὲ "ἄκοπον καλοῦσι, θάμνος ἐστὶ φύλλοις καὶ ταῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ, δενδρώδης, βαρύοσμος ἰσχυρῶς· ἄνθος κράμβῃ ἐοικός· καρπὸς ἐν κερατίοις μακροῖς, τὸ σχῆμα νεφρῶν, ποικίλος, "στερεός· σκληρύνεται δὲ περὶ τὸν τῆς σταφυλῆς πεπασμόν. Ταύτης τὰ φύλλα ἁπαλά, λεῖα καταπλασσόμενα, οἰδήματα στέλλει. ποτίζεται δὲ < πλῆθος ἐν γλυκεῖ πρὸς ἆσθμα καὶ ἐκβολὴν χορίου, καὶ ἐμμηνίων καὶ ἐμβρύου· πρὸς δὲ *κεφαλαλγίαν, σὺν οἴνῳ. ἔστι δὲ περίαπτον δυστοκούσαις· δεῖ μέντοι μετὰ τὸ ἀποτεκεῖν εὐθέως ἀφελόντα ῥίπτειν τὸ περίαμμα. τῆς δὲ ῥίζης *χυλὸς διαφορεῖ καὶ ἐκπέσσει. ὁ δὲ καρπὸς ἐσθιόμενος, ἔμετον συντόνως κινεῖ.

Orib. ἄλκοπον

V. στρογγύλος. alius, ἢ καὶ ὑποστρογγύλος

Περὶ Κηπαίας. Κεφ. ρξη'.

ΚΗΠΑΙΑ ἐμφερής ἐστιν ἀνδράχνῃ, μελάντερα δὲ ἔχει τὰ φύλλα, ῥίζαν λεπτήν. βοηθεῖ δὲ τὰ φύλλα πινόμενα σὺν οἴνῳ, στραγγουριῶσι καὶ ψωριῶσι τὴν κύστιν· μάλιστα δὲ ποιεῖ, μετὰ ἑψήματος ῥιζῶν ἀσπαράγου τοῦ μυακάνθου καλουμένου *πινομένη.

Περὶ Ἀλίσματος. Κεφ. ρξθ'.

ΑΛΙΣΜΑ, ἣν οἱ δὲ ἀλκέαν, οἱ δὲ δαμασώνιον, οἱ δὲ ἄκυρον, οἱ δὲ λύρον καλοῦσι· φύλλα μὲν ἔχει "ἀρνογλώσσῳ ὅμοια, στενότερα δὲ καὶ ἐπὶ γῆν κλώμενα· καυλὸς δὲ "λεπτός, ἁπλοῦς ὑπὲρ πῆχυν ἔχων κεφάλια, θυρσοειδής· ἄνθη λεπτά, λευκά, ὕπωχρα· "ῥίζαι ὡς μέλανος ἐλλεβόρου λεπταί, εὐώδεις, δριμεῖαι, ὑπολίπαροι· ὑδρηλὰ δὲ φιλεῖ χωρία. Ἁρμόζει ἡ ῥίζα πινομένη σὺν οἴνῳ, ὅσον < α'. ἢ β'. τοῖς λαγωὸν βεβρωκόσι θαλάσσιον, καὶ τοῖς ὑπὸ φρύνου δηχθεῖσι, καὶ τοῖς ὄπιον πεπωκόσι· *καὶ στρόφοις καὶ δυσεντερίαις καθ' αὐτήν, καὶ σὺν ἴσῳ δαύκῳ πινομένη. ἁρμόζει καὶ σπάσμασι, καὶ πρὸς τὰ ὑστερικὰ πάθη. ἡ δὲ πόα ἵστησι κοιλίαν, καὶ ἔμμηνα ἄγει, καὶ οἰδήματα καταπλασθεῖσα πραΰνει.

V. addit εὔοσμα

V. λιτός, στενότερος, ἁπλοῦς περὶ πῆχυν.

V. caret.

Περὶ Ὀνοβρυχίδος. Κεφ. ρο.

Ald. in nothis inserit τὰ μὲν

Ald. μικρὰ

V. μικρὸν legit.

ΟΝΟΒΡΥΧΙΣ φύλλα ἔχει ὅμοια φακῷ, μικροῦ μακρότερα· καυλὸν σπιθαμιαῖον· ἄνθος φοινικοῦν, μικρὰν ῥίζαν. φύεται ἐν καθύγροις καὶ ἀργοῖς τόποις.

Δύναμιν δὲ ἔχει ἡ πόα ἐπιπλασθεῖσα λεία, διαχεῖν φύματα· μετ' οἴνου δὲ πινομένη, στραγγουρίαν θεραπεύει· σὺν ἐλαίῳ δὲ ἀλειφομένη, ἱδρῶτας κινεῖ.

V. codex hæc rutæ syluestri adscribit.

V. addit ἄλλοι.

Περὶ Ὑπερικοῦ. Κεφ. ροα.

ΥΠΕΡΙΚΟΝ, οἱ δὲ ἀνδρόσαιμον, οἱ δὲ κόριον, οἱ δὲ χαμαίπιτυν, διὰ τὸ τὸ περὶ τὸ σπέρμα ὀσμὴν ἐοικέναι πιτύϊνῃ ῥητίνῃ· φύλλα ἔχει πηγάνῳ ὅμοια. θάμνος φρυγανώδης, σπιθαμιαῖος, ὑπέρυθρος· ἄνθος ἔχων μήλινον ὅ, * διατριβὲν ἐν * τοῖς δακτύλοις αἱματῶδη ἀποδίδωσι χυλὸν ἐκκρίνει, ὅθεν καὶ ἀνδρόσαιμον ἐκλήθη *· κλωνάρια ὑπόδασέα, στρογγυλομήκη ἐν ᾧ περιφερῆ, μέγεθος κριθῆς, ἐν * ᾧ σπέρμα μέλαν ῥητίνης ὄζον. φύεται δὲ ἐν ἐργασίμοις καὶ τραχέσι τόποις.

Al. παραπλήσια
V. θαμνίον φρυγανοειδὲς

V. quidam tota hac periodo caret, vt & Orib. vsque ad κλωνάρια
V. κλώνιον ὑπόδασυ
V. ὅμοιον κριθῇ

Al. χερσαίοις

Δύναμιν δὲ ἔχει διουρητικήν, καὶ ἐμμήνων ἀγωγόν, προστιθέμενον· τεταρταίους δὲ καὶ τριταίους ἀπαλλάσσει, μετ' οἴνου πινόμενον· θεραπεύει δὲ ἰσχιάδας ἐπὶ ἡμέρας μ'. τὸ σπέρμα πινόμενον. καὶ τὰ φύλλα σὺν τῷ σπέρματι καταπλαττόμενα, κατακαύματα ἰᾶται.

Al. τεταρταίου καὶ παλλακτικὴν

V. quidam carët. Margo habebat, τὸ ὑπερικὸν ἰσοδυνάμον τῷ ἀνδροσαίμῳ καὶ τῷ ἀγρίῳ πηγάνῳ.

Περὶ Ἀσκύρου. Κεφ. ροβ.

Ἄσκυρον, οἱ δὲ ἀσκυροειδές, οἱ δὲ ἀνδρόσαιμον, καὶ τοῦτο εἶδός ἐστιν ὑπερικοῦ, μεγέθει διαφέρον, κλωσὶ μείζον, φρυγανωδέστερον δὲ καὶ πεφοινιγμένον τοῖς φύλλοις λεπτοῖς· ἄνθη δὲ μήλινα φέρει· καρπὸν δὲ ὅμοιον ὑπερικῷ, ὄζοντα ῥητίνης, καὶ ἐν τῷ διατρίβεσθαι οἱονεὶ αἱμάσσοντα τοὺς δακτύλους, ὡς διὰ τοῦτο ἀνδρόσαιμον καλεῖσθαι. ποιεῖ δὲ ὁ τούτου καρπὸς πρὸς ἰσχιάδας, πινόμενος μετὰ ὑδρομέλιτος κοτυλῶν β'. ἄγει γὰρ χολώδη κόπρια πολλά. συνεχῶς δὲ διδόναι χρή, ἄχρις ἂν ὑγιασθῶσι. ποιεῖ καὶ πρὸς πυρίκαυστα ἐπιπλασθείς.

V. hanc vocem delet, vti & μεῖζον.

Ald. codex addit, τὸ σπέρμα

Marc. legit κυάθων

V. addit καὶ

Περὶ Ἀνδροσαίμου. Κεφ. ρογ.

Ἀνδρόσαιμον, οἱ δὲ Διονυσιάδα, οἱ δὲ καὶ τοῦτο ἄσκυρον καλοῦσι. διαφέρει δὲ τοῦ ὑπερικοῦ καὶ τοῦ ἀσκύρου, θάμνος ὢν λεπτόκαρφος, φρυγανώδης, πεφοινιγμένος τὰ ῥαβδία·

A *De Onobrychide. Cap. CLXX.*

ONOBRYCHIS folia habet lentis ferè lõgiora, caulem dodrantalem, florem puniceũ, radicẽ exiguam. Nascitur in humentibus & incultis locis. Herba si trita illinatur, panos discutiendi vim habet. Cum vino autẽ pota, stranguriæ B medetur, & inuncta ex oleo sudores mouet.

De Hyperico. Cap. CLXXI.

HYPERICVM alij androsæmõ, alij corion appellant: sunt qui & chamæpityn, quoniam semen odore pineam resinam imitatur. Frutex est surculaceus, dodrantalis, rubescens, folijs rutę: flore verò luteo, C violæ albæ simili, qui quidem digitis tritus sanguineũ succum remittit: qua ex causa etiã androsæmon appellatum est: calyculis subhirsutis, in rotũdo oblongis, hordei magnitudine, in quibus semẽ nigrum & resinosi odoris. Gignitur locis cultis & asperis. Vrinam cit, subditúmque menses trahit: ex vino au- D tem bibitum, tertianis quartanísq; liberat. Medetur & semẽ ischiadicis, quadraginta diebus haustũ. Sed & folijs cum semine impositis ambusta sanantur.

De Ascyro. Cap. CLXXII.

Ascyron siue Ascyroïdes, alijs androsæmon, etiã hyperici genus est, E magnitudine distans: siquidem ramos habet maiores, ac fruticosius est: folijs interim tenuibus, puniceo colore rubẽtibus: flores luteos profert, & fructũ hyperico similem ac resinosi odoris: cuius attritu digiti veluti cruentãtur: qua de causa androsæmon (quasi humanũ sangui- F nem dixeris) vocauere. Est & huius fructus ad ischiadicos efficax potus in hydromelitis heminis duabus. Nã biliosa recremẽta plurima aluo detrahit. Sed dari frequẽtiùs oportet, donec sanitati restituti fuerint. Illinitur & ambustis efficaciter.

pl. drachmis duabus

De Androsæmo. Cap. CLXXIII.

G Androsæmõ, quod alij Dionysiadã, alij etiã ascyron appellãt, ab hyperico & ascyro differt: frutex verò est ramulis gracilibus, surculosus, virgultis puniceo colore rubẽtibus,

folijs triplo quadruplóve maioribus quàm sint rutæ folia, quæque trita vinoso succo manant. Habet autem alas in cacumine complures, vtrinq; expansas pinnatásque: circa quas flosculi pusilli lutei, & in calyculis semẽ papaueris nigri, velut punctis notulísve distinctum. Huius coma contrita resinosum odorem reddit. Sed & semen tritum drachmis duabus potum, excrementa biliosa trahit: prodest verò maximè ischiadicis, verùm à purgatione aquam insuper sorbere oportet. Cæterùm illita herba medetur ambustis, & sanguinem cohibet.

A φύλλα τριπλάσιονα "ἢ τετραπλάσιονα" τοῦ πηγάνου, ἃ τριφθέντα οἰνώδη χυλὸν ἀφίησι· μασχάλας δ' ἔχει πλείονας ἐπ' ἄκρῳ τεταρσωμένας· περὶ ἃς ἀνθήλια μικρὰ, μήλινα· καρπὸς ἐν κάλυκι, "ὅμοιος" τῷ τῆς μελαίνης μήκωνος, οἱονεὶ κατάγραφος". ἀνατριφθεῖσα δὲ ἡ κόμη, ῥητινώδη ὀσμὴν ἀποδίδωσι. B Καὶ τούτου ὁ καρπὸς λεῖος δυοῖν < ὁλκὴ ποθεὶς, ἄγει χολώδη κόπρια· θεραπεύει δὲ μάλιστα ἰσχιάδας· δεῖ δὲ μετὰ τὴν κάθαρσιν ὕδατος ἐπιρροφεῖν. καὶ πυρίκαυστα δὲ ἡ πόα καταπλασθεῖσα ἰᾶται. καὶ "αἷμα ἐπέχει.

V. delet.

Dod. legit ὁμοίως

Quidam addit αἱμάτων

V. νομὰς substituit, ac ita quoque legit Laguna.

De Cori. Cap. CLXXIIII.

C

Coris, quod aliqui etiam hypericum appellant, frutex est folio ericæ, sed minore, pinguiore & rubente, dodrantalis, ori gratus, acris & odoratus. Huius semen potum vrinas mensésque ciet. Est & auxilio ex vino potum à phalangio demorsis, ischiadicis & opisthotonicis: itémque rigoribus addito pipere. Sed & eo vtiliter opisthotonici cum oleo perunguntur. [Radix in vino decocta potáque, resolutis egregiè opitulari creditur: sed laborantem inter potandum bene circumquaque operiri decet: siquidem corpore toto sudorem ciet, qua ex re agilitas pristina recuperatur.]

Περὶ Κόρεως. Κεφ. ροδ'.

Κόρις, ἣν δὲ καὶ τοῦτο ὑπερικὸν καλοῦσι, φύλλον ἔχει παραπλήσιον τῷ τῆς ἐρείκης, μικρότερον δὲ καὶ λιπαρώτερον καὶ ἐρυθρόν. θάμνος δ' ἐστὶ σπιθαμιαῖος, εὔστομος, δριμὺς καὶ εὐώδης. Τούτου ὁ καρπὸς πινόμενος, οὖρα καὶ καταμήνια ἄγει. D βοηθεῖ καὶ φαλαγγιοδήκτοις, ἰσχιαδικοῖς τε καὶ ὀπισθοτονικοῖς, σὺν οἴνῳ πινόμενος· πρὸς δὲ ῥίγη σὺν πεπέρει. ἐπὶ δὲ ὀπισθοτονικῶν καὶ σύγχρισμα ἐστὶ σὺν ἐλαίῳ ἁρμόδιον. [ἡ δὲ ῥίζα τούτου σὺν οἴνῳ ἑψηθεῖσα καὶ ποθεῖσα παρέτοις καλῶς βοηθεῖν "πιστεύεται" δεῖ δὲ τὸν πάσχοντα ἐν E τῷ πίνειν περισκέπεσθαι καλῶς· ἱδροῖ γὰρ ὅλον τὸ σῶμα καὶ τὴν εὐκινησίαν" ἐκ τούτου λαμβάνει.]

Conclusa habet Ald. cod. in nothis: eadẽ Goupylus in vtroq; vetusto codice reperit in capitis calce.

Aliàs πεπίστευται

Al. οὕτως.

De Chamæpity, seu abiga. Cap. CLXXV.

Chamæpitys, quã qui Pontum incolũt, holocyrton, Athenienses Ioniam, EVboici sideritin vocant, herba est quæ humi serpit, incuruæ similis, folijs semperuiui minoris, at multò tenuioribus pinguioribúsque & hirsutis, circa ramulos densis, odore pinus: floribus tenuibus, luteis, vel candidis: radice cichorij. Huius folia septem diebus in vino pota regio morbo medentur: & quadraginta diebus ex hydromelite, ischiadẽ sanant. Dantur & hepaticis & vrinæ difficultate laborantibus, ac peculiariter nephriticis: torminosis etiã prosunt. Vtũtur & ea herba Heracleæ Pon-

Περὶ Χαμαιπίτυος. Κεφ. ροε'.

Χαμαίπιτυς, ἣν "οἱ ἐν Πόντῳ ὁλόκυρον καλοῦσι, Ἀθηναῖοι Ἰωνίαν, ἐν δὲ Εὐβοίᾳ σιδηρῖτιν, πόα ἐστὶ ἕρπουσα ἐπὶ F γῆς, ἐπίκυρτος· φύλλα δὲ ἔχει ὅμοια ἀειζώῳ μικρῷ, λεπτότερα δὲ "πολλῷ καὶ λιπαρώτερα καὶ δασέα, πυκνὰ περὶ τοὺς κλάδους, ὀσμὴν ἔχοντα πίτυος· ἄνθη λεπτὰ, μήλινα, "ἢ λευκά· ῥίζαν ὡς κιχωρίου. Ταύτης τὰ φύλλα πινόμενα μετ' οἴνου ἐπὶ ἡμέρας ζ'. ἴκτερον θεραπεύει· ἐπὶ δὲ μ'. G ἰσχιάδα θεραπεύει μεθ' ὑδρομέλιτος πινόμενα· δίδοται καὶ ἡπατικοῖς καὶ δυσουρικοῖς καὶ νεφριτικοῖς ἰδίως, ἁρμόζοντα καὶ στροφουμένοις. χρῶνται δ' αὐτῇ καὶ οἱ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ.

Ald. ἔνιοι

V. caret. Orib. interpres vertit, paulò.

V. caret. Expungit etiam Marcellus.

λικῇ, ὡς ἀντιδότῳ, πρὸς ἀκόνιτον ποτίζοντες τὸ ἀφέψημα. καταπλάσσεται δὲ πρὸς τὰ προειρημένα μετὰ ἀλφίτων δεδευμένων τῷ ἀφεψήματι τῆς πόας· λεανθεῖσα δὲ σὺν σύκοις καὶ ἀντὶ καταποτίου διδομένη, μαλάσσει κοιλίαν· μετὰ μέλιτος δὲ καὶ λεπίδος καὶ ῥητίνης ἀναληφθεῖσα, καθαίρει· ἄγει δὲ καὶ τὰ ἀπὸ ὑστέρας, προστεθεῖσα σὺν μέλιτι. Διαφορεῖ δὲ καὶ σκληρίας μαστῶν, καὶ τραύματα κολλᾷ· καὶ ἕρπητας ἐπέχει μετὰ μέλιτος καταπλασσομένη.

A tiecæ incolæ, velut antidoto, contra aconitum decoctum ipsius propinantes. Porrò ad antedicta quoque vitia cum polenta iure decocti subacta imponitur. Contrita verò cum ficubus & pilularum instar exhibita, aluum emollit. At excepta melle cum æris squama & resina, etiam purgat. B Extrahit & quæ in vtero morantur cum melle subdita in pesso. Mammarum quoque duritias discutit, vulneráque glutinat. Herpetas denique illita cum melle cohibet.

Περὶ ἑτέρας χαμαιπίτυος.

Κεφ. ροϛʹ.

C Ἔστι καὶ ἑτέρα χαμαίπιτυς, κλάδους ἔχουσα πηχυαίους, ἀγκυροειδεῖς, λεπτοκάρφους· κόμην δὲ ἐοικυῖαν τῇ πρὸ αὐτῆς, καὶ ἄνθος λευκόν· σπέρμα δὲ μέλαν· ὄζει δὲ καὶ αὐτὴ πίτυος. Καὶ τρίτη τίς ἐστιν ἄρρην καλουμένη· ἔστι δὲ βοτάνιον * λεῖον, ἔχον φυλλάρια λεπτὰ, λευκὰ, δασέα· καυλὸν δὲ τραχὺν, λευκόν· ἀνθύλλια μήλινα· σπερμάτιον δὲ παρὰ τὰς μασχάλας. ὄζει δὲ καὶ τοῦτο πίτυος. Δύναμιν δὲ ἔχουσι καὶ αὗται ὁμοίαν τῇ προειρημένῃ, οὐ μὴν οὕτω πρακτικήν.

Alter παχὺν, quam lectionem probat Hermolaus. Oribasij interpres hirsutū vertit.

Τέλος τοῦ λόγου τρίτου.

De altera Chamæpity.

Cap. CLXXVI.

C Est & altera Chamæpitys, ramis cubitalibus, in anchoræ speciem incuruatis, gracilibus: coma supradictæ, flore candido, ac semine nigro. Sed & hæc pinum redolet. Additur & tertia quæ mascula nominatur. Est autem herbula læuis, foliolis tenuibus, albis, pilosis: caule scabro, candido: pu- D sillis floribus luteis, ac minuto semine iuxta alas. Resipit & hæc pinum. Vtraque porrò vim antedictæ similem obtinet, at non perinde efficacem.


Tertij libri finis.



PEDACII DIOSCORIDIS ANAzarbæi De medica materia Liber quartus.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑζαρβέως Περὶ ὕλης ἰατρικῆς βιβλίον τέταρτον.


IANO ANTONIO SARACENO LVGDVNÆO INTERPRETE.



QVONIAM tribus libris prioribus, amantissime Aree, de aromatis, oleis, vnguentis, arboribus, animalibus, cerealibus, oleribus, radicibus, succis, herbis ac seminibus, egimus: in hoc quarto de ijs quæ restant herbis atque radicibus, disseremus.

De Vettonica. Cap. I.

CESTRON, quod psychrotrophon vocitatur, quoniam frigidissimis in locis reperiatur, Romani Vetonicam seu rosmarinum appellant: herba est caulem proferés tenuem, cubiti altitudine, aut etiá maiorem, quadrangulum: folia longa, mollia, quernis similia, in ambitu incisuris diuisa, boni odoris, ac prope radicem maiora: semen in summitate caulium, thymbræ modo spicatum inest. Decerpta huius folia siccari oportet: quippe quorú sit etiam maior & frequentior vsus. Radices verò subsunt tenues, ceu ellebori: quę quidem ex hydromelite potæ, pituitosam vomitionem euocant. At folia ad conuulsa, rupta, vuluæq; vitia & strágulationes drachmæ pondere ex aqua mulsa potui dantur: & contra venenatarum bestiarum morsus, drachmis tribus ex vini heminis duabus: sed & herba earundem morsibus vtiliter imponitur: itidémque aduersus venena drachmæ pondere ex vino pota prodest. Quin & ei qui ipsam in potu præsumpserit, haustum deinde lethale medicamentum minimè nociturum est. Vrinas prætereà ciet, aluúmque subducit. Medetur & comitialibus atque insanis ex aqua pota: hepaticis verò ac sple-



A Ἐν τοῖς περὶ τούτου τρισὶ βιβλίοις, φίλτατε Ἄρειε, παραδόντες περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ ζώων καὶ σιτηρῶν καὶ λαχάνων καὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτανῶν καὶ σπερμάτων· ἐν τούτῳ τετάρτῳ ὄντι, περὶ τῶν
B λειπομένων βοτανῶν καὶ ῥιζῶν διαλεξόμεθα.

Περὶ Κέστρου. Κεφ. α΄.

ΚΕΣΤΡΟΝ τὸ καλούμενον ψυχότροφον, ἐπειδὴ ἐν τοῖς ψυχροτάτοις εὑρίσκεται τόποις· οἱ Ῥωμαῖοι "βετονίκην καλοῦσιν, ἢ ῥοσμαρῖνουμ· "πόα ἐστὶ καυλὸν ἔχουσα λεπτὸν πήχεως τὸ ὕψος, ἢ καὶ μείζονα, τετρά-
C γωνον· φύλλα μακρὰ, "μαλακὰ, ὅμοια δρυῒ, τὴν περιφέρειαν ἐσχισμένα, "εὐώδη, μείζονα δὲ τὰ πρὸς τῇ ῥίζῃ". ἐπ' ἄκρῳ δὲ τῶν καυλῶν ἔνεστι τὸ σπέρμα "ἐσταχυωμένον ὥσπερ θύμβρας. ταύτης τὰ φύλλα δεῖ συλλέγοντας ξηραίνειν· ὧν ἐστι καὶ ἡ πλείων χρῆσις. ῥίζαι δ' ὕπεισι λεπταὶ ὡς ἐλλεβόρου,
D αἵτινες "φλεγματώδη προσκαλοῦσιν ἔμετον, μεθ' ὑδρομέλιτος πινόμεναι. τῶν δὲ φύλλων * διδόναι πρὸς τὰ σπάσματα, ῥήγματα, καὶ πρὸς τὰς ἐν ὑστέρᾳ διαθέσεις, καὶ πνίγας ὑστερικὰς < α. ὁλκὴ μεθ' ὑδρομέλιτος "* πινόμεναι. θηριοδήκτοις δὲ ὁλκαὶ γ΄. μετ' οἴνου κοτυλῶν β΄. καταπλασσομένη δὲ ἡ πόα, ὠφε-
E λεῖ τοὺς θηριοδήκτους, καὶ πρὸς τὰ θανάσιμα ὁλκὴ μετ' οἴνου ποθεῖσα ἁρμόζει· ἐὰν δέ τις προπίῃ, οὐδὲν βλαβήσεται λαβὼν φάρμακον θανάσιμον· ἔστι δὲ οὐρητικὴ, κοιλίας τε ὑποβιβαστική· θεραπεύει δὲ καὶ ἐπιλήπτους, καὶ μαινομένους, μεθ' ὕδατος πινομένη, καὶ ἡπατικούς· σπλη-

Al. κεστονικὴν.

V. meliùs θάμνος. Samb.

V. omittit, non malè. Samb.

V. ἰνώδη. Mar. εὐώδη καὶ ἰνώδη

Margo addit ἄνθος λευκοπόρφυρον.

Dalech. ἐσταχυωμένων scil. καυλῶν.

V. legit φλεγματώδη κινοῦσι, πινόμεναι μεθ' ὑδρομέλιτος.

V. ἢ ὕδατος addit.

V. delet. Al. μετ᾽ ὄξους καὶ μέλιτος.

νικοῖς* δὲ, μετ᾽ ὀξυμέλιτος ὁλκὴ < α΄. ἐπιποθεῖσα· ποιεῖ δὲ καὶ πέψιν, ἐάν τις μετὰ τὸ δεῖπνον αὐτὴν κυάμου μέγεθος καταπίῃ μετὰ μέλιτος ἑφθοῦ. ὁμοίως καὶ ὀξυρεγμιῶσι δίδοται· στομαχικοῖς δὲ διαμασᾶσθαι καὶ καταπίνειν τὸν χυλὸν, εἶτ᾽ ἐπιρροφᾶν οἶνον κεκραμένον. δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς ὁλκὴ τριωβόλου μετὰ κράματος κυάθου ἑνὸς χλιαροῦ· ἰσχιαδικοῖς τε μεθ᾽ ὕδατος καὶ νεφριτικοῖς καὶ κύστιν ἀλγοῦσιν· ὑδρωπικοῖς δὲ < β΄. μεθ᾽ ὑδρομέλιτος, πυρέσσουσιν· ἀπυρέτοις δὲ, σὺν οἰνομέλιτι· ἰκτεριῶντάς τε καθίστησι, καὶ καταμήνια ἄγει ὁλκὴ < α΄. μετ᾽ οἴνου πινομένη· κοιλίαν δὲ < δ΄. ποθεῖσαι καθαίρουσι μεθ᾽ ὑδρομέλιτος κυάθων δέκα. ποιεῖ καὶ πρὸς φθισικοὺς, ἐμπυϊκοὺς, μετὰ μέλιτος. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα ξηρὰ λεῖα ἐν κεραμέῳ ἀγγείῳ.

V. αἱμοπτοϊκούς.

Περὶ Βρεττανικῆς. Κεφ. β΄.

V. caret. V. ὅμοια. V. δασεῖα.

ΒΡΕΤΑΝΙΚΗ ἢ Βετλονική, πόα ἐστὶν ἔχουσα φύλλα ἐμφερῆ λαπάθῳ ἀγρίῳ, μελάντερα δὲ καὶ δασύτερα, στύφοντα ἐν τῇ γεύσει· καυλὸν δὲ ἀνίησιν οὐ μέγαν· ῥίζαν λεπτὴν καὶ βραχεῖαν. χυλίζεται δὲ αὐτῆς τὰ φύλλα, καὶ ἐν ἡλίῳ ἢ πυρὶ συστρέφεται. Δύναμιν δὲ ἔχει στυπτικὴν, ἰδίως ἁρμόζουσαν πρὸς τὰς ἐν στόματι καὶ παρισθμίοις νομάς. ποιεῖ δὲ καὶ πρὸς τὰ λοιπὰ ὅσα στύψεως χρήζει.

Περὶ Λυσιμαχίου. Κεφ. γ΄.

ΛΥΣΙΜΑΧΙΟΝ, οἱ δὲ λύτρον καλοῦσι, καυλοὺς ἀνίησι πηχυαίους ἢ καὶ μείζονας, λεπτοὺς, θαμνώδεις, ὧν παρὰ τὰ γόνατα φύλλων λεπτῶν ἐκφύσεις, παραπλησίων τοῖς τῆς ἰτέας, στυφόντων ἐν τῇ γεύσει· ἄνθος πυρρὸν ἢ χρυσοειδές. φύεται ἐν ἑλώδεσι τόποις, καὶ παρὰ τὰ ὕδατα. Ἁρμόζει δ᾽ ὁ χυλὸς τῶν φύλλων στυπτικὸς ὢν, πρὸς αἱμάτων ἀναγωγὰς, καὶ δυσεντερίας, πόμα τε ἔγκλυσμα· ῥοῦν τε γυναικεῖον ἵστησιν ἐν προσθέτῳ· καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας ἐμφερομένη ἡ πόα ἁρμόζει. ἔστι δὲ καὶ τραυματικὴ καὶ ἴσχαιμος· θυμιαθεῖσα δὲ δριμύτατον ἔχει τὸν καπνόν.

V. ἄνθη χρυσοειδῆ ὡς ἐν σκιαδίῳ.

Marc. legit ἔγχυσμα.

V. Epit. καὶ ὁ χυλὸς μᾶλλον.

A neticis, drachmæ pondere in aceto mulso. Concoctionem quoque facit, si quis ipsam à cœna, fabæ magnitudine cum melle cocto deuorarit. Simili modo & acidum eructantibus exhibetur. Stomachicis autem eam manducare, succúmque deuorare, deindéq; vinum dilutū insuper sorbere proderit. Da- B tur & sanguinem excreantibus, obolis tribus in vini diluti egelidi cyatho vno: itémque ischiadicis, nephriticis, & à vesica dolentibus, ex aqua: hydropicis autem binis drachmis, ex aqua mulsa, si quidem febricitent: sin aliter, ex mulso. Regio quoque morbo laborantes recreat, ac mēses pellit, drachmę pon- C dere in vino pota: drachmis verò quatuor bibita in aquæ mulsæ cyathis decem, aluum purgat. Est & phthisicis ac empyicis auxilio cum melle. Cæterùm folia arefacta tritáque in fictili vase recōdi oportet.

De Britannica. Cap. II.

D BRITANNICA seu Vettonica, herba est folijs syluestris lapathi, at nigrioribus ac pilosioribus, gustu adstringentibus: caulē verò promit non ita magnum: radice autem tenui breuíque nititur. Folijs exprimitur succus, qui sole aut igni cogitur & inspissatur. Vim porrò habet astrictoriā, priuatim oris ac ton- E sillarum depascētibus vlceribus accommodatam. Valet etiam ad reliqua, quibus adstrictione opus est.

De Lysimachia. Cap. III.

LYSIMACHIA, quā aliqui lytron appellant, caules emittit cubitales aut etiam altiores, tenues, fruticosos, à quorum geniculis folia F prodeunt salignis similia, gustu astringentia: flos est fuluus aureúsve. Nascitur in palustribus & secus aquas. Foliorum succus, qua pollet astringendi vi, sanguinis reiectiones supprimit: valet etiam ad dysenteriam, seu potui datus, seu etiam clystere infusus: fluorem quoque muliebrem sistit, subditus in pesso. Sed G & herba sanguinis è naribus profluuio subuenit, iisdem indita. Est & vulneraria, sanguinémq; supprimit. Acerrimū verò nidorē suffita red-

dit, adeò vt & serpentes abigat, & muscas enecet.

De Polygono mare. Cap. IIII.

POLYGONON mas, Latinis sanguinaria seu sanguinalis, herba est quæ ramos habet exiles, teneros, numerosos, geniculis intersèptos, qui graminis instar humi serpunt, neque à terra attolluntur: folia rutæ, sed longiora molliorâque, semine sub singulis folijs turgescẽte, vnde & marem appellari volũt: flos ei candidus aut puniceus. Vis epoti succi, astringere & refrigerare: prodest cruẽtis excreationibus, alui fluxionibus, cholera & stranguria laborantibus: nam euidenter vrinas ciet. Cum vino potus venenatorum morsibus auxiliatur, ac febriũ circuitus finit, si hora vna ante accessionẽ assumatur. Sistit & subditus fluorem muliebrẽ, ac auribus dolentibus purulentísve vtiliter instillatur. Cum vino autem decoctus adiecto melle, facit eximiè ad genitalium vlcera. Folia verò stomachi feruori, sanguinis reiectioni, herpetibus, erysipelatis, inflammationibus, œdematis & recentibus vulneribus imponuntur.

De Polygono fœmina. Cap. V.

Polygonon fœmina frutex est exiguus, vno caule præditus, tener & arundini similis, geniculis densus: quorum alia alijs tubarũ modo inseruntur infarciuntúrve. Ipsos verò geniculorũ articulos cingunt in orbem apices, foliolis pini similes: radix superuacua. Nascitur in aquosis. Huic vis astringens ac refrigerans, ad eadem valens, ad quę antedicta: sed inefficacior.

De Polygonato. Cap. VI.

POLYGONATVM in montibus nascitur, frutex cubito altior, folijs lauri, at latioribus, & læuioribus, sapore quodammodo malum cotoneum aut punicum redolentibus, siquidem gustanti astrictũ saporem resipiunt: flores autẽ per singulos foliorum exortus promit candidos, folijs ipsis numerosiores, incœpta à radice supputatione: radicem verò habet albam, mollem, longam, crebris nodis ceu geniculis cinctam, den-

A ὥς τε καὶ ἑρπετὰ διώκειν, καὶ μύας ἀποκλείειν.

Περὶ Πολυγόνου ἄρρενος. Κεφ. δʹ.

ΠΟΛΥΓΟΝΟΝ ἄρρεν πόα ἐστὶ κλῶνας ἔχουσα λεπτούς, τρυφερούς, πολλούς, γόνασι περιειλημμένους, ἕρποντας ἐπὶ τῆς γῆς "ὥσπερ ἄγρωστις· φύλλα δὲ πηγανίου ὅμοια," ἐπιμηκέστερα δὲ καὶ μαλακώ- (V. caret. — Sic alius codex & Orib. at vulg. exempl. ἐπιεικέστερα)
B τερα· ἔχει δὲ καρπὸν "παρ' ἕκαστον φύλλον· ὅθεν καὶ ἄρρεν καλεῖται·" ἄνθος δὲ λευκὸν ἢ φοινικοῦν. (V. caret his παρ' ἕκ. φύλλ.) Δύναμιν δὲ ἔχει "στυπτικήν, ψυκτικήν" ὁ χυλὸς πινόμενος· ἁρμόζει δὲ αἱμοπτοϊκοῖς, καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι, χολερικοῖς τε καὶ στραγγουριῶσιν· ἄγει γὰρ οὖρα ἐναργῶς. βοηθεῖ καὶ θηριοδή- (V. non agnoscit. — Al. ὁ δὲ χυλὸς πινόμενος ἁρμόζει αἱμοπτοϊκοῖς &c.)
C κτοις μετ' οἴνου πινόμενος, καὶ πρὸς περιόδους, πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας λαμβανόμενος. ἵστησι δὲ καὶ ῥοῦν γυναικεῖον προστεθεὶς, καὶ πρὸς ὠταλγίας καὶ πυορροίας ἐνσταζόμενος ἁρμόζει. συνεψηθεὶς δὲ οἴνῳ καὶ μέλι προσλαβών, ἄκρως ποιεῖ πρὸς τὰ ἐν αἰδοίοις ἕλκη. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς
D στομάχου ἔγκαυσιν, καὶ αἵματος ἀναγωγὴν καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ φλεγμονάς, καὶ οἰδήματα, καὶ τραύματα πρόσφατα.

Περὶ Πολυγόνου θήλεως. Κεφ. εʹ.

Πολύγονον θῆλυ "θαμνίον ἐστὶ μονό- (Videtur Orib. interpres legisse, θαμνίον ἐστὶ πολύκλωνον οὗ ὁ καυλὸς τρυφερὸς, καλαμοειδής. Al. μαλακοειδής)
E κλωνον, τρυφερόν," καλαμοειδές, γόνατα συνεχῆ ἔχον ἐγκείμενα ἀλλήλοις ὥσπερ σάλπιγγος· καὶ περὶ τοῖς γόνασιν ἐν κύκλῳ ἐξοχαὶ πίτυος, φυλλαρίοις ἐοικυῖαι. ῥίζα ἀχρεῖα· φύεται παρὰ τοῖς ὑδατώδεσι.

Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν, ποιοῦσαν τὰ αὐτὰ τῷ πρὸ αὐτοῦ, ὅτι μὴ ἀσθενέστερον.
F

Περὶ Πολυγονάτου. Κεφ. ϛʹ.

ΠΟΛΥΓΟΝΑΤΟΝ φύεται ἐν ὄρεσι, θάμνος μείζων πήχεως· φύλλα ἔχων ὅμοια δάφνῃ, πλατύτερα δὲ καὶ λειότερα. γευσαμένῳ ὅμοιόν τι μήλῳ κυδωνίῳ ἢ ῥοιᾷ. μετὰ στύψεως γὰρ προσβάλλει. καθ' ἑκάστην δὲ
G ἔκφυσιν τῶν φύλλων ἄνθη λευκά, τῷ πλήθει ὑπερέχοντα τῶν φύλλων τοῦ ἀριθμοῦ ἀπὸ τῆς ῥίζης γινομένου· ῥίζαν δὲ λευκήν, μαλακήν, μακράν, πολυγόνατον, δα-

σεῖον, βαρύοσμον, πάχος ἔχουσα δακτύλου, ποιοῦσα μὲν πρὸς τραύματα, καταπλασσομένη· αἴρει δὲ καὶ σπίλους τοὺς ἐν προσώπῳ.

Περὶ Κληματίδος. Κεφ. ζ'.

ΚΛΗΜΑΤΙΣ, ἣν οἱ δὲ δαφνοειδὲς, οἱ δὲ *μυρσινοειδὲς, οἱ δὲ πολυγονοειδὲς καλοῦσι· φύεται ἐν *εὐγείοις. κλήματα δὲ ἔχει *μικρὰ ὅσον *σχοίνου τὸ πάχος, πέταλον δὲ μικρὸν, δάφνῃ ἐμφερὲς τῷ τε σχήματι καὶ τῇ χρόᾳ, μικρότερον δὲ πολλῷ. Ταύτης τὰ φύλλα καὶ οἱ καυλοὶ σὺν οἴνῳ πινόμενα, διαῤῥοίας καὶ δυσεντερίας παύει· μετὰ γάλακτος δὲ καὶ ῥοδίνου, ἢ κυπρίνου ἐν πεσσῷ προστιθέμενα, ὑστέρας πόνους θεραπεύει. παύει δὲ καὶ ὀδόντων πόνους διαμασωμένη. βοηθεῖ καὶ θηριοδήκτοις *ἐπιτιθεμένη. ἱστορεῖται δὲ καὶ ἀσπιδοδήκτοις μετ᾽ ὄξους πινομένη, βοηθεῖν. φύεται δὲ ἐν χέρσοις.

Sic Gal. & v. cod.

Cratæ. ἐλεγχοίτου

Lacuna legit in vet. cod. διαμασωμένη καὶ ἐπιτιθεμένη.

Περὶ Πολεμωνίου. Κεφ. η'.

ΠΟΛΕΜΩΝΙΟΝ, οἱ δὲ φιλεταίριον, Καππάδοκες δὲ *χιλιοδύναμιν καλοῦσι, κλωνία ἔχει λεπτὰ πτερυγωμένα· φύλλα δὲ ὀλίγῳ μείζονα πηγάνου, *ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ πολυγόνου ἢ τῆς καλαμίνθης. ἐπ᾽ ἄκρου δὲ αὐτῶν ὥσπερ κόρυμβοι, ἐν οἷς σπέρμα μέλαν· ῥίζα *πηχυαία, ὑπόλευκος, ἐμφερὴς στρουθίῳ· φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Ταύτης ἡ ῥίζα πίνεται ἐν οἴνῳ πρὸς θηρία καὶ δυσεντερίαν, δυσουρίαν τε καὶ ἰσχιάδα, μεθ᾽ ὕδατος. σπληνικοῖς δὲ, μετ᾽ ὄξους ὅσον < α. ὁλκήν. καὶ περιάπτεται ἡ τούτου ῥίζα πρὸς σκορπίου πληγήν. φασὶ δὲ μὴ *τύπτεσθαι τοὺς ἔχοντας αὐτὴν, ἢ κἂν πληγῶσι, μηδὲν πάσχειν. παύει δὲ καὶ ὀδονταλγίας διαμασωμένη.

Ald. χιμοδυνάμιν. Marc. χελιδόνιον.

Hæc ascititia suspicatur Dodonæus, quoniam neque in Crateuæ fragmentis habentur.

V. ad oram. παχεῖα. Sic quoque in vet. legit Lacuna.

Rectius πλήττεσθαι.

Περὶ Συμφύτου πετραίου. Κεφ. θ'.

ΣΥΜΦΥΤΟΝ πετραῖον φύεται ἐν πέτραις· κλωνία δὲ ἔχει ὅμοια ὀριγάνῳ, λεπτὰ φύλλα, κεφάλια δὲ ὡς θύμου. ἔστι δὲ ὅλον ἐστὶ ξυλῶδες καὶ εὐῶδες, γλυκύ τε πρὸς *τῇ γεύσει, καὶ πτυέλου προκλητικόν· ῥίζαν δὲ ἔχει μακρὰν, ὑπόπορφυρον, ὅσον δακτύλου πάχος. Τοῦτο ἑψηθὲν σὺν μελικράτῳ καὶ ποθὲν, ἀνακαθαίρει τὰ ἐκ πνεύ-

Al. τῇ γεύσει.

A sam, graueolentem, ac digitali crassitudine, quæ vulneribus efficaciter imponitur, ac maculas etiam in facie delet.

De Clematide. Cap. VII.

CLEMATIS, quam aliqui daphnoides, alij myrsinoides, alij polygonoides vocant, gignitur in
B Ægypto. Sarmentosas autem spargit quasi viticulas, easq; longas, iunci crassitudine, folio paruo, laurini figura & colore, at multò minore. Caules foliáque in vino pota, alui profluuia & dysenterias sedant. Cū lacte verò & rosaceo, aut cyprino subdita in pesso, cruciatibus vuluæ medentur. Dolores dentium com-
C manducata finit: imposita quoque venenatorum morsibus, iuuamentum præstat. Fertur & ex aceto pota, cōtra aspidum morsus auxiliari. Nascitur in incultis.

De Polemonia. Cap. VIII.

POLEMONIAM, alij philetæriam, Cappadoces chiliodyna-
D mon appellāt: ramulis est exilibus, vtrinq; pinnatis, folijs paulò quàm rutæ maioribus, at longioribus, ad polygoni aut calaminthæ similitudinem: quibus in summis veluti corymbi dependent, nigro intus semine: radice cubitali, albicāte, struthio seu radiculæ simili. Nascitur in montosis & asperis. Radix ex vino
E bibitur contra venenatas bestias ac dysenteriam: & ex aqua, aduersus vrinæ difficultatem & ischiadem. Datur autē ex aceto drachmæ pondere lienosis. Eadem contra scorpionis ictum amuleti instar adalligatur. Tradunt porrò, qui radicem eam gestauerint à scorpionibus minimè feriri, aut si ab ijs icti fuerint,
F nihil mali passuros. Dentium quoque dolores commanducata mitigat.

De Symphyto petræo. Cap. IX.

SYMPHYTUM petræum in petris nascitur: ramulis origano similibus, folijs tenuibus, & capitulis
G thymi. Totum verò lignosum, odoratum & gustu dulce est, saliuámq; ciet: radice nititur longa, subfulua, digitali ferè crassitudine. Decoctū in aqua mulsa & potum, quæ pul-

moni hærent excremẽta repurgat: sanguinem reijciẽtibus ac nephriticis cum aqua exhibetur. Bibitur & ad dysenteriam rubetẽmq; fluorem muliebrem in vino decoctum, vti ad conuulsa ruptáque cum aceto mulso. Quin & commanducatũ sitim sedat: faucibus asperis subuenit: illitum recentia vulnera glutinat, & enterocelas cohibet. Quin & carnes dum coquuntur conglutinat additum.

De Symphyto altero. Cap. X.

Symphytum alterum, quod aliqui pecton vocant, caulem emittit bicubitalem aut etiam altiorem, leuem, crassum, angulosum, & ceu sonchi inanem: circa quem ex interuallis, haud ita magnis folia exeunt hirsuta, angusta, longiuscula, ad buglossi foliorum similitudinẽ: habet vero caulis eminentias quasdam secundum angulos porrectas, adiacentibus ac velut annexis foliis tenuibus, quæ è singulis prodeunt alarũ sinibus. Sunt insuper flores lutei, ac semen circa caulẽ ceu verbasci. Totus autẽ caulis ac folia quoq; ipsa subaspera lanugine horrent, attactúque pruritum excitant. Radices demittuntur foris nigræ, intus candidæ, glutinosæ: quarum etiam est vsus. Tritæ & potæ sanguinem excreantibus ruptísque proficiunt, & recentia vulnera impositæ glutinant: carnium quoque frusta quibuscum coquuntur cogunt ita vt coalescant. Cæterùm inflammationibus, præsertímque sedis, cum senecionis folijs vtiliter illinuntur.

Apul. adnatiuus secundũ genicula.

De Holostio. Cap. XI.

HOLOSTIVM herba est pusilla, tribus ferè quatuórve digitis sese supra terram attollens, folijs viticulísque coronopodi aut gramini proximis, gustu astringẽtibus, radice prætenui vsque in capillamenti speciem, alba, fibrosa, longitudine quatuor digitorũ. Nascitur in collibus terrenis. Carnes & hæc herba cogit atque conglutinat, dum coquuntur addita, & ad rupta in vino propinatur.

De Stæbe. Cap. XII.

STOEBE vulgaris est notitiæ. Semen & folia astringũt: quapropter eorũ decoctũ dysentericis infunditur:

A μόνος· καὶ τοῖς αἷμα ἀνάγουσι, καὶ νεφριτικοῖς σὺν ὕδατι δίδοται· σὺν οἴνῳ δὲ ἑψηθὲν, πίνεται πρὸς δυσεντερίαν, καὶ ῥοῦν γυναικεῖον ἐρυθρόν· σὺν ὀξυμέλιτι δὲ, πρὸς σπάσματα καὶ ῥήγματα. καὶ ἄδιψον δὲ ἐστι διαμασώμενον· "ἁρμόζει καὶ ταῖς "βρόγχου τραχύτησι· κολλᾷ καὶ νεότρωτα, καὶ ἐντεροκήλας ἀποB κρατεῖ καταπλασσόμενον. καὶ τὰ κρέα δὲ *συμπήττει ἑψόμενα σὺν αὐτοῖς.

Περὶ Συμφύτου ἄλλου. Κεφ. ι.

Σύμφυτον ἄλλο, οἱ δὲ πηκτόν· καυλὸν ἀνίησι "διπηχυαῖον ἢ καὶ μείζονα, "κοῦφον, παχὺν, γωνιοειδῆ, κενὸν" ὥσπερεὶ σόγχου, περὶ ὃν οὐκ ἐκ μεγάλων διαστημάC των φύλλα δασέα, "στενά, ὑπομήκη, πρὸς τὰ τοῦ βουγλώσσου· ἐξοχὰς δὲ ἔχει ὁ καυλὸς παρὰ τὰς γωνίας τινὰς" τεταμένας, "φύλλων λεπτῶν περιφύτων, ἀφ' ἑκάστης μασχάλης τὰ αὐτῇ ἔπεστι μήλινα, καὶ καρπὸς περὶ τὸν καυλὸν ὡς φλόμου. ὅλος δὲ ὁ "καυλὸς καὶ τὰ φύλλα ἔχει χνοῦν D "ὑποτραχὺν, κατὰ τὴν προσαφὴν "κνησμὸν ἐμποιοῦντα· ῥίζαι δὲ ὕπεισιν τὴν μὲν ἐπιφάνειαν μέλαιναι, ἔνδοθεν δὲ λευκαὶ καὶ γλίσχραι· ὧν καὶ ἡ χρῆσις". Ποιοῦσι δὲ λεῖαι πινόμεναι αἱμοπτοϊκοῖς καὶ ῥηγματίαις, καὶ τὰ νεότρωτα κολλῶσι καταπλασσόμεναι· καὶ τὰ κρέα δὲ συνεψόμεναι συνάE γουσι· καταπλάττονται δὲ πρὸς φλεγμονὰς, μάλιστα τὰς ἐν δακτυλίῳ ὠφελίμως μετὰ φύλλων ἠριγέροντος.

Περὶ *Ὀλεστίου. Κεφ. ια.

ΟΛΕΣΤΙΟΝ πόα ἐστὶ μικρὰ, ἀπὸ γῆς, ὡς τριῶν δακτύλων ἢ τεσσάρων. φύλλα δὲ ἔχει καὶ κλήματα κορωνόποδι F παραπλήσια, ἢ "ἀγρώστει, στυπτικά· ῥίζαν δὲ σφόδρα λεπτὴν ὡς θρίχα, λευκὴν *τῷ εἴδει, μῆκος δακτύλων τεσσάρων· φύεται ἐν γεωλόφοις. Δύναται δὲ καὶ αὕτη κρέα συνάγειν συνεψομένη, καὶ πρὸς ῥήγματα" σὺν οἴνῳ "ποτίζεται.

Περὶ Στοιβῆς. Κεφ. ιβ'.

G ΣΤΟΙΒΗ "γνώριμος ἧς ὁ καρπὸς καὶ τὰ φύλλα στύφει· ὅθεν καὶ δυσεντερικοῖς τὸ ἀφέψημα αὐτῶν ἐνίεται· ἐγκλύζεται δὲ καὶ εἰς

V. ἁρμόζον καὶ ἑψόμενον
V. περὶ βρόγχον
V. legit δασεῖς διπηχεῖ
V. caret & Orib.
V. caret
V. ὑπόστενα καὶ ὑπόμικρα
Al. παρατεταμένας. alius, τεταμένας πρὸς τόπον ἑκάστης μασχάλης. Ald. φύλλον λεπτὸν
Ald. addit in nothis, ἐμφερῆ πρὸς τὰ τοῦ πηγάνου
V. καρπὸς
V. addit, ὑπόλευκον καὶ
V. κνησμονὴν, nullo discrimine
V. epit. ἐξ ἐναντίων σύγκειται δυνάμεων.
V. quidam in ora hæc addebat: καὶ τρίτον ἐστὶ τῷ σχήματι κέστρῳ παραπλήσιον, δυνάμει δὲ ψυχρότερον, πληγῶν καὶ ἑλκῶν πληρωτικὸν, ἐν συσκίοις καὶ λίμναις φυόμενον. id est. est & tertium figura betonicæ simile, at maiore vi refrigerandi præditum, vulnera & cicatrices implens, quod in vmbrosis & lacubus nascitur.
V. quidam ad oram γερανίῳ.
Marc. suspicatur addendum καὶ σπάσματα ἀφωφελεῖν
Sic Ald. in nothis. At Par. caret.

ὦτα πυοῤῥοοῦντα· καταπλασθέντα δὲ τὰ φύλλα ὠφελεῖ σύγχυσιν ὀφθαλμῶν τὴν ἐκ πληγῆς, καὶ αἱμοῤῥαγίαν ἴσχει.

A auribus quoque purulentis instillatur. Folia verò imposita oculis ictu cruentatis prosunt, & erumpentis sanguinis impetus cohibent.

Περὶ Κλυμένου. Κεφ. ιγ΄.

V. sed magna parte mutilus codex habet. περὶ τὰ τοῦ περικλυμένου, κισσοειδῆ.
V. addit ἐν οἷς τὸ ἄνθος λευκὸν
V. codex pro his habet, καὶ περιπλεκόμενα

ΚΛΥΜΕΝΟΝ καυλὸν ἀνίησι τετράγωνον, ὅμοιον τῷ τοῦ κυάμου· φύλλα δὲ πρὸς τὰ τοῦ ἀρνογλώσσου. θυλάκια δὲ ἔχει ἐπὶ τοῦ καυλοῦ εἰς ἄλληλα νεύοντα, ἐοικότα ἴριδι καὶ πολύποδος πλεκτάναις. ἄριστον δὲ τὸ ὀρεινόν. Χυλίζεται δὲ ὅλον σὺν τῇ ῥίζῃ. ποιεῖ δὲ ὁ χυλὸς πρὸς αἵματος ἀναγωγὴν πινόμενος καὶ κοιλιακοῖς, καὶ ῥοῦν ἐρυθρὸν, γύναικῶν καὶ ψύχων. ἐπέχει δὲ καὶ τὰς ἐκ μυκτήρων αἱμοῤῥαγίας. τὰ δὲ φύλλα λεῖα, ἢ τὰ θυλάκια τοῖς νεοτρώτοις ἐπιτιθέμενα, μέχρι τῆς ἐπουλώσεως ἐνεργεῖ.

V. caret.

C LYMENON caulem profert quadrangulum, ceu fabæ; folia plantagini similia: folliculos verò B habet supra caulem ita dispositos, vt alter in alterum propẽdeat, velut in iride ac polyporum cirris. Probatissimum est montanum. E frutice toto cum radice succus exprimitur, qui ad sanguinis reiectionem in potu efficax est, itémque ad cœliacorũ profluuia, rubẽtémq; fluorem muliebrem: quippe qui astrin- C gat simul atque refrigeret. Sanguinem quoque naribus erumpentem supprimit. Folia trita aut folliculi, si vulneribus recentibus imponantur, ea ita efficaciter sanat, vt etiam ad cicatricem perducant.

Περὶ Περικλυμένου. Κεφ. ιδ΄.

Orib. καυλὸν ἔχων τετράγωνον, καὶ φυλλάρια ἐκ διαστημάτων.

V. κοινῷ
G. In altero vox ὑποστρογγύλον deest
V. addit, περιφερές. Orib. οἱονεὶ ἐπικείμενος τῷ φύλλῳ, σκληρὸς καὶ δυσαπόσπαστος. ῥίζαν &c.
G. In altero μακράν. Sic Orib. alij ex Crateua παχεῖαν καὶ μακράν restituunt.
G. Alter ἐν χαράδραις. sed Plinius & alii Interpretes vulgatam lectionem probant.

ΠΕΡΙΚΛΥΜΕΝΟΝ θαμνίσκος ἐστὶν ἁπλοῦς, ἔχων ἐκ διαστημάτων φυλλάρια περιειληφότα αὐτὸν, ὑπόλευκα, κισσοειδῆ, καὶ παρὰ τὰ φύλλα ἐκβλαστήσεις· ἐφ' ὧν ὁ καρπὸς κισσῷ παραπλήσιος· ἄνθος λευκὸν, κυάμῳ ἐμφερὲς, ὑποστρογγύλον, οἱονεὶ ἐπικείμενον τῷ φύλλῳ· καρπὸν σκληρὸν καὶ δυσαπόσπαστον· ῥίζαν παχεῖαν, περιφερῆ. φύεται ἐν ἀρούραις καὶ φραγμοῖς. περιελίττεται δὲ τοῖς πλησιάζουσι θάμνοις. Τούτου ὁ καρπὸς πέπειρος συλλεγεὶς καὶ ξηρανθεὶς ἐν σκιᾷ, πίνεται μετ' οἴνου < α. ὁλκὴν ἐπὶ ἡμέρας μ΄. καὶ σπλῆνα τήκει, καὶ κόπον λύει, καὶ ὀρθόπνοιαν ὠφελεῖ καὶ λυγμόν· οὐρεῖ ἀγει ἀπὸ τῆς ἕκτης ἡμέρας αἱματώδη. ἔστι δὲ καὶ ὠκυτόκιον. τὴν αὐτὴν δὲ καὶ τὰ φύλλα δύναμιν ἔχει ἡμέρας λζ΄. ποθέντα, καὶ ἀγόνους ἱστορεῖται ποιεῖν· ἀλειφόμενα δὲ μετ' ἐλαίου ἐπὶ τῶν περιοδικῶν, τὰ φρικία παραιτεῖται.

D PERICLYMENON frutex est exiguus ac simplex, habens ex interuallis foliola caulem amplectentia, subcandida, hederacea, ac inter ea nascentia germina, in quibus semen hederæ: florem candidum ceu fabæ, aliquantum rotundum & quasi in folium procumbentem: semen durum & quod dif- E ficilè euellatur: radicem crassam ac rotundam. Nascitur in aruis ac sepibus: conuoluit verò se propinquis fruticibus. Semen postquam ematuruit collectum & in vmbra siccatum, si drachmæ põdere ex vino bibatur quadragenis diebus, lienem absumit, lassitudinem discutit, & orthopnœæ atque singultui pro- F dest: sed vrinas ciet statim à sexto die cruentas. Idem partum quoque accelerat. Sed & folia iisdem sunt prædita viribus, ac tricenis septenis diebus epota sterilitatem in viris facere produntur. Eadem si ex oleo perungantur, febrium circuitibus redeuntium horrores abigunt.

Περὶ Τριβόλου. Κεφ. ιε΄.

G De Tribulo. Cap. XV.

V. add. ποιῶδες
V. κλωνία μακρά

ΤΡΙΒΟΛΟΣ ὁ μὲν χερσαῖος ἀνδράχνῃ τὰ φύλλα ἔοικε, λεπτότερα δέ, καὶ τὰ κλήματα μακρά, κατὰ γῆς ἐστρωμένα, &c

TRIBVLVS terrestris folijs est portulacæ, at tenuioribus: viticulis verò longis in terra stratis, &

ſpinis ſecundũ ipſas acerbis ac præduris: iuxta amnes & domorum areas naſcitur. Eſt & alter aquaticus, in fluminibus naſcens, qui quidem comam ſupra aquas attollit, aculeos verò condit & ipſis aquis occulit: folijs latis è pediculo longo dependentibus: caule parte ſumma quàm ima craſſiore: adſunt & ei adnata quędam capillamenta ſpicacea: fructus verò durus eſt, vti & alterius antè memorati. Ambo aſtringentis refrigerantíſque ſunt naturæ: ideò contra inflammationes omnes cataplaſmate vtiles. Oris autem vlcuſcula, tonſillas, itémque putredines in ore ac gingiuarũ vitia ſanant. Ex ijs etiam ſuccus ad oculorũ medicinas exprimitur. Semen vtriuſq; dum recens bibitur, calculoſis adiumentum affert: ſed priuatim quod è tribulo terreſtri eruitur, drachmæ põdere potum impoſitúmve, commorſos à vipera priſtinæ ſanitati reſtituit, & contra venena etiamnum vtiliter ex vino bibitur. Sed & eius decoctum ſparſum pulices necat. Cæterùm Thraces qui ad Strymona amnem habitant, virenti herba equos ſaginant, nucleum verò dulcem & alendo idoneum ad panificia accommodant, eóque vice panis vtuntur.

De Limonio ſeu beta ſylueſtri.
Cap. XVI.

LIMONIVM, alijs neuroïdes dictum, folia habet betæ, verùm tenuiora & minora, decem aut plura: caulem tenuem, rectum, liliaceo æqualem, rubro ſemine refertum, quod guſtu aſtringit. Semẽ tritum, & ex vino acetabuli menſura potũ, dyſentericis cœliacíſque prodeſt, ac rubentem fœminarum fluorem cohibet. Naſcitur in pratis & paluſtribus locis.

De Lagopode. Cap. XVII.

LAGOPVS herba ſiſtit aluum è vino pota, aut in febri, ex aqua. Eadem ad inguinum inflammationem adalligatur. Naſcitur autem in ſegetum areis.

De Medio. Cap. XVIII.

MEDIVM in opacis & petroſis locis naſcitur: folia habet ſeri-

A περὶ αὐτοῖς ἄκανθαι στρυφναὶ, σκληραί. φύεται δὲ παρὰ * ποταμοῖς καὶ οἰκοπέδοις. Ἔστι δέ τις καὶ ἔνυδρος, παρὰ ποταμοῖς φυόμενος, ὑπερέχων τὴν κόμην, τὴν δ' ἄκανθαν κρύπτων· φύλλα πλατέα, μίσχον ἔχοντα μακρόν. καυλὸς δὲ ἐξ ἄκρου παχὺς, " μᾶλλον τοῦ ἐν βάθει. πρόσεστι δὲ V. addit ὡς λεπτοῦ
B καὶ τριχώδη τινὰ ἀποπεφυκότα σταχυώδη· καρπὸς σκληρὸς ὡς καὶ ὁ θατέρου. Ἀμφότεροι δὲ στύφουσι, ψύχουσιν· εἰσί τε πάσης φλεγμονῆς καταπλάσματα. σὺν μέλιτι δὲ ἄφθας καὶ παρίσθμια, καὶ [" τὰς ἐν στόματι] σηπεδόνας, καὶ οὖλα θεραπεύουσι· χυλίζονται δὲ καὶ εἰς τὰ ὀφθαλ- V. caret.
C μικά. ὁ δὲ καρπὸς αὐτῶν, χλωρὸς λιθιῶντας πινόμενος ὠφελεῖ. τοῦ δὲ χερσαίου ὅσον < α΄. πινομένη καὶ καταπλασσομένη, τοὺς ἐχιοδήκτους ἀποκαθίστησιν· ἁρμόζει καὶ θανασίμοις μετ' οἴνου πινόμενος. κτείνει δὲ καὶ ψύλλας τὸ ἀπόζεμα αὐτοῦ ῥανθέν. οἱ δὲ περὶ τὸν Στρυμόνα ποταμὸν Θρᾶκες,
D τὴν μὲν πόαν χλωρὰν ἱπποτροφοῦσι· τὸν δὲ καρπὸν γλυκὺν ὄντα καὶ τρόφιμον σιτοποιοῦνται, χρώμενοι αὐτῷ ἀντὶ ἄρτου.

Περὶ Λειμωνίου. Κεφ. ις΄.

ΛΕΙΜΩΝΙΟΝ, οἱ δὲ, νευροειδές". τὰ μὲν φύλλα ἔχει ὅμοια σεύτλῳ, V. margo, οἱ δὲ κυνόγλωσσον
E λεπτότερα δὲ καὶ " μικρότερα, δέκα ἢ πλείω· καυλὸν λεπτὸν, ὄρθιον, ἴσον ὥσπερ κρίνου, γέμοντα καρποῦ ἐρυθροῦ, στύφοντος τὴν γεῦσιν. Δύναται δὲ ὁ καρπὸς " λεῖος, σὺν οἴνῳ ποθεὶς ὀξυβάφου πλῆθος, δυσεντερικοὺς καὶ κοιλιακοὺς" ὠφελεῖν· ῥοῦν τε γυναικεῖον ἐρυθρὸν ἐ- Vul. μακρότερα / Quidã add. αὐστηρὸς / V. add. καὶ αἱμοπτοϊκοὺς
F φιστάνει. Φύεται δὲ ἐν λειμῶσι καὶ ἑλώδεσι τόποις.

Περὶ Λαγώποδος. Κεφ. ιζ΄.

ΛΑΓΩΠΟΥΣ " δύναμιν ἔχει σταλτικὴν κοιλίας, πινόμενον μετ' οἴνου· ἐπὶ δὲ τῶν πυρεσσόντων, μεθ' ὕδατος. περιάπτεται δὲ καὶ πρὸς φλεγμονὴν βουβώνων· V. οἱ δὲ λαγωοῦ κύμινον, γνώριμός ἐστι.
G φύεται δὲ ἐν παρασπορίαις.

Περὶ Μηδίου. Κεφ. ιη΄.

ΜΗΔΙΟΝ φύεται ἐν παλισκίοις τόποις καὶ πετρώδεσιν· ἔχει φύλλα ὅμοια " σερι- Vulg. exempl. περσεί

Quid in marg. : ἐρικοειδῆ

δὲ καυλὸς δίπηχυς, ἄνθη πορφυροειδῆ, μεγάλα καὶ περιφερῆ· καρπὸς μικρός, ἐοικὼς κνίκῳ· ῥίζα σπιθαμιαία, βακτηρίας ἔχουσα πάχος, στρυφνὴ γευομένῳ. Ἡ τῆς ξηρᾶς λεία ἐκλειγμένη σὺν μέλιτι ἑφθὴ ἐφ' ἱκανὰς ἡμέρας, ῥοῦν τὸν ἐρυθρὸν ἵστησι. τὸ δὲ σπέρμα σὺν οἴνῳ ποθὲν, ἄγει ἔμμηνα.

A dis, caulem tricubitalem, flores purpureos, grandes ac rotundos, semẽ minutum, cnico simile: radicem dodrantalem, baculi crassitudine, gustu acerbo. Hæc arida trita decoctáque cum melle per aliquot dies in eclegmate sumpta, rubentẽ fluorem sistit. Semen verò in vino potũ menstrua pellit.

Περὶ Ἐπιμηδίου. Κεφ. ιθ΄.

V. margo. σμίλακι παραπλήσιος φύλλα ἔχων ι΄ ἢ ιβ΄.

B ΕΠΙΜΗΔΙΟΝ καυλός ἐστιν οὐ μέγας, κισσῷ παραπλήσια φύλλα ἔχων ὅσον ι΄. ἢ ιβ΄· οὔτε δὲ καρπὸν οὔτε ἄνθη φέρει· ῥίζαι δὲ λεπταὶ, μέλαιναι, βαρύοσμοι, γευομένῳ μωραί· φύεται ἐν τόποις ὑδρηλοῖς. Ταύτης τὰ φύλλα λεῖα μετ' ἐλαίου, κατάπλασμα μαστῶν εἰς τὸ μὴ αὔξεσθαι. C ἀτόκιός τε ἡ ῥίζα, καὶ τὰ φύλλα λεῖα ποθέντα ἐν οἴνῳ μετὰ τὴν κάθαρσιν < ε΄. πλῆθος ἐπὶ ἡμέρας ε΄. ἀσυλλήπτους τηρεῖ.

De Epimedio. Cap. XIX.

EPIMEDIVM caulis est nõ magnus, hederæ folijs denis aut duodenis, neque semen, neque flores proferens: radicibus tenuibus, nigris, graui odore, gustu fatuo seu insipido. Nascitur in aquosis. Folia ex oleo trita & mammis adhibita, eas ita cohibent vt ne augescant. Radix spem partus adimit. Folia quoq; trita & post menstruam purgationem quinis drachmis in vino pota quinque diebus, præstant mulieribus ne concipiant.

Περὶ Ξιφίου. Κεφ. κ΄.

Al. additur ὠνόμασται δὲ ξιφίον.

Orib. addit ἐπὶ μέσου.

Lacuna legit in v. cod. μικρὰ καὶ ἰσχνή

Vulg. διαφορεῖται Al. ὅταν

Marcellus ἀνώτερα legendum suspicatur.

ΞΙΦΙΟΝ, οἱ δὲ, φάσγανον, οἱ δὲ, μαχαιρώνιον καλοῦσι, διὰ τὸ τοῦ φύλλου σχῆμα· ἔοικε γὰρ ἴριδι, ἔλαττον μέντοι D καὶ στενώτερον, καὶ ἄποξυ ὡς μαχαίριον, ἰνῶδες. καυλὸν δὲ ἀνίησι πηχυαῖον, ἐφ' οὗ ἄνθη πορφυρᾶ στιχηδὸν ἀπ' ἀλλήλων διεστῶτα· καρπὸν δὲ στρογγύλον· ῥίζας β΄. τὴν μὲν μίαν ἐπὶ τῆς ἑτέρας καθημένην, ὥσπερ βολβία μικρὰ τὸν τύπον· ἡ μὲν κάτω, ἰσχνή ἐστιν, ἡ δὲ ἄνωθεν, ἁδροτέρα. φύεται E δὲ μάλιστα ἐν ἀρούραις. Δύναται δὲ ἡ ἄνωθεν ῥίζα καταπλασσομένη μετ' οἴνου καὶ λιβανωτοῦ, ἀκίδας καὶ σκόλοπας ἐπισπᾶσθαι· σὺν ἀλεύρῳ δὲ αἰρίνῳ καὶ ὑδρομέλιτι, διαφορεῖ φύγεθλα· ὅθεν ταῖς τοιαύταις ἐμπλάστροις μίγνυται. ἄγει δὲ καὶ καταμήνια προστεθεῖσα. φασὶ δὲ καὶ ἀ- F φροδίσια παρορμᾶν τὴν ἀνωτέρω ῥίζαν σὺν οἴνῳ ποθεῖσαν· τὴν κατωτέρω δὲ, ἀγόνους ποιεῖν. ἐντεροκηλικοῖς τε παιδίοις ὠφελίμως δίδοσθαι τὴν ἐπάνω ῥίζαν ἐν ποτῷ σὺν ὕδατι.

De Xiphio. Cap. XX.

XIPHION alij phasganon, alij machæronion à folij figura vocant. Est enim iridi simile, at minus & angustius, & gladioli modo mucronatum, neruosum. Caulem verò promit cubitalem, in quo purpurei flores certis æqualibúsque spatijs inter se distantes: semen rotundum, radices geminas, quarum vna alteri insidet, pusillorum bulborum figura. Ex his inferior gracilis est, superna plenior & vberior. In aruis potissimùm nascitur. Superior radix cum vino & thure imposita spicula & aculeos è corpore extrahit: cum farina autem loliacea & aqua mulsa, panos discutit: quamobrem eiuscemodi vi præditis emplastris inseri solet. Ciet & menses subdita in pesso. Aiunt & superiorem radicem potui datam in vino veneris appetentiam facere, inferiorem verò, sterilitatem inducere: superiorem itidem radicem infantibus enterocelicis vtiliter ex aqua propinari.

Περὶ Σπαργανίου. Κεφ. κα΄.

G ΣΠΑΡΓΑΝΙΟΝ φύλλα ἔχει ἐοικότα ξιφιδίῳ, στενώτερα δὲ καὶ ἐπικλινέστερα· ἐπ' ἄκρου δὲ τοῦ καυλοῦ ὥσπερ σφαιρία, ἐν οἷς ὁ καρπός. δίδοται ἡ

De Sparganio. Cap. XXI.

SPARGANIVM folia habet gladioli, sed arctiora & inclinatiora: ac in summo caule veluti pilulas, in quibus semen. Aduersus venenatarum

rum bestiarum morsus & radix & semen ex vino potui dantur.

De Xyride. Cap. XXII.

XYRIS folia habet iridis, at latiora, & in cacumine acuminata: quorum è medio caulis erumpit cubitalis, satis crassus, in quo siliquæ sunt triangulares, & super ipsis flos purpureus, medio puniceo: semen in folliculis simile fabis, rotundum, rubens & acre: radix crebris cincta geniculis, longa ac rufa. Ea contra capitis vulnera fractáq; efficax est: aculeos & teli genus omne citra molestiam extrahit, adiecta floris æris tertia parte, itémque radicis centaurij parte quinta, & melle sufficienti. Imposita quoque ex aceto, œdemata inflammationésque sanat. Bibitur & ex passo radix contusa, ad conuulsa, rupta, ischiadas, stranguriam & alui profluuia. Semen verò tribus obolis in vino potum, potentissimè vrinam ciet, & cum aceto, lienem absumit.

De Anchusa. Cap. XXIII.

ANCHVSA, quam nonnulli calycem, alij onocleam appellant, folia habet lactucæ quæ folio visitur acuto proxima, hirsuta, aspera, nigra, numerosa, vndecunque ab radice terræ velut affixa, spinosa. Radix illi est digitali crassitudine, colore quodammodo sanguineo: quæ æstate vel eo agnoscitur, quòd manus inficiat: læto solo prouenit. Radici vis astrictoria, ad ambusta veteráque vlcera efficax, si in oleo addita cera decoquatur. Erysipelatis cum polenta imposita medetur: itémque vitiligini & lepris, ex aceto illita. Vuluæ quoque subdita, partus extrahit. Datur & eius decoctum bile suffusis, nephriticis ac splenicis, si febris sit, ex aqua mulsa. Folia verò sistunt aluum in vino pota. Vtuntur & vnguentarij radice ad vnguentorum spissamenta.

De Anchusa altera. Cap. XXIIII.

Anchusa altera, quam aliqui alcibiadion seu onochiles vocauere, à priore distat, quòd minora habeat

A ῥίζα καὶ ὁ καρπὸς σὺν οἴνῳ θηριοδήκτοις.

Περὶ Ξυρίδος. Κεφ. κβ'.

ΞΥΡΙΣ, τὰ μὲν φύλλα ἔχει ἴριδι ὅμοια, πλατύτερα δὲ καὶ ἐξ ἄκρου ὀξέα· καυλὸν δὲ ἐκ μέσου τῶν φύλλων πηχυαῖον, ἱκανῶς παχύν, ἐφ' οὗ λοβοὶ τρίγωνοι· καὶ ἐπ' αὐτῶν ἄνθος πορφυροῦν· τὸ B δὲ ἐν μέσῳ φοινικοῦν· καρπὸς δὲ ἐν θυλακίοις κυάμοις ὅμοιος, στρογγύλος, ἐρυθρός, δριμύς· ῥίζα δὲ πολυγόνατος, μακρά, πυῤῥά, ποιοῦσα πρὸς τὰ ἐν κεφαλῇ τραύματα καὶ κατάγματα· ἀνάγει δὲ σκόλοπας, καὶ πᾶν βέλος ἐπισπᾶται μετὰ ἀπονίας, μιχθέντος αὐτῇ χαλκοῦ ἄνθους μέρος C τρίτον, καὶ κενταυρίου ῥίζης μέρος ε'. καὶ μέλιτος τοῦ αὐτάρκους. θεραπεύει δὲ καὶ οἰδήματα καὶ φλεγμονὰς καταπλασσομένη μετ' ὄξους. πίνεται δὲ καὶ πρὸς σπάσματα, ῥήγματα, ἰσχιάδας τε καὶ στραγγουρίας, καὶ διαῤῥοίας ἡ ῥίζα μετὰ γλυκέος τεθλασμένη. ὁ δὲ καρπὸς οὐρητικώτατος ὅσον τριώβολον ποθεὶς ἐν οἴνῳ· D τήκει δὲ καὶ σπλῆνα σὺν ὄξει ποθείς.

Orib. ὀρθὸς

Orib. μέγας Pena μικρὰ legendum suspicatur.

Addidimus ex Lac. τοῦ αὐτάρκους, quod in vulg. exempl. desiderabatur.

Περὶ Ἀγχούσης. Κεφ. κγ'.

ΑΓΧΟΥΣΑ, ἣν ἔνιοι κάλυκα, οἱ δὲ ὀνοκλείαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει θριδακίνῃ τῇ ὀξυφύλλῳ παραπλήσια, δασέα, τραχέα, μέλανα, πολλά, πανταχόθεν τῆς ῥίζης προσπεπλασμένα τῇ γῇ, ἀ- E κανθώδη· ἡ δὲ ῥίζα δακτύλου τὸ πάχος, τὴν χρόαν ὕφαιμος, ἐν τῷ θέρει* μελαινομένη καὶ βάπτουσα τὰς χεῖρας· φύεται δὲ ἐν εὐγείοις τόποις. Ἔστι δὲ ἡ ῥίζα στυπτική· ποιοῦσα πρὸς κατακαύματα καὶ παλαιὰ ἕλκη, ἑναφεψομένη κηρῷ καὶ ἐλαίῳ· ἐρυσιπέλατα δὲ σὺν ἀλφίτῳ καταπλασθεῖσα θεραπεύει· καὶ F ἀλφοὺς καὶ λέπρας σὺν ὄξει καταπλασσομένη. προστιθεμένη δὲ καὶ ἔμβρυα κατασπᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς δίδοται καὶ ἰκτερικοῖς, νεφριτικοῖς, σπληνικοῖς, πυρέσσουσι, μετὰ μελικράτου· τὰ δὲ φύλλα κοιλίαν ἵστησι μετ' οἴνου πινόμενα. χρῶνται δὲ καὶ οἱ μυρεψοὶ τῇ ῥίζῃ πρὸς τὰς στύψεις τῶν μύρων.

V. margo φυχεὰν καὶ ξηρὰ ἔχει τὴν ῥίζαν, συ- φουσαν τε ἅμα ἢ καὶ ὑπόπικρον.

V. μικρά

V addit, ἄνθη δὲ πορφυρᾶ.

G Περὶ Ἀγχούσης ἑτέρας. Κεφ. κδ'.

Ἄγχουσα ἑτέρα, ἣν ἔνιοι ἀλκιβιάδιον, ἢ ὀνοχειλὲς ἐκάλεσαν, αὕτη διαφέρει τῆς προτέρης, τῷ μικρότερα ἔχειν τὰ

φύλλα, τραχέα δὲ ὁμοίως· καὶ τὰ κλωνία λεπτὰ, ἐφ' ὧν ἄνθος πορφυρειδὲς ὑποφοινίζον· ῥίζας δὲ ἐρυθρὰς, εὐμήκεις, περὶ τὸν θερισμὸν ἐχούσας τὸ αἱματῶδες· φύεται δὲ ἐν ἀμμώδεσι τόποις. Δύναμις δὲ αὐτῆς καὶ τῶν φύλλων, θηριοδήκτοις βοηθεῖν, μάλιστα δὲ ἐχιοδήκτοις, ἐσθιόμενα, καὶ πινόμενα, καὶ περιαπτόμενα· κἂν μασησάμενός τις εἰς τὸ στόμα τοῦ θηρίου ἀποπτύσῃ, ἀποκτενεῖ αὐτό.

Orib. ἢ φοινικοῦν

V. ἀγχεῖα αἱματώδη

Περὶ Ἑτέρας Ἀγχούσης. Κεφ. κέ.

Ἔστι δὲ καὶ ἄλλη ἐμφερὴς ταύτῃ, ἐλάττω δὲ καρπὸν ἔχουσα φοινικοῦν. ὃν ἐάν τις μασησάμενος ἀποπτύσῃ εἰς τὸ στόμα τοῦ ἑρπετοῦ, ἀποκτενεῖ. ἡ δὲ ῥίζα μετὰ ὑσσώπου καὶ καρδάμου ποθεῖσα ὀξυβάφου πλῆθος, πλατεῖαν ἕλμινθα ἐκτινάσσει.

Περὶ Λυκόψεως. Κεφ. κϛ'.

Λύκοψις, οἱ δὲ, καὶ ταύτην ἄγχουσαν ἐκάλεσαν, τὰ μὲν φύλλα ἔχει ὅμοια θριδακι, μακρότερα δὲ καὶ "παχύτερα, καὶ τραχέα καὶ πλατύτερα, πεπτωκότα περὶ τὴν τῆς ῥίζης κεφαλήν· καυλὸν ἀνίησι μακρὸν, ὀρθὸν, "τραχὺν, παραφυάδας ἔχοντα πολλὰς, πηχυαίας, τραχείας· καὶ ἐπ' αὐταῖς ἄνθη μικρὰ, πορφυρίζοντα· ῥίζα δὲ ἐρυθρὰ, στυπτική· φύεται ἐν πεδίοις. καταπλασσομένη δὲ μετ' ἐλαίου ἡ ῥίζα, τραύματα ἰᾶται· μετὰ ἀλφίτου δὲ, ἐρυσιπέλατα· λεία δὲ συναλειφομένη μετ' ἐλαίου, ἱδρῶτας κινεῖ.

Vulg. exempl. παχύτερα καὶ τραχέα

V. παχὺν

Περὶ Ἐχίου. Κεφ. κζ'.

Ἔχιον, οἱ δὲ, δορίδα, οἱ δὲ, *ἀλκιβιάδιον, τὰ μὲν φύλλα ἔχει προμήκη, τραχέα, ὑπόλεπτα, πρὸς τὰ τῆς ἀγχούσης, ἥττονα δὲ καὶ λιπαρὰ, ἀκάνθια λεπτὰ "ἐπικείμενα, καὶ ἃ καὶ δασέα τὰ φύλλα· καυλία λεπτὰ, πολλά· "ἑκατέρωθεν δὲ φυλλάρια λεπτὰ ταρσούμενα, μέλανα, ἐλάττονα δὲ πρὸς λόγον τὰ ἐπ' ἄκρῳ τοῦ καυλοῦ. τὰ δὲ ἄνθη παρὰ τὰ φύλλα πορφυροειδῆ, ἐν οἷς ἐστι καὶ ὁ καρπὸς κεφαλῇ ἔχεως ὅμοιος· ῥίζα δὲ λεπτοτέρα "δακτύλου, ὑπομέλαινα. ἥ τις οὐ μόνον τοῖς δηχθεῖσιν ὑπὸ

Sunt qui addant hoc loco, ὑπόβραχα, δασέα.
V. delet vsque ad καυλία
V. addit, ἀκάνθαρτα, ἀκίδας σὺν τοῖς φύλλοις

V. δακτύλια ἀπὸ μέσου μέλανα

folia, quanquam simili modo aspera, & ramulos tenues, in quibus flos purpureus in puniceum vergens: radices autem rubras, prælongas, quæ messibus sanguineo succo turgent. In sabulosis nascitur. Tum ipsa radix, tum & folia contra venenatarum bestiarum, maximéque viperarum, morsus efficaciter auxiliantur, siue cibo, siue potu, siue etiam amuleto. Quin & si quis ijs commanducatis in venenatæ bestiæ os expuerit, eam enecabit.

De Anchusa tertia. Cap. XXV.

Est & alia huic similis, at minore semine, eóque puniceo, quo commanducato si in serpentis os inspuatur, ea morietur. Radix autem acetabuli mensura cum hyssopo & nasturtio pota, latas ventris tineas pellit.

De Lycopsi. Cap. XXVI.

Lycopsis, quæ & anchusa à nonnullis vocata est, folijs est lactucæ, at longioribus, crassioribus, latioribúsque, asperis & circa radicis caput ad terram deciduis: caule longo, recto, scabro, adnatis multis cubitalibus & asperis, in quibus flores parui, purpurascentes: radix rubra est & astringens. Nascitur in campestribus. Radix cum oleo imposita, vulneribus medetur, & cum polenta, erysipelatis illinitur. Trita verò si ex oleo perungatur, sudores mouet.

De Echio. Cap. XXVII.

Echion aliqui dorida, alij alcibiadion appellant: folia habet oblonga, aspera, aliquantum tenuia, anchusæ proxima, at minora & pinguia, tenui spinosa lanugine vestita: cauliculos graciles, numerosos, vtrinque verò minuta foliola expãsa pinnatáq;, nigra, ac minora quidẽ proportione quò summo cauli propiora sunt: flores autẽ secundum folia purpureos, in quibus & semẽ viperæ capitulo simile. Radix est digito tenuior & subnigra: quę quidẽ nõ modò demorsis à

ſerpẽtibus in vino pota auxiliatur, ſed & eos à quibus præbibita fuerit à ſerpentibus feriri minimè patitur. Folia & ſemen idem ipſum præſtant. Sed & radix lumborum dolorem ſedat, lactiſq; vbertatem facit, in vino aut ſorbitione ſumpta.

De Ocimoide, ſiue Ocimaſtro.

Cap. XXVIII.

OCIMOIDES, ſeu, vt alij, philetærium, folia fert ocimi, & ramos dodrantales, hirſutos, ſiliquas hyoſcyamo ſimiles, ſemine nigro, ceu melanthij, prægnantes. Vim hanc habet ſemen in vino potum, vt viperarum cæterarúmq; ſerpentium morſibus medeatur. Datur & iſchiadicis cum myrrha & pipere. Cæterùm radice nititur tenui & ſuperuacua.

De Erino. Cap. XXIX.

ERINVS apud flumina fontéſq; naſcitur, folijs ocimi, ſed minoribus & parte ſuperna diuiſis, ſurculis quinis ſeníſve dodrãtalibus, floribus candidis, ſemine nigro, paruo & acerbo: folia & caulis liquore multo manant. Semen drachmis duabus miſtũ cum mellis drachmis quatuor, oculorum fluxiones illitu cohibet. At ſuccus aurium dolorem ſedat, cum ſulphure ignẽ haud experto ac nitro inſtillatus.

De Gramine. Cap. XXX.

GRAMEN viticulas habet geniculatas per terram repentes, quę à ſuis articulis radices ſpargũt dulces, internodijs diſtinctas: folia acuminata, dura, lata, ceu arũdinis paruæ, quibus boues & iumẽta paſcuntur. Huius trita radix & impoſita, vulnera glutinat. Ipſius autẽ decoctũ epotũ, efficax eſt aduerſus tormina, vrinę difficultatem ˮac veſicę vlcera, & calculos frangit.

d. & veſicæ calculoſa recrementa comminuit.

De Gramine arundinaceo.

Cap. XXXI.

Arundinaceũ gramẽ priore maius eſt omni ex parte. Iumenta porrò in pabulo ſumptum necat, maximéque quod in Babylonis regione ſecus vias naſcitur.

De Parnaſsio gramine.

Cap. XXXII.

Quod verò in Parnaſſo mõte gignitur gramẽ, denſius fruticat, folijs

A ἑρπετῶν βοηθεῖ ποθεῖσα μετ' οἴνου, ἀλλὰ καὶ τοὺς προπιόντας ἀδήκτους ποιεῖ. ὁμοίως δὲ καὶ τὰ φύλλα καὶ ὁ καρπός. παύει δὲ καὶ ὀσφύος ἄλγημα, καὶ γάλα κατασπᾷ μετ' οἴνου ἢ ῥοφήματος ληφθεῖσα.

Περὶ Ὠκιμοειδοῦς. Κεφ. κη'.

In altero hæc eſt inſcriptio capitis, περὶ ἑτέρου ἐχίου ἢ ὠκιμοειδοῦς. Goup.

ΩΚΙΜΟΕΙΔΕΣ, οἱ δὲ, φιλεταίριον,

B φύλλα μὲν ἔχει ὠκίμῳ ὅμοια, κλῶνας δὲ σπιθαμιαίους, δασεῖς· λοβοὺς δὲ παραπλησίους ὑοσκυάμῳ, πλήρεις σπέρματος μέλανος, * ἐοικότας μελανθίῳ.

Δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον ἐν οἴνῳ, ἐχιοδήκτοις καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν. δίδοται δὲ καὶ ἰσχια-

C δικοῖς μετὰ ˮσμύρνης καὶ πεπέρεως˝. ῥίζα δὲ ὕπεστι ˮλεπτὴ καὶ ἄχρηστος.

V. caret. Ald. in nothis μετ' οἴνου addit. V. λευκή

Περὶ Ἐρίνου. Κεφ. κθ'.

ΕΡΙΝΟΣ φύεται παρὰ ποταμοῖς καὶ κρήναις, φύλλα ἔχει ὠκίμοις ὅμοια, ˮμικρότερα δὲ καὶ ἐπεσχισμένα ἐκ τῶν ἄνωθεν μερῶν, κλωνία δὲ ε. ἢ ς'. σπιθαμιαῖα,

D ἄνθη λευκά· καρπὸν δὲ ˮμέλανα, μικρὸν, στρυφνόν· ὀποῦ δὲ μεστός ἐστιν ὁ καυλὸς καὶ τὰ πέταλα. Τούτων ὁ καρπὸς < β'. πλῆθος μιγεὶς πρὸς μέλιτος ˮ* τέσσαρας, ῥεύματα ὀφθαλμῶν ἐγχριόμενος ἵστησιν. ὁ δὲ χυλὸς ὤτων πόνον παύει μετὰ θείου ἀπύρου καὶ νίτρου ἐνσταζόμενος.

Tragus ſuſpicatur legendũ μακρότερα. Fortè μέλανα. Pariſ. κυάθους τέσσαρας.

E Περὶ Ἀγρώστεως. Κεφ. λ'.

Μήκων ἀφρώδης, ὑπὸ δὲ τινων Ἡράκλεια κληθεῖσα, καυλὸν ἔχει σπιθαμιαῖον, καὶ τὰ φύλλα σφόδρα μικρὰ, στρουθίῳ ἐοικότα, καὶ καρπὸν ἐπ' αὐτοῖς λευκόν. [καὶ τὸ ὅλον δὲ βοτάνιον λευκὸν ἐστι καὶ ἀφρῶδες· ῥίζαν δὲ λεπτὴν *ἐπιπλέον. Ταύτης ὁ καρπὸς συλλέγεται ὅταν τελείως ἁδρυνθῇ θέρους, καὶ ξηρανθεὶς ἀποπέσῃ· καθαίρει δὲ δι' ἐμέτων, ὀξυβάφου πλῆθος σὺν μελικράτῳ λαμβανόμενος· ἰδίως δὲ ἡ τοιαύτη κάθαρσις ἐπιληπτικοῖς ἁρμόζει.

V. inserit ποσῶς.

V. non legit conclusa.

Mathioli & Orib. cod. ἀποτίθεται.

De Papauere spumeo. Cap. LXVII.

Papauer spumeum, ab aliquibus Heracliū vocatū, caule est dodrantali, foliis admodum paruis, radiculæ similibus, semine inter ea candido. Sed & herbula tota candida est atque spumea, radice alba, *in summa terra nascente. Legitur æstate semen, cùm integrè adoleuerit, aridúmque deciderit. Acetabuli autē mensura sumptum in aqua mulsa, vomitione purgat, priuatímque huiusmodi purgatio comitialibus prodest.

vel. In summa terra cub.

De Hypecoo. Cap. LXVIII.

HYPECOON aliqui hypopheō vocant. Nascitur in triticeis segetibus aruísque, folio ceu rutæ, ramulis exilibus. Natura ei eadē, quæ papaueris succo.

De Apollinari, siue Hyoscyamo. Cap. LXIX.

HYOSCYAMVS frutex est caules emittēs crassos, folia lata, oblōga, diuisa, nigra, hirsuta: secūdùm verò caulē continua quasi serie flores prodeunt, tanquā punicorū cytini, scutulis septi seminum plenis, ceu papaueris. Tria porrò sunt eius genera. Vnū siquidē flores profert penè purpureos, folia smilaci proxima, semen nigrum, ac cytinos prædurus & spinosos: alterū flores habet luteos, folia & siliquas molliores teneriorésve, & semē subflauū, irionis semini simile. Ambo insaniā gignūt & soporem, ideóque vix in communē vsum recipiūtur. Tertiū genus quod mitissimum est, adeóq; ad medicinam vtile, pingue, molle, lanuginosum, candidis floribus ac semine. In maritimis ruderibúsque nascitur. Albo itaq; vtendū est: idq; si desit, flauū vsurpari oportet. Nigrum enim ceu deterrimū improbatur. Recenti semine, folijs caulibúsque tusis succus exprimitur, qui ad solem exiccatur. Vsus autem eius ad annum dūtaxat prorogatur, quia facilè corruptionē sentit. Elicitur & separatim succus ex semine, cùm inaruit affusa aqua calida tuso & expresso. Est autem expressus eiusmodi succus liquore seu lacteo eiusdem succo præstātior, leniendísque doloribus accōmodatior. Ipsa verò herba virens contusa, farina è tritico trimestri addita, in pastillos redigitur atque reconditur. Porrò prius succi genus, & quod è sicco semine exprimitur, collyrijs sensum doloris auferentibus vtiliter inseruntur: prosunt & contra acres calidásq; fluxiones, aurium dolores ac vuluæ mala. Cum farina autem polentáve, contra oculorum, pedum cæterarúmque partium inflammationes. Semen eadem præstat, prætereáque ad tussim, destillationem, oculorum fluxiones dolo-

A Περὶ Ὑπηκόου. Κεφ. ξη'.

ΥΠΗΚΟΟΝ, οἱ δὲ ὑπόφεων καλοῦσι· φύεται δὲ ἐν τῷ σίτῳ καὶ ταῖς ἀρούραις· φύλλον δὲ ἔχει πηγάνῳ ὅμοιον, κλῶνας μικρούς. Δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ τῆς μήκωνος ὀπῷ.

Περὶ Ὑοσκυάμου. Κεφ. ξθ'.

B ΥΟΣΚΥΑΜΟΣ, θάμνος ἐστὶ καυλοὺς ἀνιεὶς "παχεῖς, φύλλα πλατέα, ἐπιμήκη, ἐσχισμένα, μέλανα, δασέα. παρὰ δὲ τὸν καυλὸν ἐφεξῆς πεφύκασιν "ἄνθη ὥσπερ ῥοιᾶς κύτινοι, πεφραγμένοι ἀσπιδίσκοις σπέρματος μεστοῖς, ὥσπερ μήκωνος. ἔστι δὲ αὐτοῦ διαφορὰ "τριαστή. ὁ μὲν γάρ, ἄνθη
C ὑποπόρφυρα φέρει, φύλλα σμίλακι ὅμοια, σπέρμα μέλαν, καὶ τοὺς κυτίνους σκληροὺς καὶ ἀκανθώδεις. ὁ δέ τις, ἄνθη *μηλοειδῆ, φύλλα καὶ λοβοὺς ἁπαλώτερα, σπέρμα ὑπόξανθον ὥσπερ ἐρύσιμον· ἀμφότεροι δὲ οὗτοι μανιώδεις ὑπάρχουσι καὶ καρωτικοί, δύσχρηστοι. Εὔχρηστος δὲ εἰς θεραπείαν ἠ-
D πιώτατος ὢν ὁ τρίτος λιπαρὸς καὶ ἁπαλὸς καὶ χνοώδης, ἄνθη λευκὰ ἔχων, καὶ τὸ σπέρμα λευκόν· φύεται παρὰ θάλατταν καὶ ἐρειπίοις. "χρηστέον οὖν ἐστὶ τῷ λευκῷ. εἰ δὲ μὴ παρείη οὗτος, χρηστέον δεῖ τῷ ξανθῷ, τὸν δὲ μέλανα ἀποδοκιμάζειν ὡς χείριστον. Χυλίζεται δὲ ὁ καρπὸς "ἁπαλὸς καὶ τὰ φύλλα καὶ
E οἱ καυλοὶ κοπτόμενοι καὶ ἐκθλιβόμενοι, ἐν ἡλίῳ ξηραινομένου τοῦ ὑγροῦ· χρῆσις δὲ αὐτοῦ πρὸς ἐνιαυτόν, διὰ τὸ εὔσηπτον. χυλίζεται δὲ καὶ τὸ σπέρμα αὐτοῦ καὶ ἰδίαν κοπτόμενον ξηρόν, ὑφ' ὕδατος θερμοῦ παραχεομένου καὶ ἐκθλιβομένου. ἔστι δὲ βέλτιον τοῦ ὀποῦ τὸ χύλισμα, καὶ ἀνωδυνώτερον. ἡ δὲ
F "χλωρὰ κοπεῖσα καὶ μιγεῖσα "σιτανίῳ ἀλεύρῳ, ἀναπλάττεται εἰς ἀρτίσκους, καὶ ἀποτίθεται. ἁρμόζει δὲ τὸ πρόσφατον χύλισμα καὶ τὸ ἀπὸ ξηροῦ τοῦ σπέρματος εἰς κολλύρια ἀνώδυνα, καὶ πρὸς ῥεῦμα δριμὺ καὶ θερμόν· ὠταλγίαν τε καὶ τὰ περὶ ὑστέραν. σὺν ἀλεύροις δὲ ἢ ἀλφίτοις, πρός
G τε ὀφθαλμῶν φλεγμονὰς καὶ ποδῶν καὶ τὰς ἄλλας. τὸ δὲ σπέρμα τὰ αὐτὰ παρέχει, ποιοῦν καὶ πρὸς βῆχας καὶ κατάῤῥουν, καὶ ῥεῦμα ὀφθαλμῶν καὶ περιω-

Orib. addit, πολλούς

Matthiolus non floribus, sed siliquis ista tribui debere censuit.

V. διωστὴ ἢ βιωστή.

Ista addūt Orib. & v. codex Lacunæ.

V. Lac. cod. add. τοῦ λευκοῦ.

Marc. legit χλόη.

Lacuna legit in antiquo cod. σησαμίνῳ ἀλεύρῳ ἢ πηγάνῳ. Al. σιτανίῳ ἀλεύρῳ καὶ πηγάνῳ

A δυνίας, πρός τε ῥοῦν γυναικεῖον καὶ τὰς ἄλλας αἱμοῤῥαγίας, ὅσον ὀβολὸς σὺν μήκωνος σπέρματι καὶ μελικράτῳ ποθέν. ἁρμόζει καὶ πρὸς ποδάγρας, ὄρχεις πεφυσωμένους, μαστοὺς ἐν τοκετῷ ἐπηρμένους, λεῖον μετ' οἴνου καταπλασσόμενον, καὶ εἰς τὰ ἄλλα ἀνώδυνα καταπλάσματα μίγνυται ὠφελίμως." B καὶ τὰ ἀναπεπλασμένα φύλλα, εἰς πάντα τὰ ἀνώδυνα εὔχρηστα, μιγνύμενα ἀλφίτοις καὶ καθ' ἑαυτὰ καταπλασσόμενα. τὰ δὲ πρόσφατα φύλλα" καταπλασθέντα, ἀνωδυνώτατα πρὸς πάντα πόνον. "τρία δὲ ἢ τέτταρα ποθέντα σὺν οἴνῳ, ἠπιάλους πυρετοὺς θεραπεύει· C ἑψηθέντα δὲ ὡς λάχανα καὶ βρωθέντα τρυβλίου πλῆθος, μετρίαν παρακοπὴν ἐργάζεται." φασὶ δὲ ὅτι ἐάν τις ἕλκος ἔχοντα ἐν "κώλῳ ἐγκλυσθῇ", τὸ αὐτὸ ἀπεργάζεται. ἡ δὲ ῥίζα μεθ' ὄξους ἑψηθεῖσα, ὀδονταλγίας ἐστὶ διάκλυσμα.

V. caret vsque ad καὶ καθ' ἑαυτά

Additur in vet. cod. Lac. λεῖα.

Legitur in antiquo exépl. Lac. τρεῖς δὲ ἢ τετράκις

V. caret hac periodo.

V. ἐν κύκλῳ

V. quidam add. σὺν γλυκεῖ, vt annotat Lacuna.

A résque efficax, itémque contra fluorem muliebrem, aliásque sanguinis eruptiones, si oboli pondere cum papaueris semine ex aqua mulsa bibatur. Subuenit & podagris, testibus inflatis, mammísque à partu tumentibus, si tritum ex vino imponatur. Denique & aliis cataplasmatis quæ doloris leuamentum præstant vtiliter admiscetur. B Quin & in pastillos digesta folia medicamentis omnibus dolores sedãtibus tum per se, tum etiam ex polenta vtiliter imponuntur. At recentia folia illita, ad mitigandos omne genus dolores apprimè sunt idonea. Eadē terna quaternáve cum vino pota, febres epialas depellunt. C Cocta verò olerum instar, & tryblii mensura esitata, mediocrem mentis alienationem faciũt. Aiunt & idem efficere, si cui in colo vlcus sentienti infundantur. Cæterùm radice in aceto decocta dentes vtiliter in dolore colluuntur.

D "Περὶ Ψυλλίου. Κεφ. ο'.

ΨΥΛΛΙΟΝ φύλλον ἔχει κορωνόποδι ὅμοιον, δασὺ" καὶ μακρότερον· κλῶνας δὲ σπιθαμιαίους, καὶ τὸ ὅλον βοτάνιον χορτῶδες· ἄρχεται δὲ αὐτοῦ ἡ κόμη ἀπὸ μέσου τοῦ καυλοῦ, κεφάλια δὲ δύο ἢ τρία ἐπ' ἄκρου συνεσταλμένα· ἐν οἷς σπέρμα ψύλλοις ὅμοιον, μέλαν, σκληρόν· E φύεται ἐν ἀρούραις καὶ "χέρσοις. Δύναμιν δὲ ἔχει "ψυκτικήν. ὠφελεῖ δὲ καταπλασσόμενον ἀρθρίτιδα, παρωτίδας, φύματα, οἰδήματα," στρέμματα, κεφαλαλγίαν, μετὰ ῥοδίνου ἢ ὄξους ἢ ὕδατος· ἐντεροκήλας τε τὰς ἐπὶ παίδων καὶ ἐξομφάλους F ὑγιάζει καταπλασσόμενον σὺν ὄξει. δεῖ δὲ ὀξυβάφου πλῆθος λεαίνοντας βρέχειν ἐν δυσὶν ὕδατος *δακτύλοις, καὶ ὅταν παγῇ τὸ ὕδωρ, ἐπιπλάττειν· ψύχει γὰρ ἱκανῶς, "καὶ εἰς ὕδωρ δὲ ζέον ἐπιτιθέμενον καταστέλλει τὴν θέρμην. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα. φασὶ δὲ ὅτι κομισθεῖσα ἐν G οἴκῳ χλωρά, οὐκ ἐᾷ ψύλλας γίνεσθαι. κοπεῖσα δὲ μετὰ στέατος, τὰ ῥυπαρὰ καὶ κακοήθη τῶν ἑλκῶν ἀνακαθαίρει. ὁ δὲ χυλὸς μετὰ μέλιτος πρὸς ὦτα ῥευματιζόμενα ποιεῖ καὶ σκώληκας ἔχοντα.

V. περὶ ψυλλίου ἢ κυνοκεφαλίου.

Addendum hoc annotauit Goupylus ex vtroq; antiquo, quod in vulg. exépl. desiderabatur.

V. addit ἢ πλείονα

V. caret.

Alii codices legunt, μαλακτικόν. Sed vulgata scriptura potior. Add. Lac. στυπτικόν.

Al. σπάσματα

V. ad finē vsque horum nihil legit.

De Psyllio. Cap. LXX.

D PSYLLIUM folio est coronopodis, hirsuto, at longiore, ramulis dodrantalibus, totáque herbula fœni modo tenuis ac minutula. Coma verò ipsius à medio caule ducit initiũ, capitulis duobus tribúsve conglobatis: in quibus semen pulicibus simile, nigrum atque durum. Nascitur in aruis & incultis. E Vis ei refrigerans: articulorum morbis, parotidibus, tuberculis, œdematis luxatísque & capitis dolori cum rosaceo aut aceto aquáve impositũ auxiliatur. Infantium quoque enterocelis ac eminenti vmbilico illitum ex aceto medetur. Acetabuli verò mensuram tritam in duabus aquæ F heminis macerari oportet, ac vbi sese aqua densauerit, lentorémve contraxerit, illini. Siquidem vehementer refrigerat: sed & in feruentem aquam immissa calorem reprimit: denique & contra erysipelata est efficax. Fama est, si virens herba domum importetur, pulices arceri. Tusa porrò cum adipe, sordi- G da malignáq; vlcera repurgat. Succus fluxione infestatis ac vermiculosis auribus ex melle prodest.

De Solano hortensi. Cap. LXXI.

SOLANVM hortense frutex est esculentus, haud ita magnus, alarũ cauis multis, foliis nigris & quàm ocymi maioribus ac latioribus, fructu rotundo, ac primùm quidem viridi, mox vbi maturitatem assecutus est, nigro aut fuluo: est verò herba innocentis gustus. Vis ei refrigerandi: quare folia erysipelatis & herpetibus cum polline polentæ conuenienter imponuntur. Trita autem & per se imposita, ægilopa capitísque dolorem sanant, & stomacho æstuanti auxiliantur: parotidas cum sale detrita illitu discutiunt. Sed & ipsius succus valet aduersus erysipelata & herpetas cum cerussa, rosaceo & argenti spuma: ęgilopas verò, cum pane. Infantibus quoque inflammatione laborantibus quam Siriasin vocant cum rosaceo infusus proficit. Inseritur & aquę vel oui vice collyrijs, quę contra fluxiones acres illinuntur: quin & aurium dolori instillatus prodest: fluorem etiamnũ muliebrem sistit in vellere subditus. Denique succus fuluo gallinarum cortalium fimo subactus & linteo appositus, ęgilopijs præsentaneo est remedio.

De Solano Halicacabo. Cap. LXXII.

Est & alterum Solanum, quod peculiari nomine halicacabum vocant, alij physalida, id est, vesicariã, foliis antedicto similibus, verùm latioribus: huius caules posteaquam adoleuerũt, proni terram spectant: est autẽ fructus intra folliculos orbiculatos vesicis similes *fuluus, rotundus ac læuis ceu vuæ acinus: quo etiam coronarij vtuntur, corollis intorquentes. Vim vsúmque obtinet hortensis solani, nisi quòd in cibos minimè recipitur. Valet autẽ fructus epotus ad expurgandũ morbum regium, qua præditus est vrinæ ciendæ facultate. Cæterùm ex vtriusque solani herba succus elicitur, qui siccatus in vmbra reconditur, & ad eadem illa pollet.

*Al. coccineus

De Solano somnifico. C.LXXIII.

Solanum somnificum aliqui etiam halicacabum vocant: frutex est

A Περὶ Στρύχνου. Κεφ. οα΄.

ΣΤΡΥΧΝΟΣ κηπαῖος ἐδώδιμός ἐστι θαμνίσκος, "οὐ μέγας," μασχάλας ἔχων πολλάς· φύλλα μέλανα, ὠκίμου μείζονα καὶ πλατύτερα· καρπὸν περιφερῆ, χλωρόν. μέλας δὲ ἢ κιῤῥὸς γίνεται μετὰ τὸ πεπανθῆναι· ἀβλαβὴς δὲ ἡ βοτάνη πρὸς γεῦσιν. V. add. μέλανος, κηπαίου. Alius codex nõ habet.

B Δύναμιν δὲ ἔχει ψυκτικήν· ὅθεν τὰ φύλλα καταπλασσόμενα, ἁρμόζει πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας μετὰ παιπάλης ἀλφίτου· καθ᾽ ἑαυτὰ δὲ ἐπιτιθέμενα λεῖα, αἰγίλωπα θεραπεύει καὶ κεφαλαλγίαν· καὶ στομάχῳ καυσουμένῳ βοηθεῖ· παρωτίδας δὲ διαφορεῖ σὺν ἁλσὶ λεῖα καταπλασσόμενα.

C καὶ "ὁ χυλὸς δὲ αὐτοῦ ποιεῖ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας," σὺν ψιμυθίῳ καὶ ῥοδίνῳ καὶ λιθαργύρῳ· πρὸς αἰγίλωπα δέ, σὺν ἄρτῳ. ἁρμόζει καὶ "σειριῶσι παιδίοις, σὺν ῥοδίνῳ ἐμβρεχόμενος· μίγνυται δὲ καὶ κολλυρίοις ἀντὶ ὕδατος ἢ ᾠοῦ τοῖς πρὸς ῥεύματα δριμέα εἰς τὰς ἐγχρίσεις· V. ὁ καυλὸς μιγείς. V. μιγεὶς σὺν ψιμυθίῳ V. ψίγνσι

D ὠφελεῖ καὶ ὠταλγίαν ἐνσταγείς. ἴσχει δὲ καὶ ῥοῦν γυναικεῖον, ἐν ἐρίῳ προστεθείς. ὁ "δὲ χυλὸς ἀναγκαῖός ἐστι πρὸς αἰγίλωπας, συμμαλασσόμενος ἀφόδῳ πυῤῥᾷ ὀρνίθων κατοικιδίων, καὶ ῥάκει ἐπιτιθέμενος. Al. καρπός. V. hæc non habet.

Περὶ Στρύχνου Ἁλικακάβου. Κεφ. οβ΄.

E Ἔστι καὶ ἕτερον στρύχνον, ὃ ἰδίως Ἁλικάκαβον καλοῦσιν, οἱ δέ, φυσαλίδα, φύλλοις ὅμοιον τῷ προειρημένῳ, πλατυτέροις μέντοι· οἱ καυλοὶ δὲ αὐτοῦ μετὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς "γίνονται· καρπὸν δὲ ἔχει ἐν θυλακίοις περιφέρεσιν ὅμοιον φύσαις, πυῤῥόν, περιφερῆ, λεῖον, ὡς ῥᾶγα σταφυλῆς, V. κλίνονται.

F ᾧ καὶ οἱ στεφανοπλόκοι χρῶνται καταπλέκοντες τοῖς "στεφάνοις. Δύναμιν δὲ ἔχει καὶ χρῆσιν τὴν αὐτὴν τῷ κηπαίῳ στρύχνῳ, χωρὶς τοῦ βιβρώσκεσθαι. Δύναται δὲ ὁ καρπὸς αὐτοῦ πινόμενος ἴκτερον ἀποκαθαίρειν, οὐρητικὸς ὤν. χυλίζεται δὲ ἀμφοτέρων ἡ πόα, καὶ ξηραίνεται ἐν σκιᾷ πρὸς Samb. τοῖς στεφάνοις

G ἀπόθεσιν· "ποιεῖ δὲ πρὸς τὰ αὐτά. V. ὑγρὰ δὲ ἀφανῶς add.

Περὶ Στρύχνου ὑπνωτικοῦ. Κεφ. ογ΄.

Στρύχνον ὑπνωτικόν, οἱ δέ, ἁλικάκαβον, θάμνος ἐστὶ κλάδους ἔχων πολ-

λευκά, πυκνοῖς, στελεχώδεις, δυσθραύστοις, φύλλων πλήρεις λιπαρῶν, ἐμφερῶν μήλῳ κυδωνίῳ· ἄνθος ἐρυθρὸν, εὐμεγεθές· καρπὸν ἐν λοβοῖς κροκίζοντα· ῥίζαν φλοιὸν ἔχουσαν ὑπέρυθρον, εὐμεγέθη. φύεται ἐν πετρώδεσι τόποις, οὐ πόρρω θαλάσσης. Τ αὐτῆς ὁ φλοιὸς τῆς ῥίζης ἐν οἴνῳ ποθεὶς < ὁλκὴ, ὑπνωτικὴν ἔχει δύναμιν τῆς ὀποῦ τῆς μήκωνος ἐπιεικεστέραν. ὁ δὲ καρπὸς οὐρητικός ἐστιν ἄγαν· δίδονται δὲ ὑδρωπικοῖς κόρυμβοι ὡς ιβ'. πλείονες δὲ ποθέντες, ἔκστασιν ἐργάζονται. βοηθοῦνται δὲ μελικράτῳ πολλῷ πινομένῳ. μίγνυται καὶ ἀνωδύνοις ὁ χυλὸς αὐτῆς, καὶ τροχίσκοις· ἀναφεψηθεὶς δ' οἴνῳ καὶ διακρατούμενος, ὀδονταλγίαις ἀρήγει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀμβλυωπίας μετὰ μέλιτος ἐγχρισθεὶς πραγματεῖται.

V. ... V.caret. V. θυλακίοις μικροῖς. Margo addit, ὥσπερ ἐρεβίνθου, σπέρμα στρογγύλον ὥσπερ ὀρόβου ἢ ἢ ς. Al. ἐν πέτραις V. caret. Al. ὁ χυλὸς ἐν οἴνῳ

Al. ἀνωδύνοις τροχίσκοις ὁ χυλὸς αὐτῆς καὶ ὁ φλοιὸς αὐτῆς. V. quidā φλοιός atque ita legit Lacuna. Al. διακρατούμενος ἐν τῷ στόματι ὀδονταλγίας παύει

Περὶ Στρύχνου μανικοῦ. Κεφ. οδ'.

Στρύχνον μανικὸν, ὃ ἔνιοι * πέρσιον, (οἱ) δὲ, θρύον ἐκάλεσαν. τούτου δ' ἐστὶ φύλλον παραπλήσιον εὐζώμῳ, μεῖζον δὲ πρὸς τὰ τῆς ἀκάνθης, ἥ τις καὶ παιδέρως καλεῖται· καυλοὺς δὲ ἀνίησιν ἀπὸ τῆς ῥίζης ὑποφυεῖς δέκα ἢ ιβ'. ὀργυιᾶς ἔχοντας ὕψος· τὴν κεφαλὴν ἐπικειμένην ὥσπερ ἐλαίαν, δασυτέραν δὲ ὡς πλατάνου σφαῖραν· μείζονα δὲ καὶ * πλατυτέραν· ἄνθος μέλαν. μετὰ δὲ τοῦτο καρπὸν ἔχει βοτρυοειδῆ, στρογγύλον, μέλανα, ῥαγάδας ι' ἢ ιβ'. ὁμοίας κισσοῦ κορύμβοις, μαλακὰς ὥσπερ σταφυλήν. ῥίζα δὲ ὕπεστι λευκὴ, παχεῖα, κοίλη ὡς πήχεως· φύεται ἐν ὀρεινοῖς χωρίοις καὶ προσηνέμοις καὶ πλαταμώδεσι. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη μετ' οἴνου < ά πλῆθος, φαντασίας ἀποτελεῖν οὐκ ἀηδεῖς· δύο δὲ < ποθεῖσαι, ἐξιστάνουσιν ἄχρι τριῶν ἡμερῶν· δ'. δὲ ποθεῖσαι, καὶ ἀναιροῦσιν. ἀντιφάρμακον δὲ ἐστὶν αὐτῷ μελίκρατον, πολὺ πινόμενον καὶ ἐξεμούμενον.

Theoph. στρύχνον, pro quo reponit Scaliger θρύον καὶ ὄνογρον.

Vterque ῥάγας, quæ, ex sentētia Goupyli, vera est huius loci scriptura. Sic & ὁμοίους, μαλακούς. V. παχεῖα.

A numerosis prædītus ramis, densis, caudicosis, fractu contumacibus, pinguium foliorum cotoneęq; mali similium plenis: flore rubro, prægrandi: fructu in folliculis croci colorem æmulante: radice denique grandi, cortice subrubro vestita. Nascitur in petrosis locis, non procul à mari. Radicis cortex drachmæ B pondere in vino potus, somniferam vim habet, quàm opium mitiorem: fructus autem potenter vrinam cit: atque adeò corymbi duodecim hydropicis exhibentur: quòd si plures numero propinentur, mentem è sua sede & statu dimouent. Sed remedio est aqua mulsa copiosa potui data. Pastillis etiam ac doloris leuamentum prębentibus medicamen- C tis succus eius admiscetur. Idē decoctus in vino si ore contineatur, doloribus dentium succurrit. Cæterum radicis succus cum melle inunctus, oculorū hebetudines tollit.

De Solano manico seu furiali. Cap. LXXIIII.

D Solanum manicum seu furiale nonnulli perisson, alij thryon appellauere. Huic folium erucæ proximum, at maius, ad acanthi quem pęderota vocant, foliū accedens: Caules verò à radice proceros emittit decem aut duodecim, vlnæ altitu- E dine adolescentes: caput in cacumine oliuæ figura, at platani pilularum instar hirsutius, maius tamen illa atque crassius: florem nigrum, cui succedit fructus racemosus, rotundus, niger, denis aut duodenis constans acinis, corymbis hederæ similibus & ceu vuæ mollibus. Radix subiacet candida, crassa, concaua & F ferè cubitalis. Nascitur in montosis locis vento perflatis, atque littoralibus petris. Vis ea radici, vt drachmæ vnius pondere pota ex vino, vanas species & imagines haud iniucundas menti repræsentet: duplicatus autem hic modus ad triduum vsque insaniam, seu mentis alienationem faciat, & quadrupli- G catus, mortem etiam repræsentet. Remedio est aqua mulsa largiùs epota, móxque identidem vomitione reddita.

De Dorycnio. Cap. LXXV.

DORYCNION (Crateuas halicacabũ aut caleam vocat) frutex oleæ nuper prodeunti similis: nascitur in petris nõ procul à mari, ramis cubito breuioribus, folijs oleæ similibus colore, at minoribus firmioribúsque ac vehementer asperis, flore candido, folliculis in cacumine densis, ceu ciceris: in quibus quina senáve minuta semina, rotũda, exigui erui magnitudine, læuia, firma & versicolora: radix ad digiti crassitudinem & cubiti longitudinem adolescit. Et hoc quoque somniferũ esse creditur: copiosius verò haustum, enecare. Nec desunt qui dicãt eius semen in amatoria expeti.

De Mandragora. Cap. LXXVI.

MANDRAGORAM nonnulli antimalum, aliqui dircæam, alij etiam circæam iccirco vocant, quòd credatur radix in amatorijs efficax esse. Duo eius genera: niger, qui fœmina existimatur, thridacias appellatus, folijs est quàm lactucæ angustioribus & longioribus, virosis ac graueolẽtibus, in terra sparsis: atque inter ipsa, mala gerit sorbis similia, ex luteo pallida, odorata, & in his semen ceu pyrorũ. Radicibus autẽ inhæret bene magnis, binis ternísve inuicem implicitis, nigris foris, intus albis, crasso cortice vestitis: caule verò viduus est. Alterius candidi, qui & mas dicitur, & nonnullis morion vocatus est, folia sunt magna, alba, lata, læuia ceu betæ: poma quàm prioris duplo maiora, colore in crocum inclinante, iucundè cũ grauitate quadam olentia: quæq; si mandantur à pastoribus, ij quodammodo soporantur: radix antedictæ similis, at maior atque candidior: orbata & hæc caule. E radicis recenti cortice tuso ac prælis subiecto succus exprimitur, quem in sole versatum, vbi densatus fuerit, fictili vase recondi oportet. Succus fit & è malis simili planè modo, sed aliquantò ignauior. Quin & detractus radici cortex filóque traiectus ad vsum suspenditur. Aliqui radices in vino ad tertias decoquunt, excolatúmque ius asseruant, eiúsque cya-

Περὶ Δορυκνίου. Κεφ. οε'.

A ΔΟΡΥΚΝΙΟΝ, Κρατεύας ἁλικάκαβον ἢ καλέαν καλεῖ, θάμνος ὅμοιος ἐλαίᾳ ἀρτιφυεῖ· κλῶνας ἔχων ἐλάσσονας πήχεως· φύεται ἐν πέτραις, οὐ πόρρω θαλάσσης, φύλλα δὲ τῷ χρώματι ἐλαίᾳ παραπλήσια, μικρότερα δὲ καὶ στερρότερα, καὶ τραχέα ἰσχυρῶς· ἄνθος λευκόν, ἐπ' ἄκρου ἔχει πυκνὰ θυλάκια ὥσπερ ἐρεβίνθου. ἐν οἷς σπερμάτια στρογγύλα ε' ἢ ς'. ὅσον ὄροβοι μικροὶ, λεῖα, ἰσχυρὰ καὶ ποικίλα· ῥίζαν πάχος δακτύλου, μῆκος δὲ πήχεως· δοκεῖ δὲ καὶ τοῦτο ὑπνωτικὸν εἶναι· πλεονασθὲν δέ, ἀναιρεῖν· φασὶ δέ τινες καὶ τὸ σπέρμα αὐτοῦ εἰς τὰ φίλτρα παραλαμβάνεσθαι.

V. Epit. περὶ δορυκνίου ἢ πυρέθρου.

Quidam inserit ὑπόλευκα. Ald. in nothis, λευκὰ καὶ τὰ &c.

Quidam, στενώτερα δὲ καὶ μακρότερα. Lac. legit in vet. cod. μακρότερα δὲ καὶ στενότερα

Περὶ Μανδραγόρου. Κεφ. ος'.

ΜΑΝΔΡΑΓΟΡΑΣ, οἱ δὲ ἀντίμηλον, οἱ δὲ διρκαίαν, οἱ δὲ κιρκαίαν καλοῦσιν, ἐπειδὴ δοκεῖ ἡ ῥίζα φίλτρων εἶναι ποιητική. ἔστι δὲ αὐτοῦ ὁ μέν τις θῆλυς, ὁ μέλας, θριδακίας καλούμενος· φύλλα ἔχων στενώτερα καὶ μακρότερα θρίδακος, βρωμώδη καὶ βαρέα κατὰ τὴν ὀσμήν, κεχυμένα δὲ ἐπὶ γῆς. καὶ παρ' αὐτὰ μῆλα οὔοις ἐμφερῆ, ὠχρά, εὐώδη, ἐν οἷς καὶ καρπὸς ὥσπερ ἀπίου. ῥίζαι εὐμεγέθεις δύο ἢ τρεῖς, ἀντεμπεπλεγμέναι ἀλλήλαις, μέλαιναι κατὰ τὴν ἐπιφάνειαν, ἔνδοθεν λευκαὶ καὶ παχύφλοιοι· καυλὸν δὲ οὐ φέρει. Τοῦ δὲ ἄρρενος καὶ λευκοῦ, ὃν ἔνιοι νώριον ἐκάλεσαν, φύλλα ἐστὶ μεγάλα, λευκά, πλατέα, λεῖα καθάπερ τεύτλου· τὰ δὲ μῆλα διπλάσια, κροκίζοντα τῇ χροιᾷ, εὐώδη μετὰ βάρους τινός· ἃ καὶ ἐσθίοντες οἱ ποιμένες πως ὑποκαροῦνται· ῥίζα δὲ ὁμοία τῇ πρὸ αὐτῆς, μείζων δὲ καὶ λευκοτέρα· ἄκαυλος δὲ καὶ αὐτή. Χυλίζεται δὲ ὁ φλοιὸς τῆς ῥίζης χλωρὸς κοπεὶς καὶ ὑποτεθεὶς πιεστῆρι. δεῖ δὲ ἡλιάσαντας μετὰ τὸ συστραφῆναι ἀποτίθεσθαι ἐν ὀστρακίνῳ ἀγγείῳ. χυλίζεται δὲ καὶ τὰ μῆλα ὁμοίως, ἀνεμθύον δὲ γίνεται τὸ ἐξ αὐτῶν χύλισμα. καὶ ὁ φλοιὸς δὲ τῆς ῥίζης περιαιρεθεὶς καὶ διαβληθεὶς λίνῳ, κρεμᾶται εἰς ἀπόθεσιν. ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι τρίτου, καὶ διυλίσαντες ἀποτίθενται· χρώμενοι ἐ-

V. quiddã addit, πρὸς τὴν ῥίζαν.
Vulg. exẽpl. μικρότερα. quidam vetus, πικρότερα
V. δυσώδη
V. λεκύθοις ὤων ἐμφερῆ
V. ὠχροειδῆ. nec malè, nisi Diosc. sibi contrarius esse velit. Samb.
V. addit, καθάπερ ἔφην
Al. φλοιώδεις
V. πόρειον
V. φέρει
Al. τριπλάσια
Lac. legit in vet. cod. καὶ λεπτοτέρα
V. subdit, καὶ μετὰ τὸ συστραφῆναι ἡλιασθεὶς ἀποτίθεται

πὶ τῶν ἀγρύπνων καὶ περιωδυνώντων κυάθῳ ἑνὶ, καὶ ἐφ' ὧν βούλονται ἀναισθησίαν τεμνομένων ἢ καιομένων ποιῆσαι. ὁ δὲ ὀπὸς ποθεὶς "ὀβολῶν δυοῖν πλῆθος ὁλκῆς, σὺν μελικράτῳ, ἄγει ἄνω φλέγμα καὶ "μέλαιναν χολὴν" ὡς ἐλλέβορος· πλείων δὲ ποθεὶς, ἐξάγει τοῦ ζῆν. μίγνυται καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ ἀνωδύνους δυνάμεις, καὶ πεσσοὺς μαλακτικούς. καθ' ἑαυτὸν δὲ ὅσον ἡμιώβολον προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει, δακτυλίῳ τε ἀντὶ βαλάνου ἐπιτεθεὶς, ὕπνον ποιεῖ. μαλάσσειν δὲ καὶ ἐλέφαντα λέγεται ἡ ῥίζα συνεψομένη αὐτῷ ἐπὶ ὥρας ς'. καὶ εὔπλαστον" αὐτὸν εἰς ὃ ἄν τις βουληθῇ σχῆμα παρασκευάζειν. τὰ δὲ φύλλα πρόσφατα ἁρμόζει πρός τε ὀφθαλμῶν φλεγμονὰς, καὶ τὰς ἐπὶ τῶν ἑλκῶν, μετὰ ἀλφίτου καταπλασσόμενα. διαφορεῖ δὲ καὶ πᾶσαν σκληρίαν καὶ ἀποστήματα, χοιράδας, φύματα· παρατριβόμενά τε ἡσυχῇ ἐπὶ ἡμέρας ε' ἢ ς'. στίγματα ἄνευ τοῦ ἑλκῶσαι ἀφανίζει. ταριχευθέντα δὲ τὰ φύλλα, ἀποτίθεται πρὸς τὰς αὐτὰς χρείας. ἡ δὲ ῥίζα σὺν ὄξει λεία, ἐρυσιπέλατα ἰᾶται· πρὸς δὲ ἑρπετῶν πληγὰς, σὺν μέλιτι ἢ ἐλαίῳ· σὺν ὕδατι δὲ, χοιράδας καὶ φύματα διαχεῖ· καὶ ἄρθρων πόνους παύει μετὰ ἀλφίτων. σκευάζεται δὲ καὶ δίχα ἑψήσεως οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης. δεῖ δὲ ἐμβάλλειν μνᾶς γ'. εἰς μετρητὴν οἴνου γλυκέος, διδόναι τε ἐξ αὐτοῦ" κυάθους γ'. τοῖς μέλλουσι τέμνεσθαι ἢ καίεσθαι, ὡς προείρηται· οὐ γὰρ ἀντιλαμβάνονται τοῦ ἀλγήματος, διὰ τὸ καταφέρεσθαι. τὰ δὲ μῆλα ὀσφραινόμενα καὶ ἐσθιόμενα, "καρωτικά· καὶ ὁ ἐξ αὐτῶν χυλὸς πλεονασθέντα δὲ, καὶ ἀφώνους ποιεῖ. τὸ δὲ σπέρμα τῶν μήλων ποθὲν, ὑστέραν καθαίρει· προστεθὲν δὲ μετ' ἀπύρου θείου, ῥοῦν ἵστησιν ἐρυθρόν· ὀπίζεται δὲ περιχαραττομένης τῆς ῥίζης "πολυειδῶς, καὶ τοῦ συρρέοντος εἰς τὴν κοιλότητα συλλεγομένου. ἔστι δὲ ἐνεργέστερος ὁ ὀπὸς τοῦ χυλοῦ. οὐκ ἐν παντὶ δὲ τόπῳ φέρουσιν ὀπὸν αἱ ῥίζαι· ὑποδείκνυσι δὲ τὸ τοιοῦτον ἡ πεῖρα.

V. caret.

V. caret.
V. quidā carent.

V. addit, τὸν ἀθενοῦν τε καὶ ἀσχημάτιστον ἀποτελεῖ.

V. κυάθους δυοῖν πλῆθος.

Epit. addit, διὰ τὸ μετέχειν ὑγρότητος κωματώδους. Sed putat ascriptū Samb.

V. θηλοειδῶς. & Marc. θηλοειδῶς.

A thum vnum propinant in peruigilijs grauioribúsque partium quarumuis doloribus, itémque ante sectiones vstionésve, vt ne sentiátur. Ipse verò liquor binis obolis ex aqua mulsa potus, veratri instar supernè pituitam bilémq; atram extrahit: at potu largiore, vitam adimit. Miscetur & oculorum medica-
B mentis, iísque quibus dolores leniuntur, ac pessis quoque emollientibus. Per se autem semioboli pondere appositus, menses ciet atque partus: sedi quoque pro balano inditus, somnum conciliat. Porrò & radix ebur emollire fertur, quæ senis horis cū eo decocta fuerit: prætereáque ita tractabile ipsum effi-
C cere, vt quam quisque voluerit formam facilè suscipiat. Folia verò recētia oculorum inflammationibus, iísque quæ vlceribus superueniunt, cum polenta conuenienter imponuntur. Sed & duritias omnes, apostemata, strumas & tubercula discutiunt. Eadem si quinis senísve diebus leniter affricentur, stigmata ci-
D tra exulcerationem delēt. Illa quoque ad eosdē vsus in muria seruantur. Radix autem ex aceto trita, erysipelatis medetur: serpentium autē ictibus, cum melle aut oleo. At ex aqua, strumas atque tubercula dissipat, & articulorum cruciatus cum polenta sedat. Paratur & citra co-
E cturam vinū è cortice radicis, dum ternæ minæ in vini dulcis cadum conijciuntur: atque dantur ex eo terni cyathi ijs qui secari vrive debent, vti antè dictum est: neque enim altiore somno sopiti dolorem percipiunt. Poma verò & olfactu & cibo sunt soporifera, itémque expressus ex ijs succus. At illa seu nimio odore, seu etiam largiore cibo,
F vocis vsum præcludunt. Semen autem ipsorum epotum, vuluam purgat, subditúmque cum sulphure ignem minimè experto, rubrum sistit fluorem muliebrem. Cæterùm circunscarificata punctísque multifariam aperta radice liquor seu lacryma erumpit, quæ quidem in ca-
G uitatem recepta colligitur. At succus hac lacryma efficacior est. Neque verò, quod experiētia testatur, vbique lacrymam radices fundunt.

Porrò & alium tradūt esse mandragoram, qui morion etiam nominetur. Nascitur is in opacis & iuxta specus, folijs albi mandragoræ, at minoribus, penè dodrantalibus, candidis, radicem ambientibus: quæ quidem tenera est candidáq; paulò maior palmo, pollicémque crassitudine æquat. Hanc narrant epotam drachmę pondere, aut cum polenta in placenta obsonióve deuoratam, infatuare, vsúmque rationis intercipere. Obdormiscit enim homo eadē qua illam comederit figura, sensus impos ternis quaternísve ex quo data est horis. Sed & illa Medici vtuntur, cùm secandi vrendíve necessitas adest. Aiunt insuper pro antidoto esse radicem, si cum solano manico bibatur.

De Aconito. Cap. LXXVII.

ACONITVM aliqui pardalianches, alij cammarum, alij thelyphonon, alij myoctonon, alij denique theriophonon appellauere. Folia habet terna quaternáve, ceu cyclamini aut cucumeris, minora tamen ac leniter "aspera, caulem dodrantalem: radix scorpij caudam ęmulatur, & alabastri modo splendet. Huius, vt aiunt, radice admota scorpius quasi resolutus torpescit, rursúmque apposito helleboro "excitatur. Miscetur & oculorum medicamentis doloris leuandi vi præditis. Enecat verò pantheras, sues, lupos ac ferarum genus omne, carnium frustulis inditum & appositum.

hirsuta Vl. quasi ὑποδασέα legerit.

Plin. resuscitari scit.

De Aconito altero. C. LXXVIII.

Aconitum alterum, quod nonnulli cynoctonon, alij lycoctonon vocant, plurimum in Italia nascitur Vestinis mōtibus, "à priore distans. Siquidem folia gerit similia platani, sed altioribus diuisa incisuris, minoráque multò & nigriora, caulem pediculi filicis instar nudum, cubitali altitudine aut etiam maiore, & semen in siliquis aliquatenus oblongis: radices verò in modum squillæ marinæ cirrorū nigras, quibus ad venationem luporum vtuntur. Insertæ siquidem crudis carnibus & à lupis deuoratæ, eos enecat.

superiora pro humilius folia

A "Ἱστοροῦσι δὲ καὶ ἑτέραν μωρίον λεγομένην, φυομένην ἐν παλισκίοις καὶ "περὶ τὰ ἄντρα, φύλλα ἔχουσαν ὅμοια τῷ λευκῷ μανδραγόρᾳ, μικρότερα δὲ ὡς σπιθαμιαῖα, λευκὰ, κύκλῳ περὶ τὴν ῥίζαν, οὖσαν ἁπαλὴν καὶ λευκήν, μικρῷ μείζονα σπιθαμῆς, πάχος δακτύλου μεγάλου.

V. multi carent.

Lac. legit in vet. cod. καὶ ἀνύδροις

B ταύτην φασὶ πινομένην ὅσον ℥ α. ἢ μετὰ ἀλφίτων ἐσθιομένην ἐν μάζῃ ἢ ὄψῳ, "ἀπομωραίνειν. καθεύδει γὰρ ὁ ἄνθρωπος ἐν ᾧ περ ἂν φάγοι σχήματι, ἀναισθητῶν οὐδενὸς ἐπὶ ὥρας γ. ἢ δ. ἀφ' οὗ περ ἂν προσενέγκηται. χρῶνται δὲ καὶ ταύτῃ οἱ ἰατροὶ, ὅταν τέμνειν ἢ καίειν μέλλωσι. φασὶ

C δὲ καὶ ἀντίδοτον εἶναι τὴν ῥίζαν, πινομένην μετὰ στρύχνου τοῦ καλουμένου μανικοῦ.

Περὶ Ἀκονίτου. Κεφ. οζ.

ΑΚΟΝΙΤΟΝ, (οἱ) δὲ, παρδαλιαγχές, οἱ δὲ, κάμμορον, (οἱ) δὲ, θηλυφόνον, οἱ δὲ, μυοκτόνον" οἱ δὲ, θηροφόνον. φύλλα ἔχει τρία ἢ τέσσαρα, ὅμοια "κυκλαμίνῳ

D ἢ σικύῳ", μικρότερα δὲ καὶ ὑποτράχεα" καυλὸς δὲ σπιθαμῆς· ῥίζα" ὁμοία σκορπίου οὐρᾷ, στίλβουσα ἀλαβαστροειδῶς. Τούτου τὴν ῥίζαν φασὶ προσαχθεῖσαν σκορπίῳ, παραλύειν αὐτόν· διεγείρεσθαι δὲ πάλιν, ἐλλεβόρου προστεθέντος. μίγνυται δὲ καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι. κτεί-

Has voces οἱ δὲ interserit Goupylus, quæ in vulgatis exēpl. desiderabantur.

Quidā ascripserunt, ἢ κυάμῳ.

Orib. addit, ἀγρίῳ

V. addit φέρε ἐν κύκλῳ, quod nō esse negligendū monet Samb.

Dodonæus legēdum cēset, ὁμοία σκορπίῳ

E νει δὲ καὶ παρδάλεις καὶ σῦς καὶ λύκους καὶ πᾶν θηρίον, κρεαδίοις ἐντιθέμενον καὶ παραβαλλόμενον.

Περὶ ἑτέρου Ἀκονίτου. Κεφ. οη.

Ἀκόνιτον ἕτερον, ὃ ἔνιοι κυνοκτόνον, (οἱ) δὲ λυκοκτόνον καλοῦσι". γεννᾶται μὲν πλεῖστον ἐν Ἰταλίᾳ, ἐν τοῖς καλουμένοις

F Οὐεστίνοις ὄρεσι, διαφέρον τοῦ προτέρου. φύλλα δὲ ἔχει ὅμοια τοῖς τοῦ πλατάνου, μᾶλλον δὲ ἐσχισμένα καὶ" *μικρότερα πολλῷ καὶ μελάντερα· καυλὸν δὲ καθάπερ πτέριδος μόσχον ψιλὸν, ὕψος πήχεως, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς ἐπιμήκεσι ποσῶς· ῥίζας ὥσπερ πλε-

G κτάνας καρίδων μελαίνας· αἷς χρῶνται πρὸς τὰς τῶν λύκων θήρας, ἐντιθέντες κρέασιν ὠμοῖς. βρωθεῖσαι γὰρ ὑπὸ τῶν λύκων, ἀναιροῦσιν αὐτούς.

V. add. τούτου γένη ἐστὶ τρία. ἓν μὲν ᾧ ἐν θήραις χρῶνται. τῷ δευτέρῳ ἰατροί. τρίτον τὸ λεγόμενον Ποντικόν. al. τούτου γένη εἰσὶ τρία. ἓν μὲν ᾧ οἱ κυνηγέται χρῶνται. τοῖς δὲ δυσὶν οἱ ἰατροί. ὧν τὸ τρίτον λεγόμενον ποντικόν, id est, huius genera tria, vnū quo venatores vtuntur, duo quibus medici ex his tertium est quod Ponticum dicitur.

Vulg. exempl. Ἰκεστίνοις

V. μικρότερα, ξηραντικὴν ἔχοντα τῶν ἑλκωμένων δυνάμεων.

Περὶ Κωνείου. Κεφ. οθ'.

A

Κώνειον καυλὸν ἀνίησι γονατώδη ὡς μάραθρον, "μέγαν, φύλλα δὲ νάρθηκι ἐμφερῆ, στενώτερα δὲ καὶ βαρύοσμα. ἐπ' ἄκρων δὲ ἀποφύσεις καὶ "σκιάδια, ἄνθος ὑπόλευκον· σπέρμα ἐμφερὲς ἀνίσῳ, λευκότερον· "ῥίζα κοίλη καὶ οὐ βαθεῖα. Ἔστι δὲ καὶ αὐτὸ τῶν φθαρτικῶν, κατὰ ψύξιν ἀναιροῦν. βοηθεῖται δὲ ἀκράτῳ. "χυλίζονται δὲ τὰ ἄκρα πρὸ τοῦ ξηρανθῆναι τὸ σπέρμα, ἡ κόμη, καὶ ἐκθλίβεται κοπτομένη, καὶ συστρέφεται ἐν ἡλίῳ. ἔστι δὲ πολύχρηστον εἰς τὴν ἰατρικὴν χρῆσιν ξηρανθὲν "μιγνύμενον ἐπιτηδείως τοῖς ἀνωδύνοις "κολλυρίοις τὸ χύλισμα· ἑρπητάς τε καὶ ἐρυσιπέλατα καταπλασθὲν σβέννυσιν. ἡ δὲ πόα καὶ ἡ κόμη λεία καταπλασσομένη τῶν διδύμων, ὀνειρωγμοῖς βοηθεῖ. παρίησι δὲ καὶ αἰδοῖα καταπλασθέντα. καὶ γάλα σβέννυσι, μαστούς τε ἐν παρθενίᾳ κωλύει αὔξεσθαι, καὶ διδύμους ἀτρόφους ποιεῖ ἐπὶ παιδίων. ἐνεργέστατον δὲ ἐστὶ τὸ Κρητικὸν καὶ "Μεγαρικὸν, καὶ τὸ Ἀττικὸν, καὶ τὸ ἐν τῇ Χίῳ καὶ Κιλικίᾳ γινόμενον.

Al. μέλανα

V. βαρυοσμότερα

V. ita σκιάδιον δὲ ἄμφω ὑπολεύκων

Al. ῥίζα οὐ βαθεῖα καὶ λευκή

V. χυλίζεται δὲ ἄκρα ἡ κόμη

V. add. καὶ οἴνῳ

V. interponit καὶ

V. pro his habet, καὶ τὸ ἐν τῇ Κρήτῃ γινόμενον

B

C

D

De Cicuta. Cap. LXXIX.

Cicuta caulem edit geniculatum vti & fœniculũ, grandem: folia ferulæ, sed angustiora & graui odoratu: in cacuminibus autem ramorũ propagines & vmbellas, florem quoque albicantem & semen ceu anisi, at candidius: radicem denique cõcauam minimeq; profundam. Est & cicuta in lethaliũ venenorũ genere, quippe quæ vi sua refrigeratoria enecet: merũ verò remedio est. Porrò contusis cacuminibus seu coma ipsa, prius quàm semina siccescant, succus exprimitur, qui deinde Sole dẽsatur atq; cogitur. Huius autẽ arefacti multiplex est in medicina vsus. Siquidem collyrijs doloris sedandi vi præditis cõmodè miscetur, & herpetas ac erysipelata illitu restinguit. Herba verò cum coma trita testibúsque circumlita, libidinis in somno imaginationi simul & seminis profusioni obnoxijs opitulatur. Sed & genitalia illitu effœta languidioráq; reddit. Lac itidem extinguit, & virginum mammas crescere nõ patitur: ac puerorum quoque testes nutrimento defectos ita reddit, vt intabescant. Maxima efficacissimáque vis Creticæ, Megaricæ, Atticæ, & in Chio ac Cilicia nascenti.

Περὶ Σμίλακος. Κεφ. π'.

Σμῖλαξ, οἱ δὲ, θύμαλον, Ῥωμαῖοι δὲ Τάξον καλοῦσι, δένδρον ἐστὶ παραπλήσιον ἐλάτῃ τοῖς φύλλοις καὶ μεγέθει, ἐν Ἰταλίᾳ καὶ ἐν Ναρβωνίᾳ τῇ κατὰ τὴν Ἰσπανίαν φυόμενον. τῆς δὲ ἐν Ἰταλίᾳ γινομένης τὸν καρπὸν ὄρνιθα ἐσθίοντα, *μελαίνεται· οἱ δὲ προσενεγκάμενοι, διαρροίαις περιπίπτουσι. ἡ δὲ ἐν τῇ Ναρβωνίᾳ, τοσαύτης δυνάμεως μετέχει, ὡς καὶ ἐκ τῆς σκιᾶς τοὺς ὑποκαθίσαντας ἢ κοιμηθέντας βλάπτεσθαι, πολλάκις δὲ καὶ θνήσκειν. ἱστορεῖται δὲ περὶ αὐτῆς χάριν τοῦ προφυλάττεσθαι.

Mar. Χαρβωνίᾳ

E

F

De Taxo. Cap. LXXX.

Smilax à quibusdã thymalus, à Latinis Taxus appellatur, arbor abietis magnitudine & foliorum eiusdẽ figura, in Italia & Narbonensi Gallia Hispaniæ contermina nascẽs. Sed nigrescũt pulli gallinacei, qui Italicę taxi fructu vescũtur: & q eũdẽ ederint homines, alui profluuijs corripiũtur. Narbonẽsis verò tã præsentis est veneni, vt qui sub eius vmbra sederint obdormierintve, lædãtur, & sæpenumero etiã moriãtur. Cæterùm hæc de taxo tradũtur eo consilio, vt ab ea quisque caueat.

Περὶ Ἀποκύνου. Κεφ. πα'.

Ἀπόκυνον, οἱ δὲ, "κύναγχον, οἱ δὲ, παρδαλιαγχὲς, οἱ δὲ "κυνόμορον, οἱ δὲ, "κυνοκράμβην καλοῦσι, "θάμνος ἐστὶ ῥάβδους ἔχων "μακρὰς, λυγώδεις "δυσθραύστους, φύλλα κισσῷ ὅμοια, μαλακώτερα δὲ καὶ ὀξύτερα κατ' ἄκρον, βαρύοσμα, ὑπόγλισχρα, ὀποῦ μεστὰ μηλίνου. καρπὸς δὲ ὡσεὶ

V. κυνάγχην

Al. κυνόμορον

V. caret. vulg. exempl. θάμνος

Sunt qui μικρὰς legerint.

Al. δυσθραύστους addunt.

G

De Apocyno. Cap. LXXXI.

Apocynon aliqui cynãchon, nonnulli pardalianches, alij cynomoron, alij deniq; cynocrambẽ, h. e. brassicã caninã, appellãt. Est verò frutex lõgis cõstans virgultis, vitiliũ modo obsequiosis, fractúq; ferẽ inuictis: folijs hederę, attamẽ mollioribus & per extremũ acutiorib', grauique odore, quadantenus viscosis, & luteo succo turgentibus. Fructus ceu

fabarum

fabarum siliqua digiti longitudine protenditur, folliculari specie, minutis intus seminibus duris, paruis atque nigris. Huius folia cum subacta farina in panes coacta & in cibo data, canes, lupos, vulpes & pantheras necant, ac protinus earum quadrupedum coxendices resoluunt.

De Nerio. *Cap. LXXXII.*

NERION quibusdam rhododaphne, alijs rhododendron vocatum, frutex est vulgaris notitiæ, longioribus crassioribúsque folijs quàm sint amygdalina: flore ad rosæ similitudinem conformato, & siliqua fructui amygdalino proxima: quæ quidem dehiscens lanosa quadam natura acanthij pappos repręsentante plena reperitur: radice acuminata & longa, lignosa atque gustanti salsa. Nascitur in viridariis, maritimisq; locis, & secus ammes. Flores ac folia canibus, asinis, mulis & plerisque quadrupedibus venena sunt: hominibus verò contra venenatarum bestiarum morsus præsidia, si è vino bibantur, eóque magis ruta addita. Imbecilliores autẽ animantes, vti capræ ac pecudes, si aquam biberint in qua illa maduerint, moriuntur.

De Fungis. *Cap. LXXXIII.*

FVNGORVM differentia duplex. Aut enim edules sunt, aut exitiosi & perniciales. Ac tales quidẽ multis de causis euadũt: nẽpe quia iuxta clauos rubiginosos, aut putridos pannos, aut serpentum latibula gignantur: aut etiam arboribus quæ priuatim noxios pariunt fructus adnascantur. Habent porrò & qui tales sunt concretum quendam strigmétique modo viscosum intra se lentorem, ac etiamnum posteaquã terra sunt eruti si reponantur, celeriter corrumpuntur & computrescunt. At innocentiores, quique veneno imbuti non sunt, gratiam iuribus conciliant, iucundíque sunt saporis. Veruntamen & hi ipsi largiùs sumpti nocent: quippe qui ægrè cõcocti strangulant, aut cholerã morbum accersunt. Remedio est nitri & olei, aut lixiuij cum acida muria potus, haustúmve thymbræ decoctæ origaníve iusculum. Est & remedio fimum gallinaceum ex aceto potũ, aut ex copioso melle delinctum. Cæterùm alibiles illi sunt ægréque dissoluuntur: quin & integri vt plurimùm vnà cum recrementis alui reiiciuntur.

A λοβὸς κυάμων περὶ δακτύλου τὸ μῆκος, θυλακώδης· ἐφ᾽ ὧν σπερμάτια, [σκληρὰ, σμικρὰ, μέλανα.] Ταύτης τὰ φύλλα σὺν στέατι ἀρτοποιηθέντα καὶ παραβληθέντα, κτείνει κύνας, λύκους, ἀλώπεκας, παρδάλεις· παραχρῆμα δὲ παραλύει αὐτῶν τὰ ἰσχία.

Περὶ Νηρίου. Κεφ. πβ'.

B ΝΗΡΙΟΝ, (οἱ δὲ ῥοδοδάφνη, οἱ δὲ ῥοδόδενδρον,) θάμνος γνώριμος, "ἀμυγδαλῆς μακρότερα καὶ "παχύτερα ἔχων φύλλα. τὸ δὲ ἄνθος ῥοδοειδές· καρπὸν" δὲ ἐμφερῆ ἀμυγδάλῳ, ὡς* κέρατι, ἀνεῳγμένον πλήρη ἐριώδους φύσεως, ὅμοιον τοῖς "ἀκανθίνοις πάπποις· ῥίζα δὲ ἀπόξυς καὶ μα- C κρὰ, ξυλώδης, γευσαμένῳ ἁλμυρά. φύεται" ἐν παραδείσοις [καὶ παραθαλασσίοις τόποις, καὶ] παρὰ ποταμοῖς. Δύναμιν δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, "κυνῶν μὲν καὶ ὄνων καὶ ἡμιόνων, καὶ τῶν πλείστων τετραπόδων δὲ ζώων φθαρτικὴν· "ἀνθρώπων δὲ σωστικὴν, σὺν οἴνῳ πινόμενα πρὸς δήγματα D θηρίων· καὶ μᾶλλον εἰ πηγάνῳ παραμιχθείη. τὰ δὲ" ἀσθενέστερα τῶν ζώων, ὡς αἶγες καὶ πρόβατα, ἐπὰν τὸ ἀπόβρεγμα αὐτῶν πίῃ, ἀποθνήσκει.

Περὶ Μυκήτων. Κεφ. πγ'.

ΜΥΚΗΤΩΝ διαφορὰ διττή· ἢ γὰρ βρώσιμοί εἰσιν, ἢ φθαρτικοί. παρὰ "πολλαῖς δὲ αἰτίαις γίνονται τοιοῦτοι· ἢ γὰρ ἥ- E λοις κατιωμένοις, ἢ ῥάκεσι σεσηπόσιν, ἢ ἑρπετῶν φωλεοῖς παραφύονται, ἢ δένδρεσιν "ἰδίως βλαπτικοὺς φέρουσι τοὺς καρπούς. ἔχουσι δὲ καὶ γλοιώδη οἱ τοιοῦτοι ἐπίπαγον· κατατεθέντες δὲ μετὰ τὸ ἀφαιρεθῆναι, ταχέως διαφθείρονται σηπόμενοι. οἱ δὲ" μὴ τοιοῦτοι, ζωμοποιοὶ, ἡδεῖς· πλεονασθέντες F μέντοι καὶ οὗτοι, βλάπτουσι δυσπεπτούμενοι, πνίγοντες ἢ" χολέραν ἐπάγοντες. βοηθοῦνται δὲ πάντες ποτιζόμενοι νίτρῳ" καὶ ἐλαίῳ, ἢ κονίᾳ, μετὰ ὀξάλμης, ἢ θύμβρας ἀποζέματι, ἢ ὀριγάνῳ, ἢ ὀρνιθείῳ κόπρῳ μετ᾽ ὄξους πινόμενοι, ἢ μέλιτι ἐκλειχόμενοι πολλῷ. τρόφιμοι δὲ εἰσὶ καὶ δυσδιάλυτοι· ὁλόκληροι δὲ G ὡς ἐπιτοπολὺ σὺν τοῖς περιττώμασιν ἀποδίδονται.

V. caret inclusis. Pro μέλανα Ruellij codex λευκὰ legit.

Lacuna legit in v.c. ἀμυγδαλῇ φύλλα ἔχων ὅμοια μακρότερά τε καὶ παχύτερα καὶ πλατύτερα καὶ τραχύτερα

V. τραχύτερα

V. καρπὸν δὲ φέρει ὡς κέρατα

Vul. ex. ὑακινθίνοις, V. quidã ἀκανθίνοις παππώεσιν

V. caret.

Ald. παραποταμίοις.

V. κτηνῶν μὲν πάντων φθαρτικήν.

V. ἀνθρωπίνοις

V. ἀσθενέστατα

Samb. πολλάς

Orib. Simpliciter βλαπτικοῖς. Samb. γλινώδη

Orib. ἰδιώδιμοι. ζωμ.

V. ἔμετον καὶ χολέραν

In vulg. ex. deerat καὶ ἐλαίῳ. Sed ex Lacunæ v.c. itémque ex Oribasio adiecimus.

Περὶ Κολχικοῦ. Κεφ. πδ'. A

Κολχικόν, ὃ οἱ δὲ ἐφήμερον, οἱ δὲ βολβὸν ἄγριον, λήγοντος τοῦ φθινοπώρου αἴρει ἄνθος ὑπόλευκον, ὅμοιον κρόκου ἄνθει· ὕστερον δὲ τὰ φύλλα φέρει βολβῷ παραπλήσια, λιπαρώτερα· καυλὸν σπιθαμιαῖον, καρπὸν ἔχοντα πυρρόν· ῥίζαν φλοιὸν ἔχουσαν ἔκιρρον ἐν τῷ μέλανι, ἥτις λεπιζομένη λευκὴ καὶ ἁπαλὴ καὶ ὀπώδης μεστὴ εὑρίσκεται, καὶ γλυκεῖα· ἔχει δὲ ὁ βολβὸς διάφυσιν μέσην, καθ' ἣν τὸ ἄνθος ἀφίησι· γίνεται δὲ πλεῖστον ἐν τῇ Μεσσηνίᾳ καὶ Κόλχοις. βρωθεῖσα δὲ κτείνει κατὰ τὸν πνιγμὸν ὁμοίως μύκησιν. Ἀνεγράψαμεν δὲ αὐτὴν, ἵνα μὴ λάθῃ βρωθεῖσα ἀντὶ βολβοῦ· παραδόξως γάρ ἐστιν ἐπακτικὴ διὰ τὴν ἡδονὴν τοῖς ἀπείροις. βοηθεῖ δὲ τοῖς φαγοῦσιν ὅσα καὶ τοῖς μύκητας φαγοῦσι· καὶ γάλα βόειον πινόμενον· ὥστε ὅταν παρῇ τοῦτο, μηδενὸς ἄλλου δεῖσθαι βοηθήματος. B C

Al. ἐπὶ πυῤῥόν. V. ἐν μέλανι πυῤῥὸν

Al. ὑπόκιῤῥον.

V μεγίστη

V. addit καὶ

V. διάχυσιν.

V. addit δὲ

Περὶ Ἐφημέρου. Κεφ. πε'.

Ἐφήμερον, οἱ δὲ ἶριν ἀγρίαν, φύλλα καὶ καυλὸν ὅμοια ἔχει κρίνῳ, λεπτότερα δέ· ἄνθη λευκά, πικρά· καρπὸν δὲ μαλακόν· ῥίζα δὲ ὕπεστι δακτύλου πάχος μία, μακρά, στυπτική, εὐώδης. φύεται ἐν δρυμοῖς καὶ παλισκίοις. Τούτου ἡ μὲν ῥίζα ὀδονταλγίας ἐστὶ φάρμακον, διακλυζομένη. τὰ δὲ φύλλα ἐν οἴνῳ ἑψηθέντα καὶ καταπλασθέντα, οἰδήματα καὶ φύματα διαφορεῖ, μήπω ὑγρὸν ἔχοντα. D E

Al. κρίνοι

Lacunæ cod. addit παύει γὰρ τὴν ὀδύνην.

Fuchsius πῦον legendum censet ex Galeno.

Περὶ Ἐλξίνης. Κεφ. πς'.

Ἐλξίνη, ἣ δὲ παρθένιον, οἱ δὲ σιδηρῖτιν, οἱ δὲ ἡράκλειαν, οἱ δὲ *ἀστείαν, οἱ δὲ ἰξίνην ἀγρίαν, οἱ δὲ κλιβάδιον, οἱ δὲ πολυώνυμον καλοῦσι· φύεται ἐπὶ θριγγοῖς καὶ τοίχοις· καυλία δὲ ἔχει λεπτά, ὑπέρυθρα· φύλλα ὅμοια λινοζώστει, δασέα· περὶ δὲ τοὺς καυλοὺς οἱονεὶ σπερμάτια τραχέα, ἀντιλαμβανόμενα τῶν ἱματίων. F

Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν, στυπτικήν· ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα, κονδυλώματα, κατακαύματα, φύγεθλα ἀρχόμενα, καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα· ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας G

V. ἢ περδίκιον

Orib. οἱ δὲ ἐλκῖτιν

Forte κλυβάτιν, vt apud Nic.

Quidam codices carent. In nothis verò legitur, φύεται ἐν φραγμοῖς καὶ τοίχοις καὶ ἀμπελῶσι καὶ σίτῳ. καυλία δὲ ἐστιν ὑπέρυθρα &c.

Ald. ἐστὶ, V. ἐστὶ

σπιθαμιαῖα

V. δακτύλους

V. caret

De Colchico. Cap. LXXXIIII.

COLCHICVM, quod aliqui ephemerum, alij agrestem bulbū vocant, sub finem autumni florem edit croci candicantē: deinceps verò folia bulbi, sed pinguiora: caulē dodrantalem cum rufo semine: radicem cortice præditā è nigro fulvescente: quæ quidem delibrata cādida, tenera, succi plena atque etiā gustanti dulcis reperitur. Habet verò bulbus eius mediam rimam fissurámve, è qua flos erumpit. Plurimum in Messenia & apud Colchos enascitur. Comesa radix fungorum more strangulando enecat. Hanc autē ideò studiosiùs descripsimus, vt ne fortè per imprudentiam pro esculēto bulbo in cibos recipiatur: mirum enim quantū saporis iucunditate imperitos alliciat. Opem ferunt eadem quę fungis deuoratis, insuperq; lac bubulum epotum ita auxiliatur, vt si affuerit, aliud nullum desideretur auxilium.

De Ephemero. Cap. LXXXV.

EPHEMERVM, quod alij agrestem irin appellant, caulem foliáque habet lilij, sed hæc tenuiora: flores candidos, amaros: semen molle: radicem vnam digitali crassitudine, longam, astringentem, odoratā. Nascitur in syluis & opacis. Huius radix dentium doloribus præcipua, si decocto ij colluantur. Folia verò in vino cocta illitáq;, œdemata tuberculáque discutiunt, * quæ quidem humidi nihildum contraxēre.

Pl. quæ etiam dum discuti possunt.

De Helxine. Cap. LXXXVI.

HELXINE, quam nonnulli parthenium, alij perdicium, alij sideritin seu Heracleam, alij vitrariā seu vrceolariam, alij ixinen syluestrē, alij clibadiū, alij denique polyonymon appellāt, nascitur in maceriis & parietinis*. Cauliculos profert tenues ac leuiter rubentes, folia mercurialis, hirsuta: & circa caules velut exigua semina, aspera, vestibus adhærescentia. Vim habēt folia refrigeratoriam & astringentem: qua ex causa sanant illitu erysipelata, condylomata, adusta, incipientes panos, omnéque inflāmationis genus & œdemata. Succus ei⁹ cū cerussa erysipelatis & herpetib⁹

forte clybatin

al. itineribus & parietibus.

vtiliter illinitur: vti & podagris, si cerato cyprino aut hircino seuo exceptus fuerit. Veterem quoque tussim emendat succus, instar cyathi haustus. Quin & tonsillis inflammationem sentientibus vtiliter & gargarizatur & oblinitur, necnon & aurium dolorem cum rosaceo instillatus leuat.

De Alsine. Cap. LXXXVII.

ALSINEN alij myosota vocant, quoniam folijs musculorum auriculas imitetur. Alsine verò dicta est, quòd opacis nemorosisque locis gaudeat. Herba est helxinę similis, at humilior, longioribúsque folijs, ac minimè hirsuta: & cùm teritur, odorem cucumeris reddit. Vim porrò refrigerandi astringendíque obtinet: quamobrem oculorum inflammationibus cómodè cum polenta illinitur, auriúmque dolori succus infunditur: denique ad eadé omnia quæ helxine valet.

De Lenticula palustri. Cap. LXXXVIII.

LENS palustris in aquis pigris stagnantibúsque reperitur, muscus scilicet lenticulæ similis, refrigeratoriæ naturæ: propter quod omnibus inflammationibus, erysipelatis, podagrísque & per se & cum poléta conuenienter imponitur: insupéq; puerorum enterocelas agglutinat.

De Seperuiuo magno. C. LXXXIX.

SEDVM magnum Semperuiui nomen sibi vendicat, quoniam folia semper vireant. Caules edit cubitales, aut etiam altitudinem eam excedétes, crassitudine pollicari, pingues, egregiè virentes, Characiæ tithymalli modo incisuris distinctos: folia pinguia, pollicari* magnitudine, & extremo cacumine linguæ similia, & infima quidem in terram conuexa: quę verò sunt in capite, ita cōferta adductaq; inuicem, vt orbiculato ambitu effigié imitentur oculi. Nascitur in locis mõtosis & argillosis. Sunt & qui ipsum supra domicilia serant. Vis ei perfrigerare & astringere. Quamobrem folia tum per se tum etiam cum polenta imposita, valent ad erysipelata, herpetas, nomas, oculorum inflammationes, ambusta & podagras.

[margin: *Al. latitudine]

A ὠφελεῖ καταχριόμενος, καὶ ποδάγραις σὺν κηρωτῇ κυπρίνῳ ἀναληφθεὶς ἢ τραγείῳ στέατι. ὠφελεῖ δὲ βήττοντας χρονίως ὁ χυλὸς καταρροφούμενος ὅσον κύαθος· δὲ παρισθμίοις φλεγμαίνουσιν ἀναγάργαρισμα δὲ διάχρισμα ὠφέλιμόν ἐστι· καὶ ὠταλγίαν σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ.

B Περὶ Ἀλσίνης. Κεφ. πζ'.

ΑΛΣΙΝΗ, οἱ δὲ, μυὸς ὦτα, ἀπὸ τοῦ ἔχειν φύλλα "ὅμοια μυὸς ὠτίοις. ἀλσίνη δὲ, διὰ τὸ σκιερὰς καὶ ἀλσώδεις φιλεῖν τόπους. πόα ἐστὶν ὁμοία ἑλξίνῃ, "ταπεινοτέρα δὲ καὶ" μακροφυλλοτέρα, καὶ οὐ δασεῖα· "διατριφθεῖσά τε, σικύων ὄζει. Δύναμιν δὲ ἔχει ψυκτικήν," στυπτικήν· ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν, μετὰ ἀλφίτων καταπλασσομένη, καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

[margin: V. addit καὶ ἀωτίων. — Orib. ταπεινοτέρα δὲ καὶ μακροτέρα. — V. μακροφυλλοτέρα — V. caret — V. caret]

Περὶ Φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων. Κ. πη'.

D ΦΑΚΟΣ ὁ ἐπὶ τῶν τελμάτων, εὑρίσκεται ἐπὶ τῶν στασίμων ὑδάτων, βρύον ὂν ὅμοιον φακῷ, "ψύχων τῇ δυνάμει. πάσαις φλεγμοναῖς καὶ ἐρυσιπέλασι καὶ ποδάγραις ἁρμόζει καταπλασσόμενος, "καθ' ἑαυτόν τε καὶ σὺν ἀλφίτῳ· προσκολλᾷ δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παίδων.

[margin: V. στύφων — V. caret]

E Περὶ Ἀειζώου τοῦ μεγάλου. Κεφ. πθ'.

ΑΕΙΖΩΟΝ τὸ μέγα ὠνόμασται διὰ τὸ ἀειθαλὲς τῶν φύλλων. καυλοὺς δὲ ἀνίησι πηχυαίους, ἢ καὶ μείζονας, πάχος δακτύλου μεγάλου, λιπαρούς, εὐθαλεῖς, ἐντομὰς ἔχοντας ὥσπερ τοῦ χαρακίου τιθυμάλλου· φύλλα λιπαρά, μέγεθος δακτύλου μεγάλου, F γλωσσοειδῆ κατὰ τὸ ἄκρον. καὶ τὰ μὲν κατωτέρω τῶν φύλλων ὑπτιούμενα, τὰ δὲ κατὰ τὴν κεφαλὴν περιεστραμμένα ἐπ' ἄλληλα, κύκλον ὀφθαλμοειδῆ περιγράφοντα· φύεται δὲ ἐν τόποις ὀρεινοῖς καὶ ὀστρακίνοις." ἔνιοι δὲ φυτεύουσιν αὐτὸ ἐπὶ τῶν οἰκημάτων. Δύναμιν δὲ ἔχει ψυ- G κτικήν, "στύφουσαν, ποιοῦσαν πρὸς ἐρυσιπέλατα, ἕρπητας, νομάς, ὀφθαλμῶν φλεγμονάς, πυρίκαυστα, ποδάγρας, καταπλαττόμενα τὰ φύλλα καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων,

[margin: Ista in quibusdã codicib. desiderantur — V. στυπτικήν.]

ὁ δὲ χυλὸς πρὸς κεφαλαλγίας μετ' ἀλφίτου καὶ ῥοδίνου ἐμβρέχεται· καὶ φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται, καὶ διαρροιζομένοις, καὶ δυσεντερικοῖς· στρογγύλας τε ἕλμινθας ἐκτινάσσει σὺν οἴνῳ ποθείς· ἵστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ. ἐγχεῖται δὲ ὁ χυλὸς καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ὠφελίμως ἀπὸ αἵματος.

Lacuna ex v.c. interserit καθ' ἑαυτὸν καί

Cat. ὀφθαλμιῶν ὑφαίμων.

Περὶ Ἀειζώου τοῦ μικροῦ. Κεφ. ϙ΄.

Ἀείζωον δὲ μικρὸν φύεται ἐν τοίχοις καὶ πέτραις, καὶ θριγκοῖς καὶ τάφροις ὑποσκίοις. καυλία ἀπὸ μιᾶς ῥίζης πολλά, λεπτά, περίπλεα φυλλαρίων περιφερῶν, λιπαρῶν, μικρῶν, ὀξέων ἐπ' ἄκρου· ἀνίησι δὲ καὶ καυλὸν ἐν μέσῳ περὶ σπιθαμὴν τὸ μέγεθος, ἔχοντα σκιάδιον καὶ ἄνθη λεπτὰ καὶ χλωρά. τούτου τὰ φύλλα δύναμιν ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Cat. τάφροις

V. ἐκ πλαγίου φυλλαρίων λιπαρῶν

Cat. μακρῶν

Orib. πολλά

Περὶ Ἀειζώου ἑτέρου. Κεφ. ϙα΄.

Δοκεῖ δὲ εἶναι καὶ τρίτον εἶδος ἀειζώου, ὃ ἔνιοι ἀνδράχνην ἀγρίαν ἢ τηλέφιον ἐκάλεσαν, Ῥωμαῖοι δὲ ἰλλέκεβραν· ἔχει δὲ αὐτὴ παχύτερα τὰ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πέτραις. Δύναμιν δὲ ἔχει θερμαντικήν, δριμεῖαν, ἑλκωτικήν, χοιράδων διαφορητικήν, σὺν ὀξυγγίῳ καταπλασθέν.

V. λεπτοφύλλου

Lacuna legit in v.c. πλατύτερα.

Περὶ Κοτυληδόνος. Κεφ. ϙβ΄.

Κοτυληδών, οἱ δὲ, σκυτάλιον, οἱ δὲ, κυμβάλιον, φύλλον ἔχει ὥσπερ ὀξύβαφον, περιφερές, λεληθότως κοῖλον· καυλίον δὲ ἐν μέσῳ βραχύ, ἐν ᾧ τὸ σπέρμα· ῥίζαν ὡς ἐλαίαν στρογγύλην. Ταύτης δὲ τῶν φύλλων ὁ χυλὸς μετ' οἴνου περιχριόμενος, ἢ ἐγκλυζόμενος, φίμους λύει ἐν αἰδοίοις· χλιαρὰ φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ χίμετλα καὶ χοιράδας καταπλαττόμενα ὠφελεῖ, καὶ στόμαχον καυσούμενον. ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ, λίθους θρύπτει, καὶ οὖρα κινεῖ· καὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδοται. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰ φίλτρα.

V. non legit, nec Orib.

V. ἐφ' ᾧ

V. ἐλαίας

Περὶ Ἑτέρας κοτυληδόνος. Κεφ. ϙγ΄.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κοτυληδόνος, πλατύτερα ἔχον καὶ λιπαρὰ φύλλα ὡς γλωσσάρια, πυκνὰ περὶ τὴν ῥίζαν,

V. ἁπαλώτερα

V. γλωσσάρια

Succus autem ad capitis dolores cum polenta & rosaceo instillatur: morsis à phalangio potui datur, itémque profluuio alui laborantibus atque dysentericis. Sed & teretes lumbricos pellit ex vino potus, & fluorem muliebrem sistit in vellere subditus: denique oculorum lippitudinibus à sanguine obortis vtiliter inungitur.

De Semperuiuo paruo. Cap. XC.

Semperuiuum minusculum in parietinis, petris & macerijs, nec nõ & scrobibus opacis nascitur: cauliculis ab vna radice multis, tenuibus: qui quidem crebris cincti sunt pusillis folijs, iísque rotũdis, pinguibus, exilibus, mucronatis. Promit & à medio caulem palmum ferè altũ, vmbella floribúsque tenuibus & ex luteo pallidis præditum. Folia eisdem cum priore viribus pollent.

De Semperuiuo tertio. Cap. XCI.

Videtur & tertium esse semperuiui genus, quod aliqui portulacam agrestem aut telephiũ vocauerunt, Romani Illecebram, pusillis folijs crassiusculis ad portulacæ similitudinem ac densis. Nascitur in petris. Vis ei excalfactoria, acris & exulcerans: impositúmque cum axungia strumas discutit.

De Vmbilico Veneris. Cap. XCII.

COTYLEDON alijs scytalium, seu cymbalium, folio est acetabuli instar orbiculato atque concauo, ita tamen vt cauum id aciem propè fugiat: breui in medio cauliculo, in quo semen inest: radice oliuæ modo rotunda. Radicis foliorúmque succus cum vino circumlitus aut infusus, astricta pudenda laxat: herba verò inflammationibus, erysipelatis, perniunculis ac strumis, itémque stomacho æstuanti vtiliter imponitur. At folia cum radice comesa, calculos comminuunt, vrinásque cient, & hydropicis ex mulso dantur. Est & ipsius herbæ vsus ad amatoria.

De Vmbilico veneris altero. Cap. XCIII.

EST porrò & alterum Cotyledonis genus, latioribus folijs, iísque pinguibus, ac ceu lingulas referentibus, dẽsis confertisq; circa radicẽ,

& velut oculum in medio constituentibus, (quemadmodum de maiore semperuiuo dictum est) astringentis gustus: cauliculo tenui, in cuius summo flores sunt & semina hyperici: radice maiuscula. Vsus eius ad eadem, quæ semperuiui.

De Vrtica. Cap. XCIIII.

Βρωμος πόα ἐστὶν αἰγίλωπι ἐμφερής, δύναμιν ἔχουσα ἐπιξηραντικήν. ἀφεψηθεῖσαν οὖν σὺν ταῖς ῥίζαις μεθ' ὕδατος, ἕως ἀποτριτωθῇ τὸ ἀπόζεμα, διυλίζων αὐτὸ ἐπίμισγε μέλι τοσοῦτον, καὶ ἕψε μέχρις ἂν σχῇ πάχος ὑγροῦ μέλιτος. καὶ ποιεῖ ἐπὶ τὰς ὀζαινικὰς, εἰ βρέχων ὀθόνιον παρεντίθης τῷ μυκτῆρι, καὶ καθ' ἑαυτὸ μέντοι ποιεῖ οὕτως. ἔνιοι δὲ ἀλόην λεάσαντες παραμίσγουσι, καὶ οὕτω χρῶνται. ποιεῖ δὲ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς σὺν οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας. B

Περὶ Γλαυκός. Κεφ. ρμαʹ.

Sic v.c. itémque Ruellius: at vulg. exempl. κυτίσῳ

Mare. ἐπὶ γῆς legendum censet.

Γλαυξ * κυτίσῳ ἢ φακῷ τὰ φύλλα ἔοικεν, ὧν τὰ κάτωθεν λευκότερα, ἄνωθεν δὲ χλωρά. κλωνία δὲ ἀπὸ γῆς ἀνίησι πέντε ἢ ἕξ. λεπτά, σπιθαμιαῖα ἀπὸ τῆς ῥίζης· ἄνθη λευκοΐοις ὅμοια, μικρότερα δὲ, πορφυρᾶ. φύεται παρὰ θάλασσαν. αὕτη ἑψομένη μετὰ ἀλεύρου κριθίνου καὶ ἁλὸς καὶ ἐλαίου, καὶ ῥοφηθεῖσα, γάλα σβεννύμενον ἀνακαλεῖται. C D

Περὶ Πολυγάλου. Κεφ. ρμβʹ.

V. ὑπόστρυφνον

Πολυγαλον θαμνίον ἐστὶ σπιθαμιαῖον, ἔχον φύλλα φακοειδῆ, γεύσει "ὑπόστρυφνον· ποθὲν δὲ καὶ τοῦτο, γάλα δοκεῖ πλεῖον ποιεῖν.

Περὶ Οσύριδος Κεφ. ρμγʹ. E

Addit Laeuna ex vet. cod. ποιεῖ- ται δὲ καὶ γάλα ἐξ αὐτῆς.

Οσυρις φρυγάνιον μέλαν, λεπτόραβδον, δύσθραυστον, καὶ περὶ αὐτὸ φυλλάρια γ΄. ἔστι δὲ καὶ δ΄. ἢ ε΄. ἢ ς΄. αὐτῆς ὥσπερ λίνου, μέλανα κατ' ἀρχὰς, μεταβαλλόμενα δὲ ὑπέρυθρα γίνονται. ταύτης τὸ ἀφέψημα πινόμενον, ἰκτέρῳ βοηθεῖ."

Περὶ Σμίλακος τραχείας. Κεφ. ρμδʹ. F

Desunt hæc in cod. Ald. in contextu, & ad notha transferuntur.

Σμιλαξ τραχεῖα, τὰ μὲν φύλλα ἔχει περικλυμένῳ ὅμοια, καὶ κλήματα πολλά, λεπτά, ἀκανθώδη ὡς παλίουρος ἢ βάτος· ἑλίσσεταί τε περὶ τὰ δένδρα ὡς ἄνω τε καὶ κάτω νεμομένη. καρπὸν δὲ φέρει βοτρυώδη" ὡς ἐπιφυλλίδα, ἐπιπεπανθέντα δὲ ἐρυθρὸν, ὑποδάκνοντα ἠρέμα ἐν τῇ γεύσει· ῥίζαν σκληρὰν, παχεῖαν. φύεται ἐν τόποις ἑλώδεσι καὶ τραχέσι. Ταύτης τὰ φύλλα καὶ ὁ καρπὸς θανασίμων ἐστὶν ἀντίδοτος, προπι- G

De Bromo. Cap. CXL.

Bromvs herba est Ægilopi similis, exiccatoriam vim habens. Quamobrem si cum radicibus in aqua decoquatur ad tertias, iurique colato par modus mellis admisceatur, rursúmq; discoquatur dũ mellis crassitudo fiat, medicamentum parabitur: quo quidẽ imbutum linteum & naribus etiam per se inditũ ad graueolentia narium vlcera erit efficax. Sunt qui tritam aloen addant, eodémque modo vtantur. Cæterùm cum rosis siccis in vino decocta, graué oris halitũ emẽdat.

De Glauce. Cap. CXLI.

Glavx folijs cytiso aut lẽticulæ similis est, quæ quidem supernè virent, auersáque candidiora spectantur: ramulos verò spargit à terra quinos senósve, tenues, à radice dodrantales: flores autem violæ albæ, purpurei exeunt, attamen minores. Nascitur iuxta mare. Ipsa decocta cum hordeacea farina sale & oleo, in sorbitione lactis vbertatẽ intermissam restituit.

De Polygala. Cap. CXLII.

Polygala frutex breuis est, palmi altitudinem petens, folijs lenticulæ, gustu subacerbo. Potus is lactis itidem abundantiam facere creditur.

De Osyride. Cap. CXLIII.

Osyris, herba est surculacea, colore nigro, tenuib⁹ virgis, fractúque contumacibus: in quibus foliola terna, interdum & quaterna, quina, senáve, ceu lini, nigra initio, deinde colore mutato rubescentia. Decoctũ eius potũ iuuat arquatos.

De Smilace aspera. C. CXLIIII.

Smilax aspera folia habet periclymeni, sarmẽta multa, tenuia, paliuri aut rubi modo spinosa: & sese arboribus circũuoluit, per eas sursum deorsúmque repens. Fructum verò profert racematum, ceu exilem labruscæ racemulum, qui quidem vbi maturuit, colore est rubro, gustumq; leniter quodámodo mordet: radice deniq; est dura crassaq;. Nascitur locis palustrib⁹ & asperis. Folia fructúsque cõtra venena efficacis antidoti vim habẽt, siue antè,

siue posteà bibatur. Quin & memoriæ proditú est, siquid ex his infanti recés nato tritum propinetur, nulla ei posteà venena nocitura. Inciditur & ad alexipharmaca, id est, ad ea medicaméta quib⁹ venena arcétur.

De Smilace læui. Cap. CXLV.

Smilax leuis folia habet hederacea, sed molliora, læuiora tenuiorá-que, itemq; flagella æquè ac prior, at nullis spinis horrida: quibus tamẽ haud secus ac illa arbores scádit, iis sese circumuolués: semé verò gerit ceu lupini, nigrum, exiguum, supra quod flores perpetuò visũtur cádidi, vndique numerosi & orbiculati. Ex hac porrò smilace per æstatẽ topiarij operis vmbracula factitátur: at folia per autumnũ amittit. Cæterùm semẽ cum dorycnio potũ ternis singulorũ obolis, vt somnia tum varia, tum etiã tumultuosa videantur, efficere perhibetur.

De Rusco, seu Myrto syluestri. Cap. CXLVI.

MYRTVS syluestris seu oxymyrsine, foliũ fert myrti, sed latius, ad formam lanceæ mucronatũ: fructum rotundum, medio folio inhærentem, qui per maturitatem rubet, nucleumq; ossis instar durum complectitur. Ramuli ab vna eadémque radice numerosi exeũt, vitiliũ modo lenti, fractu contumaces, cubitales, foliosi: radix graminis similis, gustáti acerba & subamara. In asperis & preruptis locis enascitur. Folia & baccæ in vino potæ vrinas cient, menses pellunt, & calculos vesicæ frangunt. Morbo quoque regio, vrinæ stillicidio & capitis dolori medentur. Sed & radicis decoctum in vino potum, eosdẽ illos prebet effectus. Porrò & cauliculi pullulare incipientes asparagorum vice ac olerum modo in cibo sumuntur: sunt autem amari, vrinásque cient.

De Lauro Alexandrina. Cap. CXLVII.

LAVRVS Alexádrina, quã aliqui Idæam, aliqui danaën, alij hypoglottion, alij zalæam, alij denique stephanen vocát, folijs est myrti syluestris, maioribus tamẽ, mollioribus & candidioribus: fructu in medijs folijs rubro, ciceris magnitudine. Ramos verò per terram spargit do-

A νόμενα, καὶ ἐπιπινόμενα. παραδέδοται ὅτι ἐάν τις ἀρτιγενεῖ παιδίῳ τρίψας τι τούτων δῷ πιεῖν, ὑπ᾽ οὐδενὸς δηλητηρίου φαρμάκου βλαβήσεται. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Περὶ Σμίλακος λείας. Κεφ. ρμέ.

Σμίλαξ λεία, ὅμοια κισσῷ τὰ φύλλα B ἔχει, μαλακώτερα δὲ καὶ λειότερα καὶ λεπτότερα· τὰ δὲ κλήματα ὥσπερ ἡ πρὸ αὐτῆς, ἀκάνθας οὐκ ἔχοντα· ἑλίσσεται δὲ περὶ τὰ δένδρα, ὡς ἡ προτέρα· καρπὸν δὲ ἔχει ὥσπερ θέρμου μέλανα, μικρόν· ἀεὶ δὲ ἐπάνω ἔχοντα ἄνθη λευκά, πολλὰ κατὰ πᾶσαν τὴν σμίλακα, καὶ περιφερῆ. καὶ C σκηναὶ δι᾽ αὐτῆς γίνονται τοῦ θέρους· φυλλορρόος δὲ τῷ φθινοπώρῳ. Τούτου ὁ καρπὸς μετὰ δορυκνίου πινόμενος, τριωβόλου ὁλκὴ ἑκατέρου, ἐνύπνια πολλὰ καὶ ταραχώδη ὁρᾶν ἱστορεῖται.

Περὶ Μυρσίνης ἀγρίας. Κεφ. ρμϛ´.

ΜΥΡΣΙΝΗ ἀγρία, τὸ μὲν φύλλον D μυρσίνῃ ἔχει ὅμοιον, πλατύτερον δέ, λογχοειδές, ὀξὺ ἐπ᾽ ἄκρου· τὸν δὲ καρπὸν στρογγύλον, ἐν μέσῳ δὲ τῷ πετάλῳ *περιφερῆ, ἐρυθρὸν ἐν τῷ πεπαίνεσθαι, ἔχοντα δὲ ἐντὸς ὀστῶδες· κλωνία λυγοειδῆ, πολλὰ ἐκ τῆς ῥίζης αὐτῆς, δύσθραυστα, ὅσον πήχεως, φύλλων μεστά· ῥίζαν παραπλησίαν ἀγρώ- E στει, γευομένῳ στρυφνὴν, ὑπόπικρον. φύεται ἐν τραχέσι τόποις καὶ κρημνώδεσι. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς ἐν οἴνῳ πινόμενα, οὖρα κινεῖν, καταμήνια ἄγειν, καὶ λίθους τοὺς ἐν κύστει θρύπτειν· θεραπεύει δὲ καὶ ἴκτερον καὶ στραγγουρίαν, καὶ κεφαλαλγίαν. καὶ τὸ ἀφέψημα δὲ τῆς F ῥίζης σὺν οἴνῳ ποθὲν, τὰ αὐτὰ ποιεῖ. καὶ ἀντὶ ἀσπαράγου δὲ οἱ καυλοὶ νεοθαλεῖς λαχανευόμενοι ἐσθίονται. εἰσὶ δὲ ἔμπικροι καὶ διουρητικοί.

Περὶ Δάφνης Ἀλεξανδρείας. Κεφ. ρμζ.

ΔΑΦΝΗ Ἀλεξάνδρεια, οἱ δὲ Ἰδαίαν, οἱ δὲ δανάην, οἱ δὲ ὑπόγλωττον, οἱ δὲ ζά- G λαιαν, οἱ δὲ στεφάνην καλοῦσι· φύλλα ὀξυμυρσίνῃ ὅμοια ἔχει, μείζονα δὲ καὶ μαλακώτερα, καὶ λευκότερα· καρπὸν δὲ ἐν μέσοις ἐρυθρὸν, ἐρεβίνθου τὸ μέγεθος· κλῶνας ἐπὶ γῆς αὐθα-

V. caret.
Al. ἀρτιγενεῖ
V. λευκότερα
V. ἑτέρα
Auth. aduersio- ερέβου. Quidam legendum coniiciũt, καρπὸν δὲ ἔχει ἐπὶ θυλάκου μέλανα, μικρὸν &c.
Matth. τριώβολον Ἀττικὸν ἑκατέρου
V. addit, ἢ περὶ μυρτακάνθης.
G. vterque codex vetus hunc locum sic descriptum habet: Μυρσίνη ἀγρία ἢ ὀξυμυρσίνη, ἧς ἀσπάραγος νεοθαλὴς διουρητικὸς ὤν, καρπὸν ἔχει περιφερῆ, ἐρυθρὸν ἐν τῷ πεπαίνεσθαι, τὸ ἐντὸς ἔχοντα ὀστῶδες, κλωνία λυγοειδῆ &c.
V add. καρπὸς ἀτονώτερος τῇ ἡμέρᾳ καὶ ἀπρακτικώτερος.
V. στρυφνὴ ὑπόκιρρος
V. addit, καὶ ἐνίκμοις
Quidam, ὑποποιεῖ. καὶ
Marc. perperam μείονα legisse videtur.

μείους ἢ καὶ μείζονας· ῥίζαν παραπλησίαν A
τῇ ὀξυμυρσίνῃ, μείζονα δὲ καὶ εὐώδη καὶ μα-
λακωτέραν. φύεται ἐν τόποις ὀρεινοῖς.

In vet. margine: ὁ καρπὸς ταύτης λειωθεὶς μετ' οἴνου καὶ ληφθεὶς, ἄγει χολήν. ἐξωσαν δὲ κόκκοι περισφατοὶ λ'.

Δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη < ς'. πλῆθος μεθ' οἴνου γλυκέος, βοηθεῖν ταῖς δυστοκούσαις καὶ στραγγουριῶσιν. ἄγει δὲ καὶ αἷμα.

Περὶ Δαφνοειδοῦς. Κεφ. ρμή.

ΔΑΦΝΟΕΙΔΕΣ, οἱ δὲ, εὐπέταλον, οἱ B δὲ, χαμαιδάφνην, οἱ δὲ, πέπλιον καλοῦσι. θαμνίσκος ἐστὶ πηχυαῖος, κλάδους πολλοὺς ἔχων ἱμαντώδεις πρὸς τὸ ἄνωθεν ἥμισυ φυλλοφόρους· φλοιὸς δὲ περὶ τὰς ῥάβδους γλίσχρος ἰσχυρῶς· φύλλα δάφνῃ ἐοικότα, μαλακώτερα δὲ καὶ *ἰσχνότερα καὶ οὐκ εὔκλαστα, δάκνοντα καὶ πυροῦντα τὸ C στόμα καὶ φάρυγγα· ἄνθη λευκά· καρπὸν δὲ μέλανα, ὅταν πεπανθῇ· ῥίζα ἄχρηστος. φύεται ἐν ὀρεινοῖς τόποις. ἄγει δὲ καὶ τὸ φύλλον αὐτοῦ ξηρὸν ἢ νεαρὸν ποθὲν κατὰ κοιλίαν φλεγματώδη· κινεῖ καὶ ἐμέτους καὶ ἔμμηνα· καὶ διαμασηθὲν ἀποφλεγματίζει· ἐστὶ δὲ καὶ πταρμικόν. καθαίρει δὲ καὶ ὁ καρ- D πὸς αὐτοῦ ὅσον κόκκοι ιέ πινόμενοι.

Al. πῆχεος τὸ ὕψος, al. πηχυαίους κλάδους
V. ἰσχυρὸς
V. ἀχρεῖος

Περὶ Χαμαιδάφνης. Κεφ. ρμθ'.

ΧΑΜΑΙΔΑΦΝΗ, οἱ δὲ καὶ ταύτην Ἀλεξάνδρειαν ἐκάλεσαν, ῥάβδους ἀνίησι μονοκλώνους, πηχυαίους, ὀρθὰς, λεπτὰς καὶ λείας· καὶ ταύτης δὲ τὰ φύλλα ὅμοια δάφνῃ, λειότερα δὲ πολλῷ *καὶ λεπτότερα καὶ E χλωρότερα· καρπὸν δὲ περιφερῆ, ἐρυθρὸν, τοῖς φύλλοις ἐπιπεφυκότα. Ταύτης τὰ φύλλα λεῖα καταπλασθέντα, κεφαλαλγίαις καὶ στομάχου *ἐγκαύσεσιν ἀρήγει· ποθέντα δὲ μεθ' οἴνου, στρόφους παύει· ὁ δὲ χυλὸς σὺν οἴνῳ ποτιζόμενος, καταμήνια καὶ οὖρα ἄγει· καὶ ἐν πεσσῷ προστεθεὶς, τὸ αὐτὸ ποιεῖ. F

Deerat in vulg. exempl. Sed addidimus ex vet. cod.
Adiecit Lac. ex v. cod.

Περὶ Ἐλλεβόρου λευκοῦ. Κεφ. ρν'.

ΕΛΛΕΒΟΡΟΣ λευκὸς φύλλα ἔχει ὅμοια τοῖς τοῦ ἀρνογλώσσου, ἢ σεύτλου ἀγρίου, βραχύτερα δὲ καὶ μελάντερα, καὶ ἐρυθρὰ *τὴν χρόαν· καυλὸν δὲ παλαιστιαῖον, κοῖλον, περιφλοιζόμενον ὅτε ἄρξεται ξηραίνεσθαι· ῥίζαι δ' ὕπεισι πολλαί, G λεπταί, ἀπὸ κεφαλίου μικροῦ καὶ ἐπιμήκους, ὥσπερ εἰ κρομμύου, συμπεφυκυῖαι.

V. caret.
V. add. καὶ τῇ ῥάχει ἐρυθρὰ
V. his caret.
V. ὅταν ἄρξηται
V. caret.

A drantales, interdum etiam maiores: radice myrti syluestris simili, at maiore, odorata, mollioréque. Nascitur in montosis. Radix drachmarum sex pondere in vino dulci pota, difficulter parientibus, vrinæq; stillicidio laborantibus auxiliatur. Sed & sanguinem etiam extrahit.

De Daphnoide. Cap. CXLVIII.

B DAPHNOIDES aliqui eupetalon, alij chamædaphnen, alij peplion vocant: exiguus frutex est, cubitalis, ramis multis à medio sursum versus lori modo flexilibus & obsequiosis, iisque foliosis. Ramulos vestiés cortex supramodum viscosus est: at folia sunt lauri, verùm C molliora, validiora, fractúque contumacia, quorum gustatu os faucésque mordentur & accéduntur: flores cădidi: fructus, cùm ematuruit, niger: radix superuacua. Nascitur in montosis. Folium seu aridum, seu etiam recens, potu pituitosa per aluum deijcit: vomitus quoque ac menses ciet: quin & commanduca- D tũ pituitam à capite extrahit: sternutamenta etiamnum mouet. Cæterùm & quindenæ ipsius baccæ potæ purgant.

De Chamædaphne. Cap. CXLIX.

CHAMÆDAPHNE, quam & Alexandrinam aliqui vocauerunt, virgas promit singulari ramu- E lo constantes, cubitales, rectas, tenues ac læues. Sed & huic folia sunt lauri similitudine, at læuiora multò, tenuioráque ac viridiora: fructus rotundus, rubens, folijs annexus. Huius folia trita illitáq; capitis doloribus inflationibúsque stomachi succurrunt: eadem bibita cum vino tormina sedát. At succus cum vino F propinatus, měses vrináſq; ciet: idé quoque subditus in pesso præstat.

De Helleboro seu veratro albo. Cap. CL.

VERATRVM album folia fert plantaginis, aut betæ syluestris similia, sed breuiora, nigriora & dorso rubescentia: caulem palmi al- G titudine, concauum: qui quidem tunicas quibus cõuoluitur abdicat, cùm arescere incipit. Radices subiacent numerosæ, tenues ac fibratæ, ab exiguo & oblongo capitulo ceu cæpa exeuntes, eidémque annexæ.

Nascitur in montosis & asperis. Radices messibus colligendę. Optimũ autẽ habetur veratrũ, quod modicè extentum est, candidum, fragile, carnosum, minimè exacutum aut iuncum referẽs, aut dum frangitur, puluerem emittẽs: sed tenuem habens medullam, gustúq; non admodum feruens, neq; saliuam subinde ciens: huiuscemodi siquidẽ strãgulat. Primatum tenet Anticyrenum. At Galaticum æquè atque Cappadocicum, cãdidius est, iunco simile, maioremq; strãgulandi vim habet. Porrò vomitionibus varij coloris humores extrahit: collyrijs admiscetur, quæ caliginẽ oculorũ discutiendi vim habet: mẽses pellit, partúsque necat, appositum: sternutamenta mouet, ac mures interficit cum melle & polenta subactũ: quin & carnes colliquat & absumit, si coquatur vnà. Datur & ieiunis per se, itémque cum sesamo & ptissanæ aut alicæ cremore, aut cũ aqua mulsa, aut pulte, aut lente aliáve sorbitione. Sed & cogitur cum pane, atq; ita inassatur. Apparatus verò insupérq; victus ratio vtẽtibus accommodata diligenter ab ijs tradita est, qui ex professo de ipsius dosi scriptitarunt. Sed maximè Philonidæ Siculo Ennæo assentimur. Longum enim foret in hac quam præcipuè instituimus materiæ Medicæ tractatione, victus rationẽ ad medendũ necessariam simul & semel exponere. Sunt tamen nonnulli qui dent ipsum cũ larga sorbitione, aut copioso cremore: vel etiam exhibito parciore cibo post illico veratrũ offerant: ac ijs præsertim quibus strãgulationis suspicio imminet, aut corporis imbecillitas adest. Illo enim modo sumẽtibus purgatio periculo vacat, quòd nõ intempestiuè iustóve citiùs medicamentum corporibus accedat. Cæterùm & sedi subditę ex eo balani cum aceto vomitiones concitant.

De Helleboro seu veratro nigro.
Cap. CLI.

Helleborum seu veratrũ nigrum aliqui Melampodiũ, alij ectomon, alij polyrrhizon vocant. Melampodion verò appellatur, quoniã caprarum pastor nomine Melampus furẽtes Prœti filias eo primus purgasse & sa-

A φύεται ἐν ὀρεινοῖς τόποις καὶ τραχέσι. Συλλέγειν δὲ δεῖ τὰς ῥίζας περὶ τὸν πυραμητόν· ἄριστος δέ ἐστιν αὐτοῦ, ὁ μετρίως "τεταμένος καὶ λευκός, καὶ "εὔθραυστος καὶ σαρκώδης, οὐκ ἀπόξυς δὲ καὶ σχοινώδης, ἢ κονιορτὸν ἀφιεὶς ἐν τῷ θραύεσθαι, ἔχων δὲ καὶ τὴν ἐντεριώνην λεπτήν, ἐκπυρῶν τὴν γεῦσιν οὐ λίαν, οὐδὲ ἀθρόως σίελον
B ἐπισπώμενος· πνιγώδης γὰρ ὁ τοιοῦτος. πρωτεύει δὲ ὁ "Κυρηναϊκός· ὁ δὲ Γαλατικὸς καὶ Καππαδοκικός, "λευκότερος καὶ "χνοώδης καὶ πνιγωδέστερος. Καθαίρει δὲ δι' ἐμέτων, ἄγων ποικίλα· μίγνυται δὲ καὶ κολλυρίοις τοῖς δυναμένοις τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρειν. καὶ ἔμ-
C μηνα ἄγει, καὶ ἔμβρυα κτείνει, προστιθέμενος. πταρμούς τε ἐρεθίζει, καὶ μύας κτείνει σὺν μέλιτι καὶ ἀλφίτῳ φυραθείς. συγκαθεψόμενός τε κρέασι, συντήκει αὐτά. δίδοται δὲ νήστεσι καθ' ἑαυτόν, καὶ μετὰ σησάμου καὶ *πτισάνης χυλοῦ, ἢ ἄλικος, ἢ μελικράτου", ἢ πόλτου, [ἢ φακοῦ ἢ ἄλλου
D ῥοφήματος. συσσιτοποιεῖται δὲ καὶ ἄρτῳ, καὶ ὀπτᾶται. ἡ δὲ προσαγωγὴ καὶ ἐπιδιαίτησις ἐξείργασται παρὰ τοῖς προηγουμένως περὶ τῆς δόσεως αὐτῆς γράψασι. μάλιστα δὲ συγκατατιθέμεθα Φιλωνίδῃ τῷ Σικελῷ "τῷ ἀπὸ Ἔννης, [μακρὸν γάρ ἐστιν ἐν ὕλης παραδόσει προηγουμέ-
E νως θεραπευτικὴν ἐκτίθεσθαι ἀγωγήν. διδόασι δὲ ἔνιοι "σὺν πολλῷ ῥοφήματι ἢ "χυλοῦ πλήθει, ἢ καὶ τροφὴν ὀλίγην προδιδόντες, ἐπιδιδόασι τὸν ἐλλέβορον "εὐθέως, ἐφ' ὧν μάλιστα πνιγμὸς ὑποπτεύεται ἢ ἀσθένεια σώματος ὑπόκειται· ἀκινδύνως γὰρ ἐπὶ τῶν οὕτω λαμβανόντων ἡ κάθαρ-
F σις διὰ τὸ μὴ ἀκαίρως τὸ φάρμακον "παρατίθεσθαι τοῖς σώμασι· καὶ βάλανοι δὲ ἐξ αὐτοῦ προστεθεῖσαι τῇ ἕδρᾳ "μετ' ὄξους,] ἐμέτους κινοῦσιν.

Περὶ Ἐλλεβόρου μέλανος. Κεφ. ρνα.

Ἐλλέβορος μέλας, οἱ δὲ, Μελαμπόδιον, οἱ δὲ *, ἔκτομον, οἱ δὲ, πολύρριζον. Μελαμ-
G πόδιον δὲ λέγεται, ἐπειδὴ δοκεῖ Μελάμπους τις αἰπόλος τὰς Προίτου θυγατέρας μανείσας *ἐν αὐτῷ καθᾶραι πρῶτος καὶ θερα-

V. πτασώδης
Alter, ἄθραυστος, sed perperam.
Alter, Ἀντικυρεῖνος· εἶτα ὁ Γαλατικός.
Lac. add. ex vet. cod. καὶ Ἰταλικός.
Alter, σχοινώδης, quam scripturã Serapio secutus est. Quidã v. χοινώδης καὶ καπνωδέστερος.
V. quidam caret.
V. caret.
Goupylus ex veteribus libris & interpretibus legendum censet, σὺν πολτῷ ῥοφήματι.
V. χόνδρου
V. caret.
V. παράκεισθαι
Quidam non habent.

A πεῦσαι. ἔχει δὲ τὰ φύλλα χλωρά,
πλατάνῳ προσεμφερῆ, ἐλάττονα δέ,
V. caret. "πρὸς τὰ τοῦ σπονδυλίου,] καὶ πολυσχιδέ-
στερα καὶ μελάντερα, καὶ ὑποτράχεα·
Leg. βραχὺς cū Serap. καυλὸς "τραχύς· ἄνθη δὲ "λευκά, ἐμπόρ-
V. cod. nō legit. φυρα, τῷ δὲ σχήματι "βοτρυώδη· καὶ ἐν
Quidā ῥοδοειδῆ. αὐτῷ καρπὸς κνίκῳ ὅμοιος, ὃν καὶ αὐτὸν
Docti nonnulli βοτρυχώδη, hoc est, cincinnorum in modum. καλοῦσιν οἱ ἐν Ἀντικύρᾳ σησαμοειδῆ,
B χρώμενοι πρὸς τὰς καθάρσεις αὐτῷ· ῥί-
ζαι δ' ὕπεισι λεπταί, μέλαιναι, οἱονεὶ ἀ-
πό τινος κεφαλίου κρομμυώδεος ἠρτημέ-
ναι, ὧν καὶ ἡ χρῆσις· φύεται ἐν τραχέσι καὶ
γεωλόφοις καὶ κατάξηροις τόποις. Κάλ-
λιστος ὁ ἐκ τῶν τοιούτων λαμβανόμενος
χωρίων, οἷός ἐστιν ὁ ἐξ Ἀντικύρας. καὶ γὰρ
C ὁ μέλας καὶ κάλλιστος ἐν αὐτῇ γεννᾶται.
ἐκλέγου δὲ τὸν εὔσαρκον καὶ εὔτροφον,
V. λευκήν "λεπτὴν ἔχοντα τὴν ἐντεριώνην, δριμὺν
ἐν τῇ γεύσει καὶ πυρώδη. τοιοῦτος δέ ἐστιν ὁ
V. Οἴτῃ ἐν τῷ Ἑλικῶνι καὶ Παρνασσῷ καὶ "Αἰ-
τωλίᾳ φυόμενος· διαφέρει μέντοι ὁ Ἑλι-
D κώνιος. Καθαίρει δὲ τὴν * ἄνω κοιλίαν, ἄ-
γων φλέγμα καὶ χολήν, καθ' ἑαυτὸν ἢ
μετὰ σκαμμωνίας διδόμενος καὶ ἁλῶν,
< α. ἢ τριωβόλου ὁλκῆς· συνέψεται
δὲ καὶ φακῇ, καὶ ζωμοῖς [τοῖς εἰς κάθαρσιν
V. ἀπληκτικοὺς λαμβανομένοις. ὠφελεῖ δὲ "ἐπιληπτικούς,
μελαγχολικούς, μαινομένους, ἀρθριτικούς, πα-
E ραλελυμένους. προστεθεὶς δέ, ἔμμηνα ἄγει,
καὶ ἔμβρυα κτείνει· σύριγγάς τε καθαίρει κα-
τατεθεὶς καὶ μετὰ τρίτην ἐξαιρεθείς. ὁμοίως καὶ
ἐπὶ δυσηκοούντων καθίεται εἰς τὸ οὖς, ἐώμενος
ἐπὶ β'. ἢ γ' ἡμέρας. θεραπεύει δὲ καὶ ψώρας,
μετὰ λιβανωτοῦ ἢ κηροῦ καὶ πίσσης καὶ
κεδρίνου ἐλαίου καταχριόμενος· μετ' ὄ-
F ξους δὲ καθ' ἑαυτὸν καταπλασσόμενος,
ἀλφοὺς καὶ λειχῆνας καὶ λέπρας θε-
ραπεύει· ἑψηθεὶς δὲ σὺν ὄξει, ὀδονταλ-
V. caret. γίας πραΰνει διακλυζόμενος· ["σηπταῖς
τε μίγνυται·] μετὰ δὲ κριθίνου ἀλεύρου
καὶ οἴνου, κατάπλασμά ἐστιν ὑδρωπι-
κοῖς ὠφέλιμον· συμφυτευθεὶς δὲ ἀμπέ-
G λοις πρὸς τῇ ῥίζῃ, τὸν ἐξ αὐτῶν οἶνον κα-
θαρτικὸν ἐργάζεται. περιρραίνουσι δὲ καὶ
οἰκίαις αὐτόν, καθαρτικὸν εἶναι νομίζοντες· ὅθεν καὶ ὀρύσσοντες ἵστανται προσευ-
χόμενοι Ἀπόλλωνι καὶ Ἀσκληπιῷ, φυλαττόμενοι ἀετόν. ἐφίπτασθαι γάρ φασιν τὸν

A nasse creditur. Folia ei viridia, platani similia, sed minora, folijs spondylij proxima, pluribus diuisuris scissa, nigriora & subaspera: caulis breuis: flores candidi, purpurascentes, figura racemosi: semen intus cnici, quod & Anticyræi sesamoides vocant, & in purgationes adhibent. Radices subsunt tenues, nigræ, B velut è capitulo quodam cæpæ simili dependentes, quarum etiam vsus est. In asperis, editioribus sitientibúsque locis enascitur. Optimum quod ex locis eiusmodi petitur, quale quod ex Anticyra; nigrum enim inibi probatissimum gignitur. Eligi debet carnosum, plenum, cui tenuis medulla sit, a- C cre denique gustu, feruénsque. Huiusmodi est quod in Helicone, Parnasso & Ætolia nascitur: attamen Heliconium præcellit. Veratrum nigrum purgat per inferna, trahítque pituitam & bilem, datum per se, aut cum scammonia & sale, drachma vna seu obolis tribus. Decoquitur & cum lente ac iusculis D quæ purgationis causa sumptitantur. Prodest verò in comitialibus articulariísque morbis, itémq; melancholicis, insanientibus & paralyticis. Subditum mēses trahit & partus necat: fistulas inditum ac tertia die exemptum purgat. Similiter in auditu difficili immittitur in aurem, ibique ad biduum triduúmve E sinitur. Scabiem quoque sanat, cum thure aut cera & pice ac cedrino oleo perunctum. Vitiligini vero, impetigini ac lepris ex aceto impositū per se medetur. Dentium dolorem coctum cum aceto collutione mitigat. Septicis etiamnum medicamentis admiscetur. Quin & hydro- F picorum ventri cum farina hordeacea & vino vtiliter imponitur. Porrò autem consitum proximè vitium radices, vino inde expresso vim purgandi conciliat. Sed & eo domos aspergunt, purgandi expiandíq; vim illi tribuētes. Quamobrem & qui ipsum effodiunt, stantes Apollinem & Æsculapium pre- G cantur, obseruántque aquilæ volatus: eam enim alitem tradunt non

citra periculum aduolare, atque etiam ei mortem inferre, quem veratrum effodientem conspexerit. Celeriter quoque effodiatur oportet; quoniam halitu auráve sua caput aggrauat: quapropter ad id præcauendum, effossuri allia præsumunt, vinúmque subinde sorbent: ita siquidé ab afflatu securiores, noxæq; minùs opportuni redduntur. Cæterùm veratrum hoc candidi modo etiam emedullatur.

De Sesamoide magno. Cap. CLII.

SESAMOIDES magnũ in Anticyra elleborum vocat, quoniam in purgationibus candido veratro misceatur. Similis est herba senecioni aut rutę: folijs lõgis, flore candido, radice gracili, inefficaci: semine sesamæ, gustu amaro. Granum id per superna pituitam ac bilem purgat, si trium quantum tribus digitis capitur, cũ albi veratri sesquiobolo ex aqua mulsa detur.

De Sesamoide paruo. Cap. CLIII.

Sesamoidi paruo cauliculi sunt dodrantales: folia coronopi, at hirsutiora minóraque: in summis cauliculis capitula flosculorum penè purpureorum, quorum medium albicat: semen in illis sesamæ, amarum, fuluum: radix tenuis. Semen potum dimidio acetabulo in aqua mulsa, bilem ac pituitam per inferna purgat. Ex aqua verò impositũ, tubercula & œdemata discutit. Nascitur in asperis.

De Cucumere syluestri.
Cap. CLIIII.

CVCVMIS agrestis à satiuo fructu solo distat, quem longè minorem parit, oblongis glandibus similem: folia sarmentáque satiui refert: radix est candida, magna. Nascitur in ruderibus & sabuletis, frutice in totum amaro. Instillatus foliorum succus, aurium doloribus confert. Radix autem illita cum polenta, vetus quoduis œdema discutit: imposita cum resina terebinthina, tubercula rumpit: cocta ex aceto

A ἀκινδύνως· δίδωσι γὰρ θάνατον ὁ ὄρνις, ἐὰν παρίδῃ τὴν ὀρυγὴν τοῦ ἐλλεβόρου. συντόμως δὲ δεῖ ὀρύττειν, διὰ τὸ καρηβαρείαν ἐκ τῆς ἀποφορᾶς γίνεσθαι· ὅθεν εἰς προφυλακὴν, οἱ ὀρύττοντες ἐσθίουσι σκόροδα, καὶ οἶνον πίνουσιν· ἀβλαβέστεροι γὰρ οὕτω διατίθενται. ἐξεντερίζεται δὲ, ὥσπερ
B καὶ ὁ λευκὸς ἐλλέβορος.

Περὶ Σησαμοειδοῦς τοῦ μεγάλου. Κεφ. ρνβʹ.

V. ἀλευκοῦ.

ΣΗΣΑΜΟΕΙΔΕΣ τὸ μέγα, ἐν Ἀντικύρᾳ ἐλλέβορον καλοῦσι, διὰ τὸ μίγνυσθαι ἐν ταῖς καθάρσεσι τῷ λευκῷ ἐλλεβόρῳ· ἔοικεν ἡ πόα ἠριγέροντι ἢ πηγάνῳ·
C φύλλα μακρά· ἄνθος λευκόν· ῥίζα ἰσχνή, ἄπρακτος· σπέρμα ὅμοιον σησάμῳ, πικρὸν ἐν τῇ γεύσει. ὃ καθαίρει ἄνω φλέγμα τε καὶ χολὴν, ὅσον τοῖς τρισὶ δακτύλοις λαβεῖν ληφθὲν μετὰ ἐλλεβόρου λευκοῦ τριῶν ἡμιωβόλων σὺν μελικράτῳ.

V. caret.
V. ἠριγέροντι τὸ μέγεθος. alius cod. habet tantùm ἔοικεν ἡ πόα πηγάνῳ. Sic & Orib.
Al. τὴν κοιλίαν

Περὶ Σησαμοειδοῦς τοῦ μικροῦ.
D Κεφ. ρνγʹ.

V. quid. λευκοῦ

Σησαμοειδὲς τὸ μικρόν. καυλία ἐστὶ σπιθαμιαῖα ἔχοντα φύλλα κορωνόποδι ὅμοια, δασύτερα μέντοι καὶ μικρότερα· ἐπ' ἄκρου δὲ τῶν καυλίων κεφάλια ἀνθίων ὑποπορφύρων, ὧν τὸ μέσον, λευκόν· ἐν οἷς σπέρμα σησάμῳ ἐοικὸς, πι-
E κρὸν, κιρρόν· ῥίζα λεπτή. Καθαίρει δὲ χολὴν καὶ φλέγμα κάτω ποθὲν τὸ σπέρμα, ὀξυβάφου ἥμισυ σὺν μελικράτῳ· καταπλασθὲν δὲ μεθ' ὕδατος, φύματα καὶ οἰδήματα διαφορεῖ. φύεται ἐν τραχέσι χωρίοις.

V. κορωνόποδι
Autores aduers. legendum suspicantur μακρότερα.
V. αἰθῶν τοῖς πορφύροις μέσον

Περὶ Σίκυος ἀγρίου. Κεφ. ρνδʹ.

F ΣΙΚΥΣ ἄγριος τῷ καρπῷ μόνῳ διαφέρει τοῦ ἡμέρου σίκυος, ἐλάσσονα πολλῷ ἔχων, βαλανείοις ἐπιμήκεσιν ἐοικότα· τὰ φύλλα καὶ τὰ κλήματα ἡμέρῳ ὅμοια· ῥίζαν δὲ λευκὴν καὶ μεγάλην· φύεται ἐν οἰκοπέδοις καὶ ἀμμώδεσι τόποις· ὅλος δὲ ὁ θάμνος πικρός. Ἁρμόζει δὲ ὁ τῶν φύλ-
G λων χυλὸς ἐνσταζόμενος ὠταλγίαις. ἡ δὲ ῥίζα καταπλασθεῖσα μετὰ ἀλφίτου, πᾶν οἴδημα παλαιὸν διαφορεῖ· μετὰ ῥητίνης δὲ τερεβινθίνης ἐπιτεθεῖσα, φύματα ῥήττει· μετ' ὄξους δὲ ἑψηθεῖσα

Forte βαλάνοις.

V. ὑποτεθεῖσα ὠφελεῖ ποδαγρικούς.

καὶ καταπλασθεῖσα, ποδάγρας διαφορεῖ· καὶ ἰσχιάδος δὲ ἐστὶν ἔγκλυσμα, καὶ ὀδονταλγίας διάκλυσμα, τὸ ἀφέψημα. ξηρὰ δὲ λεία, ἀλφοὺς, λέπρας καὶ λειχῆνας σμήχει· οὐλάς τε μελαίνας καὶ σπίλους τοὺς ἐν προσώπῳ ἀποκαθαίρει. καὶ ὁ χυλὸς δὲ τῆς ῥίζης, πλῆθος τριῶν ἡμιωβολίων τὸ ἐλάχιστον, καὶ ὁ φλοιὸς δὲ ὅσον τέταρτον ὀξυβάφου, καθαίρει φλέγμα καὶ χολὴν, καὶ μάλιστα ἐπὶ ὑδρωπικῶν. δίχα δὲ τοῦ τὸν στόμαχον ἀδικεῖν, ποιεῖται τὴν κάθαρσιν. δεῖ δὲ τῆς ῥίζης λαβόντα ἡμίλιτρον, μετὰ δυοῖν ξεστῶν οἴνου, μάλιστα Λιβυκοῦ, λεαίνειν, καὶ διδόναι ἐκ τούτου κυάθους γ΄. ἕως ἂν ὁ ὄγκος ἰσχνῶς συσταλῇ.

V. Λιγυστικοῦ. Lac. v. cod. Αἰγυπτίου γλυκέος.

Περὶ Ἐλατηρίου. Κεφ. ρνε΄.

Τὸ δὲ λεγόμενον Ἐλατήριον, ἐκ τοῦ καρποῦ τῶν σικύων σκευάζεται τὸν τρόπον τοῦτον. τοὺς ἅμα τῷ ἅψασθαι σικύους ἀποπηδῶντας ἐκλέγων, ἀποτίθεσο ἐῶν νύκτα· τῇ δὲ ὑστεραίᾳ ἐπὶ κρατῆρι κόσκινον μὴ πυκνὸν ἐπιθεὶς, καὶ μαχαίριον ὕπτιον ἁρμόσας τὴν ἀκμὴν ἔχον ἄνω, λαμβάνων ἀμφοτέραις ταῖς χερσὶ καθ᾽ ἕνα τῶν σικύων, διαίρει καὶ ἔκθλιβε [διὰ τοῦ κοσκίνου] τὸ ὑγρὸν εἰς τὴν ὑποκειμένην κρατηρίαν· προσεκθλίβων καὶ τὸ ἐν αὐτοῖς σαρκῶδες, ὃ δὴ προσαπίζει τῷ κοσκίνῳ· ἵνα καὶ αὐτὸ διεκπίπτῃ. καὶ εἰς λεκάνην παρακειμένην τὰ ἐκθλιβόμενα ἐκβάλε. σωρεύσας δὲ τὰ πεπιεσμένα ἐπὶ τοῦ κοσκίνου, ὕδατι γλυκεῖ περιχέας καὶ ἀποπιέσας, ταῦτα μὲν ῥίπτε. ταράξας δὲ τὸ ἐν τῇ λεκάνῃ ὑγρὸν, καὶ σκεπάσας ὀθόνῃ, τίθεσο ἐν ἡλίῳ· καὶ ὅτε στῇ, πᾶν τὸ ἐπινηχόμενον ὕδωρ μετὰ τοῦ ἐπιπάγου ἀπόχει· καὶ τοῦτο ποίει πολλάκις, ἄχρις οὗ καταστῇ τὸ ἐφιστάμενον ὕδωρ. ὃ γὰρ ἐκσπογγίσας ἐπιμελῶς, τὴν ὑποστάθμην βαλὼν εἰς θυΐαν, λέαινε, καὶ ἀνάπλαττε τροχίσκους. ἔνιοι δὲ πρὸς τὸ ταχέως ἀνικμασθῆναι τὸ ὑγρὸν, τέφραν σεσησμένην ἐπὶ γῆς καταστρώσαντες, καὶ κοιλάναντες τὸ μέσον, ὀθόνιον τρίπλουν ἐπιτείναντες, κατὰ τούτου τὸ ἐλατήριον σὺν τῇ ἰκμάδι ἐπιχέουσιν, *ἀναξηρανθὲν, ἐν δὲ θυΐᾳ λεαίνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἀντὶ τοῦ ὕδατος θάλατταν περι-

V. caret.

Quidam add. καὶ ὅταν ὅλον ἐκθλίψῃς, ἔασον αὐτὸ καταστῆναι. Sic Ald. in nothis. V. add. τῶν σικύων.

Al. κρατηρίῳ

V. add. καλύψας ὀθονίῳ

V. ἐκσπογγίσας, Lac. σπογγίσας.

illitáque podagras diſcutit: ſed & eius decoctũ iſchiadicis infunditur, & in dẽtium dolore colluitur. Eadẽ arida tritáq; vitiligines, lepras & impetigines abſterget: cicatrices nigras emendat, & maculas faciei repurgat. Quin & radicis ſuccus ſeſquioboli pondere cùm minimum, itémq; cortex acetabuli quarta parte, bilẽ ac pituitã purgat, maximéq; in hydropicis, idq; citra vllam ſtomachi iniuriã. Radicis ſelibra in vini præſertim Libyci ſextarijs duobus conteritur: dantúrq; ex eo ieiunis terni cyathi tertio quoque die, dum tumor plurimùm ſubſederit.

De Elaterio. C. CLV.

E fructu cucumerũ (agreſtiũ) medicamentũ fit, quod Elaterium vocatur, ad hunc modum. Cucumeres eligito, qui ſimulatq; tangũtur quaſi reſiliendo ſuccum intra ſe cõtentũ eiaculentur, eóſq; decerptos nocte vna ſeruato. Poſtero die impoſito ſupra craterem rariore cribro, inſupérq; reſupinato ita cultello vt aciem ſurſum verſus habeat, prehẽſos vtraq; manu cucumeres ſingulatim diuidito, humorémq; in vas ſubiectum per cribrũ exprimito: ſimúlq; carnoſam cucumerum partẽ quæ cribro hæſit, quò & ipſa tranſmittatur, elidito*. Expreſſum ſuccũ in vicinam peluim transfundito. Aceruata autẽ ſuper cribro ſegminũ fruſtula vbi aqua dulci perfuderis, itidemq; expreſſeris, tandẽ abijcito. Exceptũ verò pelui ſuccum agitato ac permiſceto: moxq; opertum linteo, Soli exponito. Ac vbi coierit, ſupernatantẽ aquam omnẽ, cum eo quod in ſummo ceu ſpuma concretũ eſt, effundito: illúdq; identidẽ facito, dum aqua ſuperſtabit. Hanc (ſi qua reliqua fuerit) poſteaquam guttatim diligentérque excluſeris, ſedimentũ ipſum mortario inditum conterito, & in paſtillos cogito. Sũt qui ad coercendam hauriendamq; protinus humoris abundantiã, cribratos cineres humi ſternunt, ac in eorum medio excauata foueola triplicatũ linteolũ obtẽdũt, cui elateriũ cũ humiditate ſua infũdũt, illáq; (hoc artificio) exhauſta, tandẽ reſiccatũ ipſũ in pila, vti dictũ eſt, contẽrũt. Alij ꝓ dulci aqua marinã affundentes,

Al. addunt: et vbi quicquid est expressum, subsidere sinito.

quod subsiderit.

dentes ita eluunt. Alij in postrema lotura mulsam affundũt. Elaterium porrò optimũ creditur, quod cũ cãdore modicè humectũ est, minimè ponderosum, læue, gustu amarissimum, quódq; lucernæ admotũ facilè accẽditur. At quod porraceum est, scabrum & ad aspectũ turbidum ac erui cinerísq; plenũ, graue & vitiosum est. Nec desunt qui cucumeris succo amylũ immisceãt, vt candorem & leuitatẽ ementiantur. A bimatu ad decenniũ purgationibus accõmodatũ est. Integra dosis eius est, obolus: minima, semiobol⁹: pueris, æreola duo: nam copiosius haustum, periculum adfert. Bilem ac pituitam per inferna pariter & superna trahit. Atque qui ęgrè spirant, eo medicamenti genere fœliciter vtiliterq; purgantur. Quòd si in animo est per aluum purgare, adiecto salis duplo & sinapis tantillo, quantum scilicet ad colorandum satis sit, ex aqua catapotia erui magnitudine formato: quę posteaquam exhibueris, aquæ tepidę cyathum vnũ exorbendum dato. Sin vomitum concitare volueris, elaterium aqua diluito, intinctáq; pẽna subiectas linguæ partes quàm penitissimè oblinito. At si æger ad vomitũ difficilis fuerit, vel oleo, vel irino vnguento diluito: somnũ interim inhibeto. Porrò his qui effusè ac præter modum purgantur, vinum oleo mistum frequenter propinari oportet. Etenim superuenientibus vomitionibus restituuntur. Quibus verò crebriores vomitus sisti par est, aqua frigida, polenta, posca, poma & quæcunq; stomachum densando roborant, offerẽda sunt. Menses quoque ciet, partusq; necat elateriũ in pesso subditũ. Cũ lacte verò narib⁹ infusum, & regiũ morbũ depellit, & diuturnos capitis dolores sũmouet. In anginis autẽ efficaciter illinitur ex oleo vetere, melle, aut felle taurino. [Satiui cucumeris radix cõtrita & drachmæ pondere in hydromelite pota, vomitus mouet. Quòd si cui à cœna placidè ac citra molestiam vomere libuerit, oboli duo satis fuerint.]

De Staphide agria, siue herba pediculari. Cap. CLVI.

STAPHIS agria folia quidem habet labruscæ modo diuisa, &

A χέοντες, πλύνουσιν. ἔνιοι δὲ, τῇ τελευταίᾳ πλύσει μελίκρατον παραχέουσι. δοκεῖ δὲ ἐλατήριον κάλλιστον εἶναι, τὸ μετὰ τοῦ λευκοῦ ἡσυχῇ ἔνικμον, κοῦφον, λεῖον, πικρότατον τῇ γεύσει, καὶ προσαχθὲν λύχνῳ "εὐκαές. τὸ μέντοι πρασίζον καὶ τραχὺ καὶ θολερὸν τῇ ὄψει, γέμον ὀροβίου καὶ τέφρας, βαρύ τέ ἐστι καὶ φαῦλον. B ἔνιοι δὲ καὶ "τῷ χυλῷ τοῦ σικύου μιγνύουσιν ἄμυλον, πρὸς τὸ μιμήσασθαι αὐτὸ λευκὸν καὶ κοῦφον. εἰς μέντοι τὰ καθαρτικὰ ὁ διετὴς ἁρμόζει ἄχρι δεκαετῶν· ἡ δὲ τελεία "δόσις, ὀβολός· ἡ δὲ ἐλαχίστη, ἡμιωβόλιον· παιδίοις δὲ, δίχαλκον· πλεῖον γὰρ ποθὲν C κίνδυνον ἐπιφέρει. κινεῖ δὲ τὴν κάτω καὶ τὴν ἄνω κάθαρσιν, ἄγον φλέγμα καὶ χολήν. ἀρίστη δὲ τοῖς δυσπνοοῦσιν ἡ δι' αὐτοῦ κάθαρσις. εἰ μὲν οὖν θέλεις κατὰ κοιλίαν καθαίρειν, διπλάσιον ἁλῶν μίξας "καὶ *σίμμεως "ὅσον χρῶσαι δι' ὕδατος ὀροβιαῖα καταπότια δίδου, ἐπιρρο- D φείτω δὲ χλιαροῦ ὕδατος κύαθον ἕνα. εἰς δὲ ἔμετον, ὕδατι ἀνιείς, πτερῷ ἐπὶ τοὺς ὑπὸ γλῶτταν διάχριε τόπους ὡς ὅτι ἐσωτάτω· εἰ δὲ δυσεμὴς εἴη, ἢ ἐλαίῳ ἢ ἰρίνῳ μύρῳ διείς, κώλυε δὲ κοιμᾶσθαι. τοῖς δὲ ὑπερκαθαιρομένοις συνεχῶς προσφέρειν δεῖ οἰνέλαιον· ἐμοῦντες γὰρ ἀπο- E καθίστανται. μὴ παυομένων δὲ τῶν ἐμέτων, ὕδωρ ψυχρὸν καὶ ἄλφιτον καὶ ὀξύκρατον καὶ ὀπώραν, καὶ ὅσα δύναται στόμαχον πυκνῶσαι προσενεκτέον. κινεῖ δὲ τὸ ἐλατήριον καὶ ἔμμηνα, καὶ ἔμβρυα κτείνει ἐν προσθέτῳ· ἐγχυθέν τε μετὰ γάλακτος εἰς τοὺς ῥώθωνας, ἴκτερον ἀπο- F καθαίρει, καὶ κεφαλαλγίας τὰς χρονίους ἀπαλλάττει· συναγχικοῖς τε διάχρισμα "πρακτικὸν μετ' ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ χολῆς ταυρείας. [τοῦ δὲ ἡμέρου σικύου ἡ ῥίζα λεία ποθεῖσα σὺν ὑδρομέλιτι < ά. ὁλκή, ἐμέτους κινεῖ. εἰ δέ τις μετὰ τὸ δεῖπνον πραέως ἐμέσαι ἐθέλει, ἀρκοῦσιν ὀ- G βολοὶ β΄.]

V. ἀκαές

V. τὸν χυλὸν

Vulg. exempl. πόσις.

Al. σινήπεως

V. ὅσον παραχρῶσαι δύναται ὀροβιαῖα.

Marc. leg. t, πταρμικὸν

Περὶ Σταφίδος ἀγρίας. Κεφ. ρνϛ΄.

ΣΤΑΦΙΣ ἀγρία φύλλα μὲν ἔχει ὥσπερ ἀμπέλου ἀγρίας ἐσχισμένα·

V.caret. καυλία ὀρθὰ, μαλακὰ, "μέλανα· τὸ δὲ ἄν- A
θος φέρει ἰσάτῃ ὅμοιον· τὸν δὲ καρπὸν ἐν θυ-
V.conclusis caret. λακίοις [χλωροῖς ὥσπερ ἐρεβίνθου, τρίγω-
νον,] τραχὺν, ὑπόκιρρον ἐν τῷ μέλανι, τὰ δὲ
V.caret. ἔνδον λευκὸν, "γεῦσαι μέντοι δριμεῖ.] Τούτου
κόκκοις ι ἢ ιε. ἐάν τις λεάνας ἐν μελικράτῳ
V.caret. δῷ, καθαίρει δι' ἐμέτων πάχη· ["περιπατεί-
τωσαν δὲ οἱ πεπωκότες.] δεῖ μέντοι προσέ- B
χειν *συνετῶς μελίκρατον διδόντας, διὰ τὸ
ἐπιφέρειν τοὺς κατὰ πνιγμὸν κινδύνους, καὶ
καίειν τὸν φάρυγγα. ἁρμόζει δὲ τριφθεῖσα* καὶ
V.add. καὶ σανδαράχῃ ἐλαίῳ "συγχρισθεῖσα πρὸς φθειριάσεις καὶ
κνησμοὺς καὶ ψώρας. διαμασηθεῖσα δὲ,
φλέγμα ἄγει πλεῖστον. καὶ ὀδονταλγίας ὠ-
φελεῖ σὺν ὄξει ἑψηθεῖσα καὶ διακλυζομένη· C
οὖλά τε ῥευματιζόμενα στέλλει· καὶ ἄφθας
τὰς ἐν στόματι θεραπεύει μετὰ μέλιτος. μί-
γνυται καὶ τοῖς πυρωτικοῖς μαλάγμασιν.

Περὶ Θαψίας. Κεφ. ρνζʹ.

ΘΑΨΙΑ ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν
πρῶτον εὑρῆσθαι ἐν Θάψῳ τῇ νήσῳ τῇ
ὁμωνύμῳ. τῇ δὲ ὅλῃ φύσει ἔοικεν νάρθηκι, D
Vulg. exempl. καρπὸς ἰσχνότερος δὲ αὐτῆς μᾶλλον ὁ "καυλὸς, καὶ τὰ
φύλλα μαράθρῳ ἐμφερῆ· ἐπ' ἄκρου δὲ
σκιάδια καθ' ἑκάστην ἀπόφυσιν, ἀνήθῳ ὅ-
μοια· ἐφ' ὧν ἄνθος μήλινον· σπέρμα ὑπό-
πλατυ, ὥσπερ τοῦ νάρθηκος ἐμφερὲς, ἔλαττον
V.sic: ῥίζα ἔνδοθεν μέλαινα, λευκὴ κατὰ τὴν ἐπιφάνειαν, μεγάλη, παχύφλοιος. μέντοι· "ῥίζα ἔνδοθεν λευκὴ, μεγάλη, μέ-
λαινα δὲ ἔξωθεν, παχύφλοιος, δριμεῖα. Ἡ E
τις ὀπίζεται περιορυχθεῖσα καὶ ἐγκοπτομέ-
νη τὸν φλοιὸν, ἢ κοιλανθεῖσα αὐτὴ ἐν ἑαυτῇ
θολοειδῶς ἡ ῥίζα, καὶ πωμαζομένη πρὸς τὸ
καθαρὸν μένειν τὸν ὀπόν· τῇ δὲ ὑστεραίᾳ δεῖ ἐ-
V.αὐτήν. πιόντας αἴρεσθαι ["τὸν ἐπισυλλεγέντα ὀ-
πόν.] χυλίζεται δὲ κοπεῖσα ἡ ῥίζα καὶ διὰ
κυρτίδος καὶ ὀργάνου ἐκθλιβεῖσα, καὶ ξηρανθεῖ- F
σα ἐν ἡλίῳ δι' ὀστρακίνου παχέος ἀγγείου. ἔ-
νιοι δὲ καὶ τὰ φύλλα συναποθλίβουσιν. ἀσθε-
νὴς δὲ ὁ τοιοῦτος. διακρίνεται δὲ τῷ *βρω-
ματωδέστερον εἶναι τὸν ἀπὸ τῆς ῥίζης, καὶ
μένειν ἔνικμον· ξηραίνεσθαι δὲ τὸν ἀπὸ
V.ὀρύττοντες τῶν φύλλων, καὶ τερηδονίζεσθαι. "ὀπίζον-
τα δὲ δεῖ μὴ κατ' ἀνέμου ἵστασθαι. μᾶλλον G
δὲ νηνεμίας οὔσης· ἐποιδεῖ γὰρ ἰσχυ-

A cauliculos rectos, molles, nigrosq; florẽ verò fert glasti, semen in folliculis viridib9 ceu ciceris triangulũ, scabrum, ex nigro subfuluescẽs, intus album, gustu acre. Huius grana decẽ aut quindecim si trita in aqua mulsa dẽtur, crassos humores vomitu purgabunt: sed qui hauserint, deambulare debent. Videndũ nihilo-
B minus vt ijs frequenter aqua mulsa potui detur: alioqui in strangulationis periculũ deducuntur, faucésque aduruntur. Herba autẽ ipsa trita per se, vel admista sandaracha ex oleo illita, phthiriasi prodest: itémq; prurituі & psoris: plurimã pituitam cõmanducata trahit, & in aceto decocta dẽtiũ doloribus ore colluto sub-
C uenit, gingiuarumq; fluxiones, quas Græci rheumatismos vocant, reprimit, & feruida oris vlcuscula cum melle sanat. Deniq; malagmatis etiam vrendi vi præditis immiscetur.

De Thapsia. Cap. CLVII.

THAPSIA ex eo nomẽ accepit, quòd in Thapso eiusdẽ nominis
D insula primùm inuenta fuerit. Tota verò natura ferulæ similis est, attamen graciliore caule, & folijs fœniculo proximis, vmbellis in singulorum surculorum cacumine anethi similibus: flore in ijs luteo: semine quadantenus lato, quale ferulæ, sed aliquantò minore: radice intus candida, foris nigra, magna, crasso
E vestita cortice, eadémq; acri, cuius liquor excipitur in hunc modũ. Effossa in ambitu scrobe inciditur radicis cortex: aut incauatur ipsa radix, ita tamẽ vt excauatio sensim à latiore orbe in acutũ desinat: mox cooperitur, quò purior liquor confluat: postero autem die congestum
F eũ tolli par est. Eliciendi quoq; succi ratio hæc est: Radix contunditur, ac succus per quallum instrumento ad id cõparato exprimitur, qui quidẽ fictili crasso inditus in sole cogitur siccaturq;. Sũt & qui folijs simul cũ radice tusis succũ exprimãt, sed inualidior is est. Hoc verò indicio discernitur q̃ è sola radice manauit, q̃
G viroso magis est odore, humidúsq; permanet: at è folijs extractus, exiccatur ac teredinũ iniuriam sentit. Porrò qui liquorẽ colligit, minimè obuersum vento stare oportet: ac potiùs tẽpestatẽ deligere à ventis silentẽ, quáve nulla aspiret aura. Alioqui propter

halitus acrimoniâ vehemẽter intumescit facies, nudasq́; corporis partes pustulæ inuadunt. Iccirco etiam non, nisi cerato quopiam astringẽte liquido priùs inunctis nudis partibus, eò accedendũ. Purgandi vim habent cortex radicis & succus, itemq́; liquor, si in aqua mulsa bibãtur: supernè enim æquè ac infernè bilẽ extrahũt. Radicis modus, quaterni oboli cum ternis seminis anethi drachmis: expressi verò succi, terni oboli: at liquoris, obolus vnus: copiosior dosis salutem in discrimẽ adducit. Conuenit autem huiusce-modi purgatio suspiriosis, & in diuturnis laterum doloribus, atque difficilibus excreationibus: ijs vero qui ægrè vomunt in cibarijs opsoniísve datur. Tã radix quàm liquor omniũ maximè quæ pares cum eis vires sortita sunt, metasyncritica vi pollet, siue quid ex alto euocare, siue summæ cutis meatus relaxando corporis habitũ mutari expedit. Quamobrẽ succus perunctione, aut radix recens affrictu, alopecias explet. Radix succúsve cum æquis thuris ac ceræ portionibus sugillata liuentiáque emẽdat: sed non plus binis horis dimittatur, ac locus deinde aqua maris calida foueatur. Tollit & maculas à solis ardore contractas illitus ex melle succus, ac lepras remouet: sed & tubercula rumpit, cum sulphure perunctus. In diuturnis quoque lateris, pulmonis, pedũ, articulorúmque vitijs vtiliter illinitur. Cæterùm valet & ad integendam colis glandem, si modò alia ex causa quàm circuncisione nudata fuerit. Tumorem enim excitat, qui & fotibus & pinguibus adhibitis emollitus præputij iacturã resarcit.

De Spartio. Cap. CLVIII.

SPARTIVM frutex est longas proferens virgas, sine folijs, firmas, fractu contumaces, quæ in alligãdis vitibus vinculi vsum præstãt: siliquas ceu phaseli, in quibus exilia semina, lenticulæ similia: florẽ leucoij, luteum. Huius semina & flores purgãt per superna vehemẽter, hellebori modo & citra periculũ, si quinis obolis ex aqua mulsa bibantur.

A ῥοῦς τὸ πρόσωπον, καὶ "φλυκταινοῦνται τὰ γυμνὰ μέρη διὰ τὴν δριμύτητα τῆς ἀποφορᾶς· δεῖ οὖν κηρωταῖς στυφούσαις ὑγραῖς προχρίειν τὰ γυμνὰ τῶν μερῶν, καὶ οὕτω προσέρχεσθαι. Δύναμιν δὲ ἔχει καθαρτικὴν ὅ,τε φλοιὸς τῆς ῥίζης καὶ ὁ χυλὸς, καὶ ὁ ὀπὸς, σὺν μελικράτῳ πινόμενος· ἄνω γὰρ καὶ κάτω χολὴν B καθαίρουσι. δίδοται δὲ τῆς μὲν ῥίζης τετρώβολον ["μετὰ ἀνήθου σπέρματος < γ.] τοῦ δὲ χυλίσματος, τριώβολον· τοῦ δὲ ὀποῦ, "ὀβολός· πλεῖον γὰρ δοθὲν, κινδυνῶδες. ἁρμόζει δὲ ἡ δι' αὐτοῦ κάθαρσις πάθεσιν ἀσθματικοῖς, πλευρῶν ἀλγήμασι C χρονίοις, καὶ ἀναγωγαῖς· τοῖς δὲ δυσεμέσιν ἐν σιτίοις ἢ *ἑψήματι δίδοται. κέκτηται δὲ καὶ μετασυγκριτικὴν δύναμιν ὅ,τε ὀπὸς καὶ ἡ ῥίζα πάντων μάλιστα τῶν ἰσοδυναμούντων, ὅπου τι δεῖ ἐκ βάθους ἑλκύσαι, ἢ μεταποροποιῆσαι. ὅθεν ἀλωπεκίας καταχριόμενος ὁ χυλὸς, ἢ ἡ D ῥίζα χλωρὰ προστριβομένη, "δασύνει. ὑπώπιά τε αἴρει καὶ πελιώματα "λεία ἡ ῥίζα ἢ ὁ χυλὸς σὺν λιβανωτῷ καὶ κηρῷ ἴσοις· δεῖ δὲ μὴ πλέον δυοῖν ὡρῶν ἐᾶν· μετὰ δὲ ταῦτα πυριᾶν θερμῇ θαλάττῃ· αἴρει δὲ καὶ ἔφηλιν σὺν μέλιτι καταχρισθεὶς, καὶ λέπρας ἀφίστησι· φύ- E ματά τε ῥήττει μετὰ θείου καταχριόμενος ὁ χυλός· χρησίμως δὲ καταχρίεται καὶ ἐπὶ τῶν χρονίας ἐχόντων διαθέσεις περὶ πλευρὸν ἢ πνεύμονα, ἢ πόδας ἢ ἄρθρα· χρησιμεύει δὲ καὶ πρὸς ἐπαγώγια ἐπὶ τῶν μὴ ἐκ περιτομῆς λειποδέρμων, οἴδημα ἐγείρων, ὅπερ καταντλούμενον καὶ τοῖς λι- F παίνουσι μαλαττόμενον, τὸ ἐλλιπὲς τῆς πόσθης ἐκπληροῖ.

Περὶ Σπαρτίου. Κεφ. ρνη.

ΣΠΑΡΤΙΟΝ θάμνος ἐστὶ φέρων ῥάβδους "μακρὰς, ["ἀφύλλους, στερεὰς,] δυσθραύστους, αἷς τὰς ἀμπέλους δεσμεύουσι· φέρει δὲ λοβοὺς ὥσπερ "*φασίλοις, G ἐν οἷς σπερμάτια φακοειδῆ· ἄνθος μήλινον, ὥσπερ λευκοΐου. Τούτου ὁ καρπὸς καὶ τὰ ἄνθη ποθέντα σὺν μελικράτῳ ὁλκὴ ὀβολῶν ε. καθαίρει ἄνω μετ' ἐντάσεως ὥσπερ ὁ ἐλλέβορος ἀκινδύνως·

Hunc locum sic legit in altero Goupylus, φλυκταινοῦταί τε γυμνὰ μέρη τοῦ γυμνοῦ σώματος, quo modo Hermol. legisse videtur.

V. caret.

V. < ᾱ.

Λ. ἁρμόζει καὶ δασύνει.

V. λεῖα ὁ χυλὸς

Marc. legit μικρὰς

V. non habet.

V. addit ἐν φασήλοις

ὁ δὲ καρπὸς κινεῖ τὴν κάτω κάθαρσιν· καὶ αὐτῶν δὲ τῶν ῥάβδων ἐν ὕδατι βραχεισῶν, εἶτα κοπεισῶν καὶ χυλισθεισῶν, ἰσχιαδικῶν καὶ συναγχικῶν ἐστὶ βοήθημα, ὅσον κύαθος εἷς πινόμενος νήστεσιν. ἔνιοι δὲ ἐναποβρέξαντες ἅλμῃ ἢ θαλάττῃ, ἐγκλύζουσι τοὺς ἰσχιαδικούς· ἄγει δὲ αἱματώδη καὶ ξυσματώδη.

V. κάτω.

Περὶ Σιλύβου. Κεφ. ρνθ'.

ΣΙΛΥΒΟΝ ἄκανθά ἐστι πλατεῖα, φύλλα ἔχουσα χαμαιλέοντι ὅμοια τῷ λευκῷ. ἥ τις ἁπαλόφυης ἐσθίεται ἑφθὴ σὺν ἐλαίῳ καὶ ἁλσί. τῆς δὲ ῥίζης ὁ ὀπὸς ὅσον ὁλκὴ ποθεὶς σὺν μελικράτῳ, ἐμέτους κινεῖ.

Περὶ Βαλάνου μυρεψικῆς. Κεφ. ρξ'.

ΒΑΛΑΝΟΣ μυρεψικὴ καρπός ἐστι δένδρου μυρίκῃ ἐοικότος, ὅμοιος τῷ λεγομένῳ Ποντικῷ καρύῳ, οὗ τὸ ἔνδον θλιβόμενον, ὥσπερ τὰ πικρὰ ἀμύγδαλα, ἐξίησιν ὑγρὸν, ᾧ εἰς τὰ πολυτελῆ μύρα ἀντ' ἐλαίου χρῶνται. γεννᾶται δὲ ἐν Αἰθιοπίᾳ καὶ Αἰγύπτῳ καὶ Ἀραβίᾳ, καὶ ἐν τῇ κατὰ Ἰουδαίαν Πέτρᾳ. διαφέρει δὲ αὐτῆς ἡ νέα καὶ πλήρης, λευκή τε καὶ εὐλέπιστος. ἥ τις μετ' ὀξυκράτου ποθεῖσα λεία ὅσον < ὁλκὴ, σπλῆνα τήκει. καὶ καταπλάττεται δὲ ἐπ' αὐτοῦ μετὰ αἰρίνου ἀλεύρου, καὶ μετὰ μελικράτου καὶ ἐπὶ ποδαγρικῶν· σὺν ὄξει δὲ ἑψηθεῖσα, ἀποσμήχει ψώραν, λέπραν· σὺν νίτρῳ δὲ, ἀλφοὺς, οὐλὰς μελαίνας· σὺν οὔρῳ δὲ, αἴρει φακοὺς, ἰόνθους, ἐφήλεις, ἐξανθήματα ἐν προσώποις· ἐμέτους δὲ κινεῖ καὶ κοιλίαν λύει μετὰ ὑδρομέλιτος· κακοστόμαχος δέ ἐστιν ἱκανῶς. καὶ τὸ ἐξ αὐτῆς ἔλαιον ποθὲν, τὴν κοιλίαν ἐπάγει. στυπτικώτερος δέ ἐστιν ὁ φλοιὸς αὐτῆς· τὸ δὲ ἐκκοπείσης καὶ ἐκθλιβείσης αὐτῆς ἐκπίεσμα, μίγνυται σμήγμασι τοῖς πρὸς τραχύτητας καὶ κνησμοὺς εὐθετοῦσιν.

Ποτὲ ὑπάγει

Περὶ Ναρκίσσου. Κεφ. ρξα'.

ΝΑΡΚΙΣΣΟΣ, ἔνιοι καὶ τοῦτο ὥσπερ τὸ κρίνον λείριον ἐκάλεσαν, τὰ μὲν φύλλα πράσῳ ἔοικε, λεπτὰ δὲ καὶ μικρότερα κατὰ πολὺ, καὶ στενώτερα· καυλὸν κενὸν, ἄφυλλον, μείζω σπιθαμῆς· ἐφ' οὗ ἄνθος λευκὸν, ἔσωθεν δὲ κροκῶδες, ἐπ' ἐνίων δὲ πορφυροειδές· ῥίζα δὲ λευκὴ ἔνδοθεν, στρογγύλη, βολ-

V. ἔοικε. μικρότερα δὲ καὶ στενότερα

V. λευκόν. ἐν μέσῳ δὲ κοῖλον ἔχον κροκοειδές.

A Semen verò deiectionē quoq; mouet. Quin & ramuli in aqua macerati, mox tusi succum dant ischiadicis & angina laborantibus vtilem, si cyathi vnius modū ieiuni biberint. Quidam eosdem illos ramulos muria aut aqua marina macerare malunt, extractúmque succum clystere infundunt ischiadicis. Extrahit

B verò cruenta, quæque ramenta strigmentáve repræsentant.

De Silybo. Cap. CLIX.

SILYBVM spina est lata, folijs chamæleonti albo similis: quæ adhuc nouella, cum oleo & sale cocta, estur. Stillans è radice liquor drachmæ pondere potus ex aqua

C mulsa, vomitiones ciet.

De Glande vnguentaria. C.CLX.

GLANS vnguentaria fructus est arboris myricæ similis, magnitudine auellanæ nucis: cuius nucleus amygdalarū amararum more tusus pressúsq; liquorē reddit, quo in pretiosa vnguēta pro oleo vtuntur. Nascitur in Æthiopia, Ægypto, Arabia

D & Petra oppido secus Iudæam. Præfertur recens, plena, candida, quæq; facilè cortice spoliatur. Ea trita & ex posca drachmæ pōdere pota, lienem absumit. Quin & eidē visceri cum lolij farina, itemq; podagricis cum aqua mulsa imponitur. Cum aceto cocta, psoram & leprā exterit: cum nitro, vitiligines & cicatrices

E nigras emendat: & cum lotio lentigines & varos, maculas à Solis ardore contractas & papulas in facie tollit. Vomitiones autē mouet aluumq; soluit cum hydromelite: sed valdè stomacho aduersatur. Oleum quod ea exprimitur, aluū potu subducit: at cortex eius magis astringit. Cæterū quod ex ea tusa expressaq;

F reliquū est quasi retrimentū seu magma, smegmatis immiscetur, quę ad scabritias & prurigines accommodátur.

De Narcisso. Cap. CLXI.

NARCISSVM sunt qui, haud secus ac liliū, liriū appellarint. Folijs quidem porrum refert, at tenuia ea sunt, minoráq; multò & an-

G gustiora: caulis inanis ac sine folijs supra dodrantem attollitur: flos in ipsius cacumine albus, intus croceus, & in quibusdam purpureus: radix intus candida, rotunda, bul-

bosa: semen velut in membrana seu pellicula, nigrum & oblongum. Probatissimus nascitur in montosis, odore suaui: reliqui porrum imitantur, & herbaceum quendam odorem resipiunt. Radix cocta seu edatur, seu etiam bibatur, vomitoria est: ambustis igni prodest cum melle trita: præcisos neruos imposita glutinat: luxatis malleolis diuturnísque articulorũ doloribus trita ex melle illitáque subuenit. Vitia cutis à sole contracta, itémque vitiliginem cum vrticæ semine & aceto emaculat: cum eruo autem ac melle, vlcerum sordes expurgat, & abscessus rũpit ęgrè maturescentes: deniq; infixa corpori extrahit, imposita cum lolij farina & melle.

De Hippophaë. Cap. CLXII.

HIPPOPHAES, quo vestes à fullonibus interpolãtur, in maritimis sabulosísque nascitur. Est autem frutex è cremiorum genere, densus & surculos suos quoquouersus expandens, foliáque habens longa, oleaginis proxima: sed angustiora molliorá que, inter quæ candicantes spinæ emicant, siccæ, angulosæ, distantes inter se: flores hederę corymbis similes, ac veluti racematim sibi inuicem cohærentes, minores tamen ac molles, candidos simul & ex parte puniceo colore rubentes: radicem crassam, mollem, lactei succi plenam, gustu amaram. Ex hac perinde ac è thapsia liquor excipitur, qui & per se, & cum erui farina subactus siccatur, & ad vsum reconditur. Sincerus is biliosa, aquosa pituitosáque detrahit, oboli pondere: at erui farina exceptus, quaternis obolis ex aqua mulsa. Sed & frutex cum radicibus siccatus tunditur, & cum aquæ mulsæ dimidia hemina tritus exhibetur. Cæterùm è radicibus ac simul etiam herba ipsa succus itidem haud secus ac è thapsia exprimitur, cuius in purgationibus modus est, drachma vna.

De Hippophæsto. Cap. CLXIII.

HIPPOPHÆSTON, quod aliqui etiã hippophaes appellãt, nascitur ijsdẽ locis, quib⁹ & hippophaës:

A βολβώδης· καρπὸς ὡς ἐν ὑμένι, μέλας, "προμήκης· φύεται ὁ κάλλιστος ἐν ὀρεινοῖς τόποις, εὐώδης· ὁ δὲ "λοιπὸς πρασίζει, καὶ βοτανώδη τὴν ἀποφορὰν ἔχει. Τούτου ἡ ῥίζα βρωθεῖσα ἑφθὴ καὶ ποθεῖσα, ἐμέτους κινεῖ· ἁρμόζει δὲ καὶ πυρικαύστοις σὺν μέλιτι λεία· καὶ τὰς περὶ νεῦρα διακοπὰς B παρακολλᾷ καταπλασσομένη· στρέμματά τε σφυρῶν καὶ τὰ περὶ ἄρθρα χρόνια ἀλγήματα λεία σὺν μέλιτι καταπλασθεῖσα ὀνίνησι· καθαίρει καὶ ἔφηλιν καὶ ἀλφὸν σὺν κνίδης σπέρματι καὶ ὄξει· σὺν ὀρόβῳ δὲ καὶ μέλιτι, τὰς ἀκαθαρσίας τῶν ἑλκῶν ἀποκαθαίρει· καὶ τὰ δυσέκπεπτα τῶν C ἀποστημάτων ῥήσσει· "ἄγει καὶ σκόλοπας, σὺν αἰρίνῳ ἀλεύρῳ καὶ μέλιτι" καταπλασσομένη.

V. caret.
V. λευκός Orib. addit, ἐν πεδίοις καὶ ἀμμώδεσι
V. καὶ ἀνέπτεα σκόλοπας
Add. Lacuna ex v. cod. καὶ ῥοδίνῳ ἐλαίῳ.

Περὶ Ἱπποφαοῦς. Κεφ. ρξβ΄.

ΙΠΠΟΦΑΕΣ, ᾧ γνάφουσι τὰ ἱμάτια, φύεται μὲν ἐν παραθαλαττίοις καὶ ἀμμώδεσι τόποις. θάμνος δέ ἐστι φρυγανώδης, D πυκνὸς, "ἀμφιλαφής, φύλλα ἔχων μακρὰ πρὸς τὰ τῆς ἐλαίας, στενώτερα δὲ καὶ "μαλακώτερα· καὶ μεταξὺ ἀκάνθας ξηρὰς, ὑπολεύκους, γωνιοειδεῖς, ἀπ' ἀλλήλων διεστώσας· ἄνθη κορύμβοις ἐοικότα κισσοῦ, ὡς βοτρύδια προσκείμενα ἀλλήλοις, πλὴν μικρότερα καὶ μαλακὰ, καὶ μετὰ τοῦ λευκοῦ E φοινίσσοντα ἐκ μέρους· ῥίζα παχεῖα καὶ μαλακὴ, ὀποῦ μεστὴ, γευσαμένῳ πικρὰ, ὀπιζομένη ὥσπερ θαψία. Ἀποτίθεται δὲ καθ' ἑαυτὸν ὁ ὀπὸς, καὶ σὺν ὀροβίνῳ ἀλεύρῳ ἀναλαμβανόμενος καὶ ξηραινόμενος· καθαίρει δὲ χολώδη, ὑδατώδη καὶ φλεγματώδη κάτω, ὅσον ὀβολὸς ἀκέραιος. τοῦ δὲ μετὰ τοῦ ὀροβίνου, τετρώβολον σὺν μελικράτῳ. F καὶ ὁ θάμνος δὲ σὺν ταῖς ῥίζαις ξηραινόμενος κόπτεται, καὶ δίδοται λεῖος μετὰ μελικράτου κοτύλης μιᾶς ἡμισείας· γίνεται δὲ καὶ χύλισμα τῆς ῥίζης καὶ τῆς πόας, ὥσπερ ἐπὶ τῆς θαψίας· δίδοται δὲ τούτου < α΄ εἰς τὰς καθάρσεις.

Lacuna ex vet. cod. interserit, μικρὸς,
Sic legit Lacuna ex vet. cod. At vulg. exempl. λεπτότερα

G
Περὶ Ἱπποφαίστου. Κεφ. ρξγ΄.

ΙΠΠΟΦΑΙΣΤΟΝ, οἱ δὲ, καὶ τοῦτο ἱπποφαὲς καλοῦσι, φύεται ἐν τοῖς αὐτοῖς τόποις, ἐν οἷς καὶ τὸ ἱπποφαές,

καὶ αὐτὸ γναφικῆς ἀκάνθης εἶδος ὑπάρχον· ἔστι δὲ χαμαιπετές, ἔχον μόνον φυλλάρια μικρά, ἀκανθώδη, καὶ κεφάλια χαῦνα· οὔτε δὲ καυλὸν, οὔτε ἄνθος "φέρει· ῥίζαν δὲ παχεῖαν καὶ μαλακήν. Ταύτης τὰ φύλλα καὶ τὴν ῥίζαν καὶ τὴν κεφαλὴν χυλίσας, ξήραινε, καὶ δίδου ὁλκὴν τριωβόλου μετὰ μελικράτου ᾧ βούλει· ἡ γὰρ διὰ τούτου κάθαρσις ὕδωρ καὶ φλέγμα ἄγει· ἰδίως δὲ ὀρθοπνοίαις ἁρμόζει καὶ ἐπιληψίαις καὶ τοῖς περὶ νεῦρα πάθεσιν ἡ διὰ τούτου κάθαρσις.

Lacuna addit ex vet. cod. ὄντε καρπὸν

Περὶ Κίκεως. Κεφ. ρξδ΄.

Κίκι ἢ κρότων, οἱ δὲ, σήσαμον ἄγριον, οἱ δὲ, σέσελι Κύπριον, οἱ δὲ, κρότωνα. ὠνόμασται κρότων, διὰ τὴν πρὸς τὸ ζῶον ἐμφέρειαν τοῦ σπέρματος· δένδρον δέ ἐστι συκῆς μικρᾶς μέγεθος ἔχον· φύλλα δὲ ὅμοια πλατάνῳ, μείζονα δὲ καὶ λειότερα καὶ μελάντερα. τὰ δὲ στελέχη καὶ "τὰς κράδας κοῖλα καλάμου τρόπον· ἔχει καρπὸν δὲ ἐν βότρυσι τραχέσι, λεπισθέντα ὅμοιον κρότωνι τῷ ζώῳ. ἐξ οὗ καὶ ἀποθλίβεται τὸ λεγόμενον κίκινον ἔλαιον ἄβρωτον μὲν, ἄλλως δὲ χρήσιμον εἰς λύχνους καὶ ἐμπλάστρους· καθαρθέντες δὲ ὅσον λ΄. κόκκοι τὸν ἀριθμὸν, καὶ ποθέντες λεῖοι, ἄγουσι κατὰ κοιλίαν φλέγμα καὶ χολὴν καὶ ὕδωρ· κινοῦσι δὲ καὶ ἔμετον. ἔστι δὲ λίαν ἀηδὴς καὶ ἐργώδης ἡ τοιαύτη κάθαρσις, ἀνατρέπουσα στόμαχον ἰσχυρῶς. *κοπεῖσα δὲ καὶ καταπλασθεῖσα, ἴονθους καὶ ἐφήλεις καθαίρει. τὰ δὲ φύλλα τριβέντα μετὰ παιπάλης ἀλφίτου, ὀφθαλμῶν οἰδήματα καὶ φλεγμονὰς παύει, καὶ σπαργῶντας μαστοὺς, ἐρυσιπέλατά τε σβέννυσι, καθ' ἑαυτὰ καὶ μεθ' "ὄξους καταπλασσόμενα.

V. καὶ τοὺς κλάδους κοιλ.

Al. ὀξυκράτου

Περὶ Τιθυμάλων. Κεφ. ρξέ.

Τιθυμάλων εἴδη ζ΄. ὧν ὁ μὲν ἄρρην χαρακίας καλεῖται, ὑπὸ δέ τινων κομήτης, ἢ ἀμυγδαλοειδὴς ἢ κώβιος ὀνομάζεται· ὁ δέ τις θῆλυς ἢ μυρσίτης, ὃν καὶ καρυίτην ἢ μυρσινίτην καλοῦσιν. ὁ δὲ παράλιος, ὃν ἔνιοι τιθυμαλίδα ἐκάλεσαν· ὁ δέ τις ἡλιοσκόπιος. ὁ δὲ κυπαρισσίας· ὁ δὲ δενδρώδης· ὁ δὲ πλατύφυλλος. Τοῦ δὲ χαρακίου καλουμένου, καυλοὶ μὲν, ὑπὲρ πῆχυν, ἐνερευθεῖς, ὀποῦ δριμέος καὶ λευκοῦ

A estque spinæ fulloniæ genus. Humi verò sternitur, sine caule ac flore: minutis tantũ foliolis, iisq; spinosis, & capitulis "inanib⁹: radice crassa & molli. Succ⁹ foliis, radice & capitulo exprimitur: q quidẽ exiccatur, atq; datus cui volueris obolis tribus in aqua mulsa, aquam pituitámq; detrahit: priuatim verò orthopnœæ, B comitialibus, neruorúmque vitijs, conuenit huiuscemodi purgatio.

De Ricino. Cap. CLXIIII.

Περὶ Θηλυπτερίδος. Κεφ. ρπζʹ.

Θηλυπτερὶς, οἱ δὲ, νυμφαίαν πτέριν ὀ- C νομάζουσι, τὰ μὲν φύλλα πτέριδι ὅμοια, οὐ μονόμοσχα δὲ, ὡς τὰ ἐκείνης, ἀλλὰ πολλὰς ἔχοντα ἀποφύσεις καὶ ὑψηλοτέρας· ῥίζαι δὲ ὕπεισι μακραὶ, πλάγιαι, *πλείοις, ὑπόξανθοι ἐν τῷ μέλανι· τινὲς δὲ ἐρυθραί. Καὶ αὗται δὲ σὺν μέλιτι ἐν ἐκλείκτῳ λαμβανόμεναι, πλατεῖαν ἕλ- D μινθα ἐκβάλλουσι· σὺν οἴνῳ δὲ πινόμεναι < γʹ πλῆθος, στρογγύλην ἐκτινάσσουσιν ἕλμινθα· γυναιξὶ δὲ δοθεῖσαι, ἀσυλληψίαν ποιοῦσι· κἂν *ἔγκυος δὲ λάβῃ, ἐκτιτρώσκει. ξηραὶ δὲ ἐπὶ τῶν "δυσαλθῶν καὶ καθύγρων ἑλκῶν *ἐπιπλάσσονται· λόφοις τε ὑποζυγίων ἰῶνται. "τὰ δὲ E φύλλα αὐτῆς ἀρτίβλαστα λαχανεύεται ἑφθὰ βιβρωσκόμενα, καὶ κοιλίαν μαλάσσουσιν.

V. δυσαλθῶν

V. caret.

Περὶ Πολυποδίου. Κεφ. ρπηʹ.

ΠΟΛΥΠΟΔΙΟΝ φύεται ἐν πέτραις βρύα ἐχούσαις, καὶ ἐν τοῖς * ἀγρίοις πρέμνοις τοῖς ἐπὶ τῶν δρυῶν, σπιθαμῆς ἔ- F χουσα τὸ ὕψος, ὅμοιον τῇ πτέριδι, ὑπόδασυ, τετμημένον, οὐ μὴν οὕτω λεπτοσχιδῶς· ῥίζα δ' ὕπεστι δασεῖα, πλεκτάνας ὡσπερεὶ πολύπους ἔχουσα, πάχος μικροῦ δακτύλου. ξυσθεῖσα δὲ, ἔνδοθεν χλωρὰ, στρυφνὴ, τῇ δὲ γεύσει ὑπόγλυκυς, δύναμιν ἔχουσα καθαρτικήν. δίδοται δὲ G συγκαθεψομένη ὄρνιθι, ἢ ἰχθύσιν, ἢ σεύτλῳ, ἢ μαλάχῃ πρὸς κάθαρσιν. ξηρὰ δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγματα καὶ χολήν. ποιεῖ καὶ πρὸς στρέμματα ἢ

ῥίζα λεία καταπλασσομένη, καὶ πρὸς A
Man. ἐν δακτυλίῳ legendum suspicatur.
ῥαγάδας τὰς" ἐν μεσοδακτύλοις.

Περὶ Δρυοπτερίδος. Κεφ. ρπθ΄.

Orib. δρυοπτερὶς
ΔΡΥΟΠΤΕΡΙΣ φύεται κατὰ τὰ βρυώδη μέρη τῶν παλαιῶν δρυῶν, ὁμοία πτερίδι, ἐλάττων δὲ πολλῷ τῇ σχίσει· ῥίζας δὲ ἔχει κατ' ἐπιπλοκὴν δασείας, στρυφνὰς
Quidam add. τὸ πρῶτον καὶ καυστικάς.
V. caret.
" κατὰ τὴν γεῦσιν, ἐν τῷ γλυκεῖ *"ῥέπουσα· B Αὕτη ἐπιπλασθεῖσα λεία σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ· δεῖ δὲ ἀποψᾶν πρότερον μετὰ τὸ ἰκμάσαι τὸν χρῶτα, καὶ νεαρὸν ἐπιπλάσσειν.

Περὶ Κνίκου. Κεφ. ρϛ΄.

ΚΝΙΚΟΣ φύλλα ἔχει ἐπιμήκη, ἐντετμημένα, "τραχέα, ἀκανθώδη· καυ-
Matth. παχέα.
V. caret.
V. διπηχυαίους, ἀκανθώδεις. Sic & Lacunæ v.c.
Al. κεφάλια
C λοὺς δὲ πηχυαίους", ἐφ' ὧν " κεφάλια κατὰ μέγεθος *ἐλαίας· ἄνθος κρόκῳ ὅμοιον· σπέρμα λευκὸν καὶ " πυρρὸν, ἐπίμηκες, τε-
Marc. suspicatur legendum πικρὸν aut πύρινον.
γωνιωμένον. Τούτῳ τῷ ἄνθει χρῶνται εἰς τὰ προσοψήματα. Τὸ σπέρμα κοπτόμε-
V. delet.
νον " καὶ χυλιζόμενον ⌈ σὺν ὑδρομέλιτι ἢ ζωμῷ ὄρνιθος, κοιλίαν καθαίρει, κακοστό- D
V. πάντα
μαχον δέ ἐστι. γίνεται δὲ καὶ " κοπτάρια κοι-
Ald. αὐτῷ
λίας μαλακτικὰ, τοῦ ὀποῦ" αὐτοῦ μιγνύντος ἀμυγδάλῳ καὶ νίτρῳ, καὶ ἀνίσῳ, καὶ μέλιτι ἑφθῷ. δεῖ δὲ πρὸ δείπνου λαμβάνειν εἰς δ΄. διελόντα, ὡς βασιλικοῦ κα-
V. καὶ δ΄.
ρύου μέγεθος β΄. ἢ γ΄. "σκευάζειν δὲ τὸν τρόπον τοῦτον δεῖ. κνίκου λευκοῦ ξέστην α΄. *Θασίων πεφωγμένων καὶ * λελεπυσμένων E κυάθους τρεῖς, ἀνίσου ξέστην ἕνα, ἀφρονίτρου < α΄. ἰσχάδων τῆς σαρκὸς ἀριθμῷ λ΄. πήσσει δὲ καὶ γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυτικώτερον ποιεῖ.

Περὶ Λινοζώστεως. Κεφ. ρϛα΄.

ΛΙΝΟΖΩΣΤΙΣ, οἱ δὲ, παρθένιον, οἱ δὲ, Ἑρ- F μοῦ βοτάνιον καλοῦσι. ἔχει τὰ φύλλα ὅμοια ὠκίμῳ, πρὸς τὰ τῆς ἑλξίνης, ἐλάττονα
Ald. διαγόνατα]
δέ· κλωνία " διγόνατα, μασχάλας πολλὰς, πυκνὰς ἔχοντα· τὸν δὲ καρπὸν, ἡ μὲν θήλεια βοτρυοειδῆ καὶ πολὺν· ὁ δὲ ἄρρην, πρὸς τοῖς πετάλοις μικρὸν, στρογγύλον, ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα· ὅλος δὲ ὁ G θαμνίσκος σπιθαμιαῖος, ἢ καὶ μείζων. Κινοῦσι δ' ἀμφότεραι κοιλίαν λαχανευόμεναι καὶ ἐσθιόμεναι· καθεψόμεναι δὲ

A efficaciter imponitur, & aduersus rimas quæ inter digitos fiunt.

De Dryopteri. Cap. CLXXXIX.

DRYOPTERIS in veterum roborum muscosis partibus enascitur, filici similis, at multò tenuiore foliorum incisura: radicibus inter se implicitis, hirsutis, gustu astringentibus, & ad dulcedinem vergen- B tibus. Ea si trita cum radicibus illinatur, pilos abolet. Primùm autem cutem posteaquam exudauerit abstergere oportet, ac deinde recentem ipsam imponere.

De Cnico. Cap. CXC.

CNICVS foliis constat oblongis, per ambitum diuisis, asperis, aculeatis: caulibus cubitalibus, & in C eorum cacumine capitulis oliuæ magnitudine: flore croci: semine candido aut fuluo, oblongo, anguloso: illo flore in obsoniis vtuntur. Seminis verò cõtusi & expressi succus ex aqua mulsa aut gallinacei iusculo aluum purgat, sed stomacho aduersatur. Fiunt & ex eo placentulæ aluum emollientes, adiectis D succo amygdalis, nitro, aniso & melle cocto. Hæ in frusta quatuor diuiduntur, quæ nucis iuglandis magnitudinem impleant: è quibus ante cœnam duo triáve sumi oportet. Ratio temperandi ea est, vt accipiátur, cnici candidi sextarius vnus, nucum Thasiarum seu amygdalarum tostarum & decorticatarum E cyathi tres, anisi sextarius vnus, aphronitri drachma vna, cum carne caricarum numero triginta. Cæterùm seminis succus lac etiam coagulat, ipsúmque ad soluendá aluum efficacius reddit.

De Linozostide, seu Mercuriali. Cap. CXCI.

F LINOZOSTIN aliqui parthenium, alij Mercurij herbulam appellant. Folia habet ocimi, helxinæ cognata, sed minora: ramulos duplici geniculorum nodo cinctos, & alarum cauis multis iisque densis præditos: semen, fœminæ quidem, racemosum atque copiosum: mari ve- G rò, iuxta folia paruum ac rotũdum, ceu binos testiculos vnà cohærentes. Totus autem frutex dodrãtalis est, aut etiam maior. Vtraque aluum ciet, si olerum vice mãdatur. Cocta

verò in aqua, epoto iure, bilem aquosáque detrahit. Creduntur autem folia trita si bibantur, atque etiam à purgatione menstrua verendis admoueantur, vt fœminæ concipiantur facere: maris verò folia similiter vsurpata, vt masculi gignantur efficere.

De Cynocrambe. Cap. CXCII.

CYNIA seu cynocrambe, aliis mercurialis syluestris mas, cauliculum emittit binûm palmorum altitudine, mollem ac subalbidum: folia mercuriali aut hederæ similia, certis interstitiis candicantia: semen foliis adiacet paruum ac rotundum. Folia cum caulibus olerum instar pota, vim alui ciendæ habent. Ius verò decocti, bilem aquosáque detrahit.

De Heliotropio magno, seu Solari herba maiore. Cap. CXCIII.

HELIOTROPIVM magnũ aliqui à floris figura Scorpiuron appellauêre: cæteri heliotropium, quoniam folia sua cum inclinante sole circumagat. Folia ocimi habet, hirsutiora tamen, nigriora maioráque: ramulos ab ima radice ternos, quaternos, quinósve, compluribus alis concauos: florem in ipsorum cacuminibus candidum, purpurascentem, qui ad similitudinem caudæ scorpionis incuruatur. Radix gracilis est atque superuacua. Nascitur in asperis. Huius manualis fasciculus ex aqua decoctus & potus, pituitam bilémque per aluum extrahit. Prodest & contra scorpionum ictus ex vino bibitum, atque etiam illitum: ad arcendos verò conceptus, amuleti instar adalligatur. Aiunt porrò seminis grana quatuor hora vna ante accessionem cum vino pota, quartanas finire, tria verò, tertianas. Illitum autem semen, myrmecias, pensiles verrucas, thymos & epinyctidas exiccat. At folia podagris luxatísque, & infantium adustioni, quam siriasin vocant, vtiliter illinitur. Méses eadẽ cient: atque etiam partus trita & imposita pellunt.

A ἐν ὕδατι, καὶ πινομένου τοῦ ὕδατος, ἄγουσι χολὴν καὶ ὑδατώδη. δοκεῖ δὲ τὰ μὲν τῆς θηλείας φύλλα, λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεος ποιεῖσθαι, τὰ δὲ τοῦ ἄρρενος ὁμοίως ἐπιτηδευθέντα, ἀρρενογόνα γίνεσθαι.

B Περὶ Κυνοκράμβης. Κεφ. ρϟβ'.

Κυνιὰ ἢ κυνοκράμβη, οἱ δὲ, λινόζωστις ἀγρία ἄρρην, καυλίον ἀνίησι διπιθαμιαῖον, ὑπόφαιον, ὑπόλευκον· φύλλα ἐμφερῆ λινοζώστιδι ἢ κισσῷ, ὑπόλευκα ἐκ διαστημάτων· ὃν δὲ καρπὸν
C πρὸς τοῖς πετάλοις προσκείμενον, μικρὸν, στρογγύλον. Δύναμιν δὲ ἔχει ὅ, τε καυλὸς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικὴν, λαχανευόμενα. καθεψομένων δὲ τὸ ὕδωρ, ἄγει χολὴν καὶ ὑδατώδη.

Περὶ Ἡλιοτροπίου τοῦ μεγάλου. Κεφ. ρϟγ'.

D Ἡλιοτρόπιον τὸ μέγα, ὃ ἔνιοι ἐκάλεσαν σκορπίουρον ἀπὸ τοῦ περὶ τὸ ἄνθος σχήματος, ἡλιοτρόπιον δὲ ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου κλίσει. ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια, δασύτερα δὲ καὶ μελάντερα,
E καὶ μείζονα· κλωνία ἀπὸ τῆς ῥίζης ὅσον γ'. ἢ δ'. ἢ ε'. καὶ ἐκ τούτων μασχάλας πλείους· ἐπ' ἄκρων δὲ ἄνθος λευκὸν, ὑποπόρφυρον, ἐπικαμπὲς, καθάπερ σκορπίου οὐρά· ῥίζα δὲ λεπτὴ, καὶ ἄχρηστος· φύεται ἐν τραχέσι τόποις. Τούτου ὅσον δέσμη ἀφεψηθεῖσα μεθ' ὕδατος καὶ ποθεῖσα, ἄγει
F φλέγμα καὶ χολὴν κατὰ κοιλίας· ἁρμόζει δὲ καὶ σκορπιοπλήκτοις, μετ' οἴνου πινομένη τε καὶ καταπλασσομένη· πρὸς ἀτόκιον δὲ περιάπτεται. φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας, τοῦ καρποῦ δ'. κόκκους μετ' οἴνου ποθέντας, τεταρταίους καταπαύειν· τριταίους δὲ, τρεῖς. καταπλασσό-
G μενος δὲ ὁ καρπὸς, μυρμηκίας τε καὶ ἀκροχορδόνας καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει. τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι, καὶ σειριῶσι παιδίοις ἐπιπλάττεται ὠφελίμως. κινεῖ δὲ καὶ ἔμμηνα, καὶ ἔμβρυα ἄγει λεῖα προστεθέντα.

Censet Marcellus hoc caput adulterinum: maximè cùm in vetustis codicibus minimè reperiatur.

Add. quidam λέγεται.

V. καὶ λευκότερα, quam lectionem secutus est Marcellus.

Vulg. ἐξυπόπορφυρον

Fortè πινόμεναι, & ita deinceps.

Al. ἀποπαύειν

Περὶ Ἡλιοτροπίου τοῦ μικροῦ. Κεφ. ρϙδ'.

V. add. οἱ δὲ καὶ σκορπιοῦρον ἐκάλεσαν. ἕτεροι δὲ σκορπιοῦρος

Ἡλιοτρόπιον τὸ μικρὸν φύεται ἐν τελματώδεσι τόποις καὶ παρὰ λίμναις, ἔχον φύλλα παραπλήσια τῷ προειρημένῳ, στρογγυλώτερα δέ· καρπὸν στρογγύλον ἀποκρεμάμενον ὡς ἀκροχορδόνας. Δύναται δὲ ἡ πόα μετὰ τοῦ καρποῦ πινομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδάμῳ καὶ ὕδατι, ἕλμινθας πλατείας καὶ στρογγύλας ἐκτινάσσειν· αἴρει δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη.

B

Περὶ Σκορπιοειδοῦς. Κεφ. ρϙε'.

C

ΣΚΟΡΠΙΟΕΙΔΕΣ, βοτάνιον φύλλα ἔχον ὀλίγα, καὶ σπέρματα οὐραῖς σκορπίου ἐμφερῆ. βοηθεῖ δὲ καταπλασσόμενα σκορπιοπλήκτοις ἄκρως.

Τέλος τοῦ τετάρτου Βιβλίου.

A

De Heliotropio paruo.

Cap. CXCIIII.

HELIOTROPION paruum, (quod & alio nomine Scorpiuros vocatur,) nascitur in paluſtribus, & iuxta lacus, foliis antedicto proximis, at rotundioribus: ſemine rotundo, penſilium verrucarum modo depẽdente. Herba cum ſemine pota, additis nitro, hyſſopo, cardamomo & aqua, valet ad latos tereteſque lumbricos excutiẽdos: quin & penſiles verrucas cum ſale illita tollit.

De Scorpioide. Cap. CXCV.

SCORPIOIDES herbula eſt, foliis paucis, & ſemine caudæ ſcorpionis effigie. Hęc illita, contra ſcorpionũ ictus præſentaneo ſunt auxilio.

Quarti libri finis.



ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ, Περὶ ὕλης ἰατρικῆς βιβλίον πέμπτον.

PEDACII DIOSCORIDIS ANAZARBÆI, De medica materia Liber quintus.

IANO ANTONIO SARACENO LVGDVNÆO INTERPRETE.



ΑΠΟΔΟΝΤΕΣ ἐν τοῖς προγεγραμμένοις τέτταρσι βιβλίοις, φίλτατε Ἄρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν ἐξ αὐτῶν καρπῶν τε καὶ δακρύων· ἔτι τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στέατος, καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχάνων. καὶ τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων καὶ σπερμάτων λόγον. ἐν τούτῳ, τελευταίῳ ὄντι τῆς ὅλης πραγματείας, διαλεξόμεθα περὶ οἴνων καὶ τῶν καλουμένων μεταλλικῶν, ἀρξάμενοι ἀπὸ τῆς περὶ ἀμπέλου παραδόσεως.

E

F



QVONIAM ſuperioribus quatuor libris, amiciſſime Aree, de aromatibus, oleis, vnguentis, arboribus & earundem fructibus atque lacrymis, itémque de animalibus, melle, lacte, adipe, cerealibus & oleribus egimus: necnon & vniuerſam de radicibus, herbis, ſuccis, ſeminibúſque tractationem abſoluimus: in hoc totius operis vltimo, de vinis & iis quæ metallica dicuntur diſſeremus, à vitis tractatione ducto exordio.

De Vite vinifera. Cap. I.

VITIS viniferæ folia cum clauiculis trita & imposita, capitis dolores mitigant, itémq; stomachi inflammationem & ardorem cum polēta. Idipsum etiam folia per se imposita præstant: quippe quæ refrigerandi astringendiq; vim habeant. Potus eorundem succus iuuat dysentericos, sanguinem excreantes, stomachicos, ac mulieres malacia laborantes. Eadem efficiunt macerati in aqua capreoli & poti. Lacryma vitium, quæ veluti gummi est, quæque circa illarum caudices concrescit, ex vino pota, calculos pellit: inuncta lichenas, psoras, leprásque nitro affricto præparatas sanat. Eadem cum oleo sæpius pilis illitis psilothri effectum habet, maximéque liquor quem accensa sarmenta vitium viridia exudarunt, quo & perunctæ myrmeciæ tolluntur. Cinis autem sarmentorum & vinaceorum, detractis circa sedem condylomatis & thymiis illitus ex aceto medetur. Prodest & luxatis ac viperarum morsibus: quin & contra lienis inflammationes proficit, cũ rosaceo, ruta & aceto impositus.

De Labrusca seu vite syluestri. Cap. II.

Id, minimè variat. LABRVSCA duûm est generum: Altera enim vuam ad incipientem maturitatem minimè perducit, sed flore tenus œnanthen nominatam profert. Altera ad frugem peruenit, paruis acinis, nigris & adstringentibus. Folia, caules & clauiculæ quibus repunt, vim habent satiuæ viti similem.

De Vua. Cap. III.

QVÆLIBET vua recens aluum turbat, & stomachum inflat: quæ verò decerpta aliquandiu pependit, propterea quòd ea ventilatione magna humiditatis portio decessit, innocentior est, ac tum stomacho vtilis est, tum & appetentiam ciborum restituit, atque adeò ægris languentibúsve idonea est. In vinaceis & ollis seruatæ, ori stomachóque gratæ sunt: aluum sistunt, (sed vesicam & caput tentant) & sanguinem excreantibus conueniunt. Similes porrò sunt & quæ in

A Περὶ Ἀμπέλου οἰνοφόρου. Κεφ. α΄.

ΑΜΠΕΛΟΥ οἰνοφόρου τὰ φύλλα καὶ αἱ ἕλικες λεῖαι καταπλασσόμεναι, κεφαλαλγίας πραΰνουσι, φλεγμονήν τε στομάχου καὶ καῦσον σὺν ἀλφίτῳ· καὶ καθ᾽ ἑαυτὰ ἐπιτιθέμενα τὰ φύλλα, ψυκτικὰ (V.caret.) καὶ στυπτικὰ ὄντα. καὶ ὁ ἐξ αὐτῶν δὲ χυλὸς B ποθεὶς, ὠφελεῖ δυσεντερικοὺς καὶ αἱμοπτοϊκοὺς καὶ στομαχικοὺς καὶ κισσώσας. ἀποβραχεῖσαι δὲ καὶ αἱ ἕλικες ἐν ὕδατι (V.add. λεῖαι) καὶ ποθεῖσαι, τὰ αὐτὰ ποιοῦσι. τὸ δὲ δάκρυον αὐτῆς ὅμοιον ὂν κόμμι, περιπηγνύμενον τοῖς στελέχεσι, λίθους ἐκπινάσσει (V.add. τότε) πινόμενον σὺν οἴνῳ· ἰᾶται δὲ καὶ λειχῆνας C καὶ ψώρας καὶ λέπρας καταχριόμενον. δεῖ δὲ προεκνιτροῦν τὸν τόπον. σὺν ἐλαίῳ δὲ ἐγχριόμενον συνεχῶς, ψιλοῖ τὰς τρίχας, καὶ μάλιστα ὁ ἀπὸ τοῦ χλωροῦ καιομένου κλήματος ἀφιδρούμενος ἰχὼρ ὃς καὶ μυρμηκίας ἐπιχριόμενος ἐκβάλλει. ἡ δὲ ἐκ τῶν κλημάτων καὶ στεμφύλων τέφρα, τὰ D περὶ δακτύλιον ἀφαιρεθέντα κονδυλώματα καὶ θύμια, σὺν ὄξει καταπλασθεῖσα θεραπεύει. καὶ στρέμματα, καὶ ἐχιοδήκτους ὠφελεῖ, καὶ σπληνὸς φλεγμονὰς, σὺν ῥοδίνῳ (V.caret.) καὶ πηγάνῳ καὶ ὄξει καταπλασσομένη.

Περὶ Ἀμπέλου ἀγρίας. Κεφ. β΄.

ΑΜΠΕΛΟΣ ἀγρία διττή. ἡ μὲν γὰρ αὐτῆς οὐ περκάζει τὴν σταφυλὴν, ἀλλὰ B μέχρι ἀνθήσεως ἄγει τὴν λεγομένην οἰνάνθην. ἡ δέ τις τελεσφορεῖ, μικρόρραξ οὖσα, καὶ μέλαινα, καὶ στυπτική. Δύναμιν δὲ ἔχει ταύτης τὰ φύλλα καὶ αἱ ἕλικες καὶ οἱ καυλοὶ, ὁμοίως τῇ ἡμέρῳ.

Περὶ Σταφυλῆς. Κεφ. γ΄.

F ΣΤΑΦΥΛΗ, ἡ μὲν πρόσφατος πᾶσα ἐκταράσσει κοιλίαν, καὶ ἐμπνευματοῖ (V.quidam add. πνεύματα) στόμαχον· ἡ δὲ ἐπὶ χρόνον τινὰ κρεμασθεῖσα, ὀλίγον μετέχει τούτων, (διὰ τὸ πολὺ τῆς ἰκμάδος ἀπεξηράνθαι) εὐστόμαχός τε ἐστὶ καὶ ὀρέξεως ἀνακλητική, καὶ ἐπιτήδειος πρὸς τοὺς ἀσθενοῦντας. αἱ δὲ ἐκ τῶν G στεμφύλων (Cat. φύλλων) καὶ ἐκ τῶν βικῶν, εὔστομοι, εὐστόμαχοι, κοιλίας ἐφεκτικαί. (κύστεως δὲ καὶ κεφαλῆς ἅπτονται.) ἁρμόζουσι δὲ καὶ αἱμοπτοϊκοῖς. ὅμοιαι δὲ εἰσι καὶ αἱ εἰς τὸ

γλεῦκος ἐμβαλλόμεναι. αἱ δὲ ἐκ τοῦ ἑψή-
ματος καὶ γλυκέος, κακοστομαχώτεραι. (Ald. γλεύκους)
συντίθενται δὲ καὶ μετ' ὀμβρίου ὕδατος προηλιασθεῖσαι. γίνονται δὲ αἱ τοιαῦται ἐπ' ὀλίγον οἰνώδεις, διψώδεσι δὲ καὶ καυσώδεσι καὶ χρονίοις πυρετοῖς χρήσιμοι. τὸ δὲ στέμφυλον αὐτῶν ἀποτεθὲν, καταπλάττεται μεθ' ἁλῶν πρὸς φλεγμονὰς καὶ σκληρίας καὶ σπαργῶσιν μαστῶν· τὸ δὲ ἀφέψημα τῶν στεμφύλων, δυσεντερικοῖς καὶ κοιλιακοῖς καὶ ῥοϊκαῖς ὠφελεῖ ἐνιέμενον· καὶ εἰς ἐγκαθίσματα καὶ προσκλύσματα λαμβάνεται. Τὰ δὲ ἐξ αὐτῶν γίγαρτα στυπτικά, εὐστόμαχα· φρυγέντα δὲ καὶ ἀντὶ ἀλφίτου ἐπιπασσόμενα λεῖα, ἁρμόζει δυσεντερικοῖς, καὶ κοιλιακοῖς καὶ τοῖς τὸν στόμαχον ἀναλελυμένοις.

Corn. ῥοϊκοῖς sup. πάθει

Marc. μετὰ legendum suspicatur.

Περὶ Σταφίδος. Κεφ. δ'.

ΤΗΣ δὲ σταφίδος στυπτικωτέρα ἐστὶν ἡ λευκή· ὠφελεῖ δὲ καὶ ἡ σὰρξ αὐτῶν ἐσθιομένη ἀρτηρίας καὶ βῆχας καὶ νεφροὺς καὶ κύστιν· καὶ δυσεντερίαν σὺν τοῖς γιγάρτοις ἐσθιομένη καθ' ἑαυτήν· μιγεῖσα δὲ ἀλεύρῳ κεγχρίνῳ καὶ κριθίνῳ καὶ ᾠῷ, καὶ τηγανισθεῖσα μετὰ μέλιτος καὶ λαμβανομένη· εἴς τε ἀποφλεγματισμοὺς καθ' ἑαυτὴν καὶ σὺν πεπέρει μασωμένη εὔθετος. διδύμων τε φλεγμονὰς παύει, καταπλασθεῖσα μετ' ἀλεύρου κυαμίνου, "καὶ κυμίνου.] ἐπινυκτίδας δὲ καὶ ἄνθρακας καὶ κηρία καὶ τὰς περὶ ἄρθρα σηπεδόνας καὶ γαγγραίνας, χωρὶς γιγάρτων ἰᾶται λεία σὺν πηγάνῳ ἐπιτιθεμένη· πρός τε ποδάγραν ἁρμόζει, μετὰ τοῦ ὀποπάνακος καταπλασσομένη· καὶ ὄνυχας δὲ τάχιον ἀφίστησι σαλεύοντας ἐπιπλασθεῖσα.

V. caret.

Περὶ Οἰνάνθης. Κεφ. ε'.

ΟΙΝΑΝΘΗ καλεῖται ὁ τῆς ἀγρίας ἀμπέλου καρπός, ὁπότε ἀνθεῖ. [ἀποτίθεσθαι δὲ δεῖ εἰς ἀκόνιτον ἀγγεῖον ὀστράκινον, συλλέγοντας καὶ ξηραίνοντας ἐπὶ ὀθονίου ἐν σκιᾷ. καλλίστη δὲ γίνεται ἐν Συρίᾳ καὶ Κιλικίᾳ καὶ Φοινίκῃ. Δύναμις δὲ αὐτῆς στυπτική· ὅθεν πινομένη, εὐστόμαχος καὶ οὐρητική, κοιλίαν ἐφιστῶσα καὶ αἵματος πτύσιν. ξηρὰ δὲ καταπλασθεῖσα, καὶ

Ista sequentibus iungenda putat Manardus.

mustum coniectæ fuere. At quæ in sapa aut passo conditæ sunt, stomachum magis infestant. Seruantur & in aqua cœlesti quæ priùs solem passæ fuerint: sed eæ parum vinosæ sunt, siticulosis tamen, ardentibus ac diuturnis febribus vtiles. Reconditi vinacei, inflammatis, præduris lacteq; turgentibus mammis cum sale imponuntur. Eorundem decoctum infusum, dysentericos iuuat & cœliacos, itémque fœminas fluxione vuluæ laborantes: sed & ad desessiones ac fotus vsurpatur. Cæterùm acinorum nuclei astringendi vim obtinent, stomachóque sunt vtiles: iidem tosti tritíque ac polentæ vice inspersi, dysentericis prosunt, itémque cœliacis ac stomachi dissolutione vexatis.

De Vua passa.
Cap. IIII.

VVA passa alba adstringentior est. Prodest esitata earum caro arteriæ, tussi, renibus ac vesicæ. Estur & cum nucleis per se contra dysenteriam, itémque admista milij ac hordei farina & ouo, in sartagine cum melle fricta sumitur. Sed & eadem ad eliciendam è capite pituitam tum per se, tum etiam cum pipere commanducata proficit. Testium quoque inflammationes sedat imposita cum lometo fabarum & cumini farina. Epinyctidas verò, carbunculos, fauos, putrescentiaq; articulorum vlcera, atque gangrænas sine nucleis trita & cum ruta illita sanat. Conuenit & podagræ cum panacis succo adhibita: deniq; & mobiles vngues illita celeriùs extrahit.

De OEnanthe.
Cap. V.

OENANTHE vocatur, vitis syluestris fructus cùm floret. Condi verò debet in vas fictile non picatum, lecta priùs, & substrato linteo in vmbra siccata. Laudatissima in Syria, Cilicia & Phœnice. Vis ei astrictoria: quare pota, stomacho ac ciendæ vrinæ vtilis, aluũ sistit ac sanguinis excreationes. Contra fastidia &

πρὸς

acorem stomachi sicca & illita etiã efficax est. At in capitis doloribus tam viridis quàm sicca cum aceto & rosaceo perfunditur. Cruenta vulnera & incipientes ægilopas, oris vlcera & verendorum nomas, trita & additis melle, croco, myrrha & rosaceo adhibita pro cataplasmate, ab inflãmatione vindicat. Pessis quoque ammiscetur, ad cohibendum sanguinem: & contra oculorum fluxiones stomachíque ardores cum polline polentæ ac vino illinitur. Cinis verò crematæ in testa candentibus prunis, facit ad oculorum medicamenta: quin & paronychias, pterygia, abscedẽtes cruoreq; manantes gingiuas cũ melle sanat.

A περὶ ἀσώδη καὶ ὀξύνοντα στόμαχον ποιεῖ. ἔστι δὲ καὶ κεφαλαλγίαις ἔμβρεγμα, σὺν ὄξει καὶ ῥοδίνῳ χλωρά τε καὶ ξηρά. καὶ κατάπλασμά τε ἐναίμων ἀφλέγμαντον, καὶ τῶν ἀρχομένων αἰγιλώπων, καὶ τῶν ἐν στόματι ἑλκῶν, καὶ νομῶν τῶν ἐν αἰδοίοις, σὺν μέλιτι καὶ κρόκῳ καὶ ῥοδίνῳ καὶ B σμύρνῃ λεανθεῖσα. εἴς τε πεσσοὺς μίγνυται πρὸς ἐπίσχεσιν αἵματος. καὶ πρὸς ῥεύματα ὀφθαλμῶν καὶ καυσούμενον στόμαχον καταπλάσσεται σὺν παιπάλῃ ἀλφίτου καὶ οἴνου. καυθεῖσα δὲ ἐπ' ὀστράκου διαπύροις ἄνθραξι, ποιεῖ πρὸς τὰ ὀφθαλμικά. παρωνυχίας τε καὶ πτερύγια καὶ ἕλκη ἀφεστῶτα καὶ αἱμασσόμενα σὺν μέλιτι θεραπεύει. C

De Omphacio. Cap. VI.

OMPHACIVM succus est acerbæ vuæ seu Thasiæ seu Aminææ nondum variantis. Oportet autem ante Canis ortum expressum succum in aheno ex ære rubro, quod linteo sit coopertum, insolare, vsquedum in densitatem coëat, intereáque semper totum id quod ipsi vasi concretum adhæserit liquido reliquo permiscere, atque noctu ipsum à locis subdialibus sub tectum referre: quandoquidem obstant nocturni rores, quominùs spissescat cogatúrve. Eligendum est flauum, friabile, perquàm astringens & linguam mordens. Sunt qui coctione succum condensent. Prodest contra tonsillas, vuam, oris vlcera, gingiuas humore flaccidas, purulẽtásque aures, cum melle aut passo: item ad fistulas, vetera vlcera nomásque, ex aceto. Dysentericis & mulieribus fluxione vuluę laborantibus clystere infunditur. Oculorũ quoque claritati cõfert, eorundémque scabritiæ angulísque arrosis cõuenit. Bibitur & ad recentem sanguinis excreationem, etiam ex ruptis vasis obortam. Sed eo admodũ diluto & pauco vtendum: siquidem potenter exurit.

Περὶ Ὀμφακίου. Κεφ. ϛ'.

ΟΜΦΑΚΙΟΝ, ἔστι μὲν χυλὸς ὄμφακος Θασίας σταφυλῆς μήπω περκαζούσης, ἢ Ἀμιναίας. δεῖ δὲ πρὸ κυνὸς ἐκθλίβοντα τὸν χυλὸν ἡλιάζειν ἐν χαλκώματι ἐρυθρῷ ἐσκεπασμένῳ ὀθονίῳ, μέχρις οὗ συστραφῇ, ὅλον ἀεὶ τὸ περιπηγνύμενον D μίσγοντα τῷ ὑγρῷ· νύκτωρ δὲ αἴρειν αὐτὸ ἀπὸ τοῦ ὑπαιθρίου. κωλύουσι γὰρ αἱ δρόσοι τὴν σύστασιν αὐτῆς. ἐκλέγου δὲ τὸ ξανθὸν, καὶ εὔθρυπτον, στύφον ἱκανῶς καὶ δάκνον τὴν γλῶσσαν. ἔνιοι δὲ ἕψοντες τὸν χυλὸν συστρέφουσιν. Ἁρμόζει δὲ πρὸς παρίσθμια καὶ σταφυλὴν, E ἄφθας, ἕλκη πλαδαρὰ, ὦτα πυορροοῦντα, σὺν μέλιτι ἢ γλυκεῖ· πρὸς δὲ σύριγγας καὶ παλαιὰ ἕλκη καὶ νομὰς, σὺν ὄξει. ἐγκλύζεται δὲ ἐπὶ δυσεντερικῶν καὶ ῥοϊκῶν. ἔστι δὲ καὶ ὀξυδερκές. τραχύτησι δὲ ὀφθαλμῶν ἁρμόζει καὶ περιβρώσεσι κανθῶν. πίνεται καὶ πρὸς αἵματος ἀναγωγὴν τὴν F πρόσφατον καὶ κατὰ ῥῆξιν γινομένην. ὑδαρεῖ δὲ δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ. ἐπικαίει γὰρ ἱκανῶς.

al. ψιθίας Sic Pl. | al. αἰθρίου. | V. αὐτό. | V. στρυφνόν. | al. τραχύτητι ὀφθαλμῶν | V. καίει.

De Vini natura pro ætatis ratione. Cap. VII.

VINA vetusta neruos reliquáque sensuum instrumenta, lædunt, attamẽ gustu suauiora iucundioráq; sunt: quare vitãda iis qui internę alicui⁹ partis imbecillitatẽ sentiũt.

Περὶ ποιότητος τῶν οἴνων ἐκ τῆς ἡλικίας. Κεφ. ζ.

ΟΙΝΟΙ οἱ μὲν παλαιοὶ, νεύρων βλαπτικοὶ καὶ τῶν λοιπῶν αἰσθητηρίων· G πρὸς δὲ γεῦσιν ἡδίονες· ὅθεν ἐπὶ τῶν ἀσθενές τι μέρος ἐχόντων ἔνδον παραιτητέον.

ἐπὶ μὲν τοι τῆς ἐν ὑγιείᾳ χρήσεως ὀλίγος A
τε καὶ ὑδαρὴς λαμβάνεται ἀβλαβῶς. ὁ δὲ
(Malim ἐμπνευματωτικός) νέος, ἐμπνευματικὸς, δύσπεπτος, δυσόνειρος, οὐρητικός. ὁ δὲ μέσος τῇ ἡλικίᾳ, ἐκπέφευγε τὰ ἀμφότερα ἐλαττώματα· ὅθεν ἐκκριτέος ἐστὶν ἔν τε ὑγιείας καὶ ἀσθενείας χρήσεσιν.

Ἐκ τῆς χρόας. Κεφ. η'. B

(Lac. legit. in v. cod. λευκότατος.) Ἐπὶ ὁ μὲν λευκὸς, λεπτός τε καὶ εὐανάδοτος καὶ εὐστόμαχος ὑπάρχει. ὁ δὲ μέλας, παχὺς καὶ δύσπεπτος, μέθης καὶ σαρκῶν γεννητικός. ὁ δὲ κιῤῥὸς μέσος ὢν, μέσην ἔχει καὶ τὴν πρὸς ἑκάτερα τούτων δύναμιν. αἱρετώτερος μὲν τοι ἔν τε ὑγιείᾳ καὶ ἀσθενείᾳ ὁ λευκὸς· ἔτι καὶ πρὸς τὴν ποιότητα διαφέρουσιν. C

Ἐκ τῆς γεύσεως καὶ τῶν μεμιγμένων. Κεφ. θ'.

Ὁ μὲν γὰρ γλυκὺς οἶνος, ἁδρομερής τε ἐστὶ καὶ δυσδιάπνευστος, στομάχου πνευματωτικός, (V. caret.) κοιλίας τε καὶ ἐντέρων ταρακτικὸς, ὥσπερ καὶ τὸ γλεῦκος. ἧττον δὲ D μεθύσκει. κύστει δὲ καὶ νεφροῖς εὔθετος. ὁ δὲ αὐστηρὸς, οὐρητικώτερος· κεφαλαλγίας τε καὶ μέθης ποιητικός. ὁ δὲ στρυφνὸς, εὐθετώτατος πρὸς ἀνάδοσιν σιτίων· κοιλίας τε σταλτικὸς, καὶ τῶν ἄλλων ῥευματισμῶν. ὁ δὲ (Cornarius ἁπλοῦς legendum suspicatur. Lac. vetus exemplar habet, μετρίως. quam is Diosc. genuinã esse lectionẽ autumat.) ἁπαλὸς, ἧττον ἅπτεται τῶν νευρώδων, καὶ ἧττον ἐστὶν οὐρητικός. ὁ δὲ τεθαλασσωμένος, E κακοστόμαχος, διψοποιὸς, νεύρων κακωτικὸς, εὐκοίλιος, ἀνεπιτήδειος τοῖς ἐξ ἀσθενείας. ὁ δὲ ἐκ τῆς ἡλιοπεπονθείσης σταφυλῆς, ἢ ἐπὶ τῶν κλημάτων ὀπτηθείσης (V. caret.) καὶ πεπιεσμένης γινόμενος, γλυκὺς καλούμενος Κρητικὸς ἢ πρότροπος ἢ πράμνιος καὶ ὁ καθεψομένου τοῦ γλεύκους σείριος, F ἢ ἕψημα καλούμενος. ὁ μὲν μέλας, (Ald. μελαψίθιος) καλούμενος δὲ μελαμψίθιος, παχύς ἐστι καὶ πολύτροφος· ὁ δὲ λευκὸς, λεπτότερος. ὁ δὲ μέσος, μέσην ἔχει καὶ τὴν δύναμιν. στυπτικὸς δὲ πᾶς ἐστὶ, σφυγμῶν ἀνακτητικός· ποιῶν πρὸς πάντα τὰ θανάσιμα ὅσα κατὰ ἕλκωσιν ἀναιρεῖ, G πινόμενος σὺν ἐλαίῳ καὶ ἐξεμούμενος· καὶ πρὸς μηκώνειον δὲ καὶ φαρικὸν,

Nihilominus in secunda valetudine vinum eiusmodi paucum & aqua dilutum innoxiè sumitur. At nouũ inflationes parit, ægrè coquitur, grauia facit insomnia, vrinásque ciet. Quod verò ætate medium est, vtroque illo vitio caret, proindéque ad vsum sanorum ægrorúmque deligendum.

Pro ratione coloris. Cap. VIII.

Insuper album est tenue ac stomacho vtile, faciléque in membra diuiditur. Nigrum verò, crassum est & ad concoquendum difficile, temulentiam facit & corpus auget. Fuluum, vtpote quod medium est, medias etiam inter vtrunque vires obtinet. Album tamen tum in secunda, tum & in aduersa valetudine laudabilius. Sed & vina sapore distant.

Pro saporum eorúmque quæ illi miscentur differentia. Cap. IX.

Siquidem dulce crassis partibus constat & ægrè de corpore expirat, stomachum inflat, aluum & intestina, vti & mustum, turbat: sed minùs inebriat, vesicæ ac renibus aptum. Austerum vrinas magis expellit, sed capitis dolorem facit, ac temulentiam gignit. Acerbum ad ciborum per membra digestionem accommodatissimum: aluum cæterásque fluxiones cohibet. At vinum molle & sapore languidum, neruos minùs tentat, minúsque vrinas pellit. Vinum porrò aqua marina factũ stomacho aduersatur, sitim facit, neruos infestat, bonam facit aluum & à valetudine sese recolligentibus haudquaquã idoneum est. Passum autẽ quod vuis in cratibus sole siccatis aut in ipso sarmento torrefactis exprimitur, Creticum cognomine, aut protropum aut pramniũ, itémque sapa quæ fit musto igni decocto, Græci Siræon seu hepsema appellant: nigra quidem si fuerint, qualia melampsithia dicuntur, crassa sunt & corpora multum alũt: at candida, tenuiora: quæ verò medio inter hæc colore sunt, medias quoque vires sortiuntur. Omnia tamen astringunt, languidos pulsus excitant, & faciunt aduersus venena quæcunque exulcerando necant, ex oleo pota & vomitionibus reddita: itemq; cõtra meconiũ, pharicũ,

toxicum, cicutam & lactis in vẽtriculo coagulationem: necnon & cõtra renum ac vesicæ rosiones & exulcerationes: nihilominus inflationes pariunt, & stomacho aduersantur. Priuatim cõfert Melampsithium iis qui alui fluxione laborãt. Album magis cæteris emollit aluũ. Gypso conditum neruos offendit, capitis grauitatẽ infert, viscera calore accendit, & vesicæ aduersatur: sed contra venena cæteris aptius. Picata aut resinata excalfaciunt & cõcoctionẽ adiuuãt, sanguinem excreantibus inimica. Quæ verò aparachyta, hoc est, maris expertia dicuntur, & sapam tamen admistam recipiunt, caput implent, temulentiam gignunt, de corpore difficulter expirãt, & stomachum malè habent.

Pro locorum differentia. C. X.

Inter Italica vina Falernũ principem locum obtinet: quod inueteratum per quam facilè concoquitur, pulsus recreat & exuscitat, aluũ astringit, stomacho vtile: sed vesicę nocet, atq; iis qui visus hebetudinẽ sẽtiũt, liberaliori potationi minimè idoneũ. Albanũ crassioribus quàm Falernum cõstat partibus, *subdulceq; est, stomachum inflat & aluum emollit: sed cõcoctionem nõ æquè adiuuat, neruosum verò gen⁹ minùs infestat. Sed & hoc ipsum vetustate austerum saporẽ concipit. Cæcubũ cùm sit dulce, est & Albano crassius, corpus auget, & colorẽ cutis meliorem lætiorémque facit; at iuuandæ concoctioni minimè idoneum est. Surrẽtinum valde austerũ est: quare intestinorum & stomachi fluxiones cohibet, & cùm tenuibus cõstet partibus, caput minùs tẽtat: vetustate autem & stomacho vtile & iucũdioris euadit saporis. Adrianum & Mamertinum, quæ quidem in Sicilia gignuntur, ex æquo crassarum sunt partium, modicè astringunt & celeriùs inueterãtur, minúsque ob suam lenitatem neruos tẽtant. Prætutianum, quod & ipsum è locis circũ Adriam deuehitur, est odoratũ ac minùs asperum: haustum copiosius eo sese prodit indicio, quòd & ebrietatem diu seruat, & soporẽ cõciliat. Istricum Prætutiano simile est, sed vrinam vehementiùs pellit.

Al. prædulce.

A καὶ τοξικὸν, καὶ κώνειον, καὶ γάλα θρομβωθὲν· καὶ πρὸς κύστιν καὶ νεφροὺς ὀδαξωμένους καὶ εἱλκωμένους. εἰσὶ δὲ "πνευματικοὶ καὶ κακοστόμαχοι. ἰδίως δὲ ἐπὶ τῶν τὴν κοιλίαν ῥευματιζομένων ἁρμόζει ὁ "Μελαμψίθιος. ὁ δὲ λευκὸς μαλακτικὸς κοιλίας τῶν ἄλλων μᾶλλον. ὁ δὲ τὴν γύψον ἔB χων, κακωτικὸς τῶν "νεύρων, καρηβαρικὸς, πυρώδης, κύστει ἄθετος· πρὸς δὲ τὰ θανάσιμα τῶν ἄλλων εὐθετώτερος. οἱ δὲ πίσσαν ἢ ῥητίνην πιτυΐνην ἔχοντες, θερμαντικοὶ, καὶ πεπτικοί· ἄθετοι δὲ τοῖς "αἱμοπτοϊκοῖς. οἱ δὲ καλούμενοι ἀπαράχυτοι, ἔχοντες δὲ ἕψημα μεμιγμένον, κεφαλῆς εἰσὶ πληρωτικοὶ, C μέθης γεννητικοὶ, "δυσδιαπνευστοι, κακοστόμαχοι".

V. πνευματικώτατοι lego, πνευματωτικοὶ

V. μέλας.

V. νευρώδους.

V. ἐμετικοῖς.

V. add. φυσώδεις

Add. in vet. Lac. codice, πληκτικοὶ, πυρετικοὶ καὶ φυσώδεις.

Περὶ διαφορᾶς ἐκ τῶν τόπων.
Κεφ. ι.

Ὁ μὲν οὖν δοκῶν πρωτεύειν τῶν ἐν Ἰταλίᾳ οἴνων, Φάλερνος ὁ καλούμενος, παλαιωθεὶς ἄγαν "εὔπεπτος, σφυγμῶν "ἀναD κλητικὸς, κοιλίας στεγνωτικὸς, καὶ εὐστόμαχος· κύστει ἄθετος, καὶ ἀμβλυωποῦσι, καὶ πρὸς πολυποσίαν ἀνεπιτήδειος. ὁ δὲ Ἀλβανὸς "ἁδρομερέστερος τοῦ Φαλέρνου, ἔγγλυκος, ἐμπνευματῶν στόμαχον, κοιλίαν τε μαλάττων. (πέσσει τε οὐχ ὁμοίως συνεργῶν) τοῦ δὲ νευρώδους ἧττον κακωτικὸς· παE λαιωθεὶς δὲ καὶ οὗτος αὐστηρὸς γίνεται. ὁ δὲ Καίκουβος γλυκὺς ὢν, ἁδρομερέστερός ἐστι τοῦ Ἀλβανοῦ· σαρκῶν τε καὶ εὐχροίας γεννητικὸς· πέψει δὲ ἄθετος. ὁ δὲ Συρεντῖνος, αὐστηρὸς ἱκανῶς ἐστιν· ὅθεν ἐντέρων καὶ στομάχου ῥεύματα ἵστησι, κεφαλῆς τε "ἧττον ἅπτεται, λεπτομερὴς ὢν· παλαιωθεὶς δὲ, "εὐστόμαχος καὶ ἡF δίων γίνεται. ὁ δὲ Ἀδριανὸς καὶ ὁ Μαμερτῖνος γεννώμενοι ἐν Σικελίᾳ, κατ' ἴσον εἰσὶν ἁδρομερεῖς, μετρίως στύφοντες, καὶ τάχιον παλαιοῦνται, ἧττόν τε τοῦ νευρώδους ἅπτονται, διὰ τὸ ἐν αὐτοῖς "λεῖον· ὁ δὲ Πραιτιανὸς, καὶ αὐτὸς ἐκ τῶν κατ' Ἀδρίαν κομιζόμενος τόπων, εὐώδης καὶ "λειότερός ἐστιν. οὐ δὲ G λανθάνει πολὺς πινόμενος, φυλάττει τε ἐφ' ἱκανὸν τὴν μέθην, καὶ καροῖ. ὁ δὲ Ἰστρικὸς λεγόμενος, ἔοικε τῷ *Πραιτιανῷ, οὐρητικώτερος ὑπάρχων.

al. εὔποτος. Marc. ἄπεπτος legendũ suspicatur.

V. quid. ἀναπτικός.

V. ἁδρομερέστερος

V. ἥκιστα Sic Lac.

V. δυσστομαχώτερος

Vulg. ex. λεπτόν.

V. quid. λεπτότερος.

V. παραφυτικῷ

A ὁ μέντοι Χῖος, ἁπαλώτερος τῶν προειρημένων, εὔτροφος, πότιμος, ἧττον μεθύσκων, ῥεύματος σταλτικός, χρήσιμος εἰς τὰ ὀφθαλμικά. ὁ δὲ Λέσβιος, εὐανάδοτος, κουφότερος τοῦ Χίου καὶ εὐκοίλιος. τὴν αὐτὴν δὲ τούτῳ κέκτηται δύναμιν ὁ κατὰ Ἔφεσον γινόμενος, καλούμενος δὲ Φυγελίτης· ὁ δὲ ἐκ τῆς Ἀσίας Μεσογίτης ἐκ τοῦ B Τμώλου, κεφαλαλγὴς καὶ νεύρων βλαπτικός. ὁ δὲ Κῷος, καὶ Κλαζομένιος, διὰ τὸ θαλάττης πολλῆς μετέχειν, εὔφθαρτος καὶ ἐμπνευματώδης, κοιλίας τε ταρακτικὸς νεύρων ἐστὶ βλαπτικός.

Chium antedictis mollius est, probè nutrit, potui aptum est, ac minùs inebriat: fluxiones cohibet, oculorum medicamentis vtile. Lesbium facilè membra subit, Chio leuius, & aluo idoneum. Ephesium eandem vim habet, quod Phygelites nominatur. *Verùm Asianum è Tmolo monte, Messogites appellatum, capitis dolorem affert ac neruos lędit. Coum verò & Clazomenium, quoniam copiosam maris aquam admixtam habent, facilè corrumpuntur, inflationes excitant, aluum turbant, ac neruis officiunt.

Περὶ Δυνάμεως τῶν οἴνων.

Κεφ. ια'. C

Κοινῶς δὲ πᾶς ἀμιγὴς οἶνος καὶ ἀκέραιος, αὐστηρὸς δὲ τὴν φύσιν, θερμαντικός, εὐανάδοτος, εὐστόμαχος, ὀρεκτικός, θρεπτικός, ὑπνοποιός, ῥωστικός, εὐχροίας παρασκευαστικός. ἱκανῶς δὲ ποθείς, βοηθεῖ τοῖς κώνειον, ἢ κόριον, ἢ φαρικόν, ἢ ἰξίαν, ἢ μηκώνειον, ἢ λιθάργυρον, ἢ σμίλακα, ἢ ἀκόνιτον, ἢ μύ- D κητας εἰληφόσι. πρός τε ἑρπετῶν δήγματα καὶ πληγὰς πάντων, ὅσα πλήξαντα ἢ δακόντα κατὰ ψύξιν ἀναιρεῖ ἢ ἀνατρέπει στόμαχον. ποιεῖ καὶ πρὸς ἐμπνευμάτωσιν χρονίαν καὶ δῆξιν ὑποχονδρίου καὶ πλατυσμόν, καὶ "λύγγα στομάχου, ἐντέρων τε καὶ E κοιλίας ῥευματισμόν. καὶ ἐφιδροῦσι, καὶ διαφορουμένοις ἁρμόζουσι, μάλιστα δὲ οἱ λευκοὶ καὶ παλαιοὶ καὶ εὐώδεις. οἱ μέντοι παλαιοὶ καὶ γλυκεῖς, καὶ πρὸς τὰ περὶ κύστιν καὶ νεφροὺς ἐπιτηδειότεροι. πρός τε τραύματα καὶ φλεγμονάς, σὺν ἐρίοις οἰσυπηροῖς ἐπιτιθέμενοι. καταντλοῦνται F δὲ ὠφελίμως πρὸς τὰ θηριώδη καὶ φαγεδαινικὰ καὶ ῥευματιζόμενα ἕλκη. πρὸς δὲ τὴν ἐν ὑγείᾳ χρῆσιν εὔθετοι οἱ ἀθάλασσοι, αὐστηροὶ καὶ λευκοί. διαφέρουσι δὲ τούτων οἱ Ἰταλικοί. ὡς ὁ Φαλέρινος, Συρεντῖνος καὶ Καίκουβος, ὅ, τε Σιγνῖνος καὶ ἄλλοι πολλοὶ οἱ ἀπὸ τῆς Καμπανίας, καὶ ὁ *Πραιτιανὸς ἀπὸ τοῦ *Ἀδρια- G νοῦ, καὶ Σικελιωτικός, ὁ Μαμερτῖνος καλούμενος. Ἑλληνικῶν δὲ Χῖος, Λέσβιος, Φυγελλίτης ὁ ἐν Ἐφέσῳ γινόμενος.

V. quid. σκεπτέ.

Marc. λύσσαν legẽdum suspicatur: quo modo etiam legisse videtur Ruellius.

V. φαλερῖνος

V. σητινὸς

De vini generum facultate.

Cap. XI.

In vniuersum vinum omne meracum & sincerum ac sua natura austerum, excalfacit, facilè in membra distribuitur, stomacho conuenit, apperentiam ciborum inuitat, corpus alit, somnum conciliat, robur auget & colorem commendat. Potum liberaliùs, auxilio est cõtra assumptam cicutam, coriandrũ, pharicum, ixiam, meconium, argẽti spumam, taxum, aconita, fungósve: nec minùs contra serpentium morsus & omnium ictus morsúsve, quæ refrigerando necant aut stomachũ in vomitiones effundunt. Facit & ad diuturnam hypochondrij inflationem, rosionem atque distentionem: itémque singultum, ac stomachi, intestinorũ & ventris rheumatismos. Vina cõueniũt sudatoribus & quibus corpus immodico sudore digeritur, maximè quæ sunt alba vetera & odorata. At quæ sunt vetusta simul & dulcia, renum ac vesicæ vitijs sunt accõmodatiora: necnon vulneribus inflammationibúsque in succida lana commodè imponuntur. Quin & iisdem fera, phagedænica & affluentibus humoribus irrigua vlcera vtiliter fouentur. Porrò vina quibus aquæ marinæ nihil additum est, austera & alba, ad sanorum victus commodè vsurpantur. In his præstant Italica: vti Falernum, Surrentinum, Cæcubum, & permulta alia è Campano agro, itémque Prætutianum, Adrianum & Siculum, quod Mamertinum appellatur. Ex Græcis, Chium, Lesbium & Phygelites, quod in Epheso gignitur.

Crassa verò & nigra, stomacho aliena sunt, flatúsque pariunt: attamen corpus augent. Tenuia autem & austera, stomacho quidem prosunt, sed carnes minùs alunt. At quę sunt valde vetera, tenuia & candida, vehementiùs vrinas ciunt, & dolores capitis inferunt, neruosúmque genus largiùs pota tentant. In media ætate, vt à septimo anno, potui saluberrima sunt. Modus autem pro ætate, anni tempestate, consuetudine & qualitate vini decernatur. Optimè verò præcipitur, vt ne sitis immodica toleretur, & tantum potionis adhibeatur, quantum proluendis cibis sat sit. Siquidem ebrietas omnis, maximéque iugis frequentiórve, perniciosa. Enimuerò largior perpotatio neruos obsessos in dies remittere, morborúmque acutorum initia quotidie introducere consueuit. Attamen moderatè aliquot diebus vino indulgere, maximéque post aquæ potum, vtile. Ita nanque modo quodã quæ sub sensum deinde cadunt recrementa ex alto euocantur, & per cęca corporis spiracula repurgantur. Sed illi perpotationi aquam superbibere par est: siquidem medicationis alicuius gratia factę ex composito temulentiæ remedium affert.

De vino Omphacite. Cap. XII.

VINVM quod Omphacites appellatur, peculiariter fit in Lesbo, vua nondum planè matura, sed adhuc acerba, ad tres quatuórve dies in cratibus siccata Sole, donec racemi in rugas cõtrahantur. Ex iis postquam expressum est vinum, cadis *insolatur. Vim habet astringendi, stomacho amicam, & malacia laborantibus, ileosis, ægrè concoquẽtibus & stomachi dissolutione vexatis vtilem. Creditur & absorptũ pestilẽtibus affectibus auxiliari. Cęterùm huiusmodi vina non nisi post annos complures potui apta sunt.

Vl. sole insolatur.

De vino secundario & adynamo. Cap. XIII.

LORA, quam Græci deuterian, alij potimon appellant, paratur hunc in modum. In vinacea è quibus vini triginta metretæ expressæ fuerint, tres aquę metretas adiicito: ac vbi vinacea ipsa versaueris calcaueríſque, exprimito: expressum decoque ad tertias partes, & in singulos

A Οἱ δὲ παχεῖς καὶ μέλανες κακοστόμαχοι, φυσώδεις, σαρκὸς μέντοι γεννητικοί. οἱ μέντοι λεπτοὶ καὶ αὐστηροὶ, εὐστόμαχοι, ἧττον δὲ σαρκοποιοί. οὐρητικώτεροι δὲ καὶ κεφαλαλγεῖς οἱ σφόδρα παλαιοὶ καὶ λεπτοὶ καὶ λευκοί, ἅπτονται δὲ τοῦ νευρώδους πλεονασθέντες. οἱ μέσοι δὲ τὴν ἡλικίαν, ἄριστοι B πρὸς πόσιν. ὡς οἱ ἀπὸ ζ' ἐτῶν. ἡ δὲ ποσότης, πρὸς τὴν ἡλικίαν καὶ τὴν τοῦ ἔτους ὥραν, καὶ ἔθη καὶ ποιότητα τοῦ οἴνου, ὁριζέσθω. καὶ τὸ μὴ διψῆν δὲ ἄριστόν ἐστι παράγγελμα, καὶ τὸ μετρίως βρέχειν τὴν τροφήν. μέθη δὲ πᾶσα, καὶ μάλιστα ἡ συνεχὴς, ἐπιβλαβής. τά τε γὰρ νεῦρα πολιορκούμενα καθ' ἑκάστην ἐνδίδωσι, καὶ παθῶν C ὀξέων ἀρχὰς ἐμποιεῖ καθημέραν ἡ πολυποσία. μετρίως δὲ οἰνοῦσθαι ἐπί τινων ἡμερῶν, καὶ μάλιστα ἐπὶ ὑδροποσίας, ὠφέλιμον· μετασυγκρίνει γάρ πως, τάς τε αἰσθητὰς ἀνακαθαῖρον ἐκκρίσεις, καὶ ἀδήλως ποροποιοῦν. δεῖ μέντοι γε μετὰ τὴν οἴνωσιν ὕδωρ πίνειν· ἀ- D ποθεραπείας γάρ τινος χάριν τῆς συγκειμένης οἰνώσεως, τρόπον ἐπάγει βοηθείας.

V. add. καὶ χρόνῳ ἀναδόσιμοι. *V. παράπηγμα* *V. ἀφ' ὑδροποσίας ὠφ.* *V. τινα τῆς συγκινήσεως τρόπον ἐπάγει.* *Deest in Ald. χάριν*

Περὶ Ὀμφακίτου οἴνου. Κεφ. ιβ'.

Ὁ δὲ καλούμενος Ὀμφακίτης σκευάζεται ἰδίως ἐν Λέσβῳ, θηλοπεδευομένης μήπω κατὰ πάντα πεπείρου τῆς σταφυλῆς οὔσης, ἔτι δὲ ὀξιζούσης, ἐπὶ ἡμέρας E γ' ἢ δ'. ἕως αἱ ῥυσσωθῶσιν οἱ βότρυες, καὶ μετὰ τὸ ἐκθλιβῆναι ἡλιάζεται ἐν κεραμίοις οἶνος. Στυπτικὴν δὲ ἔχει τὴν δύναμιν καὶ εὐστόμαχον, καὶ κισσώδεσι καὶ εἰλεώδεσι, καὶ τοῖς δυσπέπτοις καὶ ἐκλελυμένοις τὸν στόμαχον ἁρμόζουσαν· δοκεῖ δὲ καὶ λοιμικαῖς διαθέσεσι βοηθεῖν καταρ- F ροφούμενος. χρῄζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πλειόνων· ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι.

Al. πολλῶν

Περὶ Δευτερίας καὶ ἀδυνάμου. Κεφ. ιγ'.

Ὁ δὲ καλούμενος δευτερίας, ὃν ἔνιοι πότιμον καλοῦσι, σκευάζεται τοῦτον τὸν τρόπον· εἰς τὰ στέμφυλα, ὧν ἐξέθλιψας οἴνου μετρητὰς λ'. ἔμβαλε ὕδατος μετρητὰς γ'. καὶ G μίξας καὶ πατήσας ἔκθλιψον, καὶ ἀφέψησον εἰς τὸ τρίτον. χρῶ δὲ ἑκάστῳ τῶν

A ἀποληφθέντων μετρητὴν μίξον ἁλὸς ξέστας β΄. καὶ μετὰ τὸν χειμῶνα διάχει εἰς κεράμια. χρῶ δὲ αὐτῷ* μετ᾽ ἐνιαυτόν· ταχέως γὰρ ἐξίτηλος γίνεται. ἁρμόζει δὲ ἐφ᾽ ὧν διστάζομεν οἶνον διδόναι, ἀναγκαζόμενοι διὰ ἐπιθυμίαν τοῦ νοσοῦντος, καὶ ἐπὶ τῶν *νόσων ἀναλαμβανόντων χρονίως. Γίνεται δὲ καὶ ἀδύναμος λεγόμενος, τὴν αὐτὴν ἔχων τῷ δευτερίῳ δύναμιν. B δεῖ δὲ ἴσον μέτρον ὕδατος τῷ τοῦ γλεύκους μίξαντας, ἑψῆσαι πράως πυρὶ μαλακῷ, ἄχρις ἂν ἐξαναλωθῇ τὸ ὕδωρ· καὶ μετὰ τοῦτο ψύξαντας, καταγγίζειν εἰς ἀγγεῖον πεπισσωμένον. ἔνιοι δὲ θαλάττης πελαγίας καὶ ὕδατος ὀμβρίου καὶ μέλιτος καὶ γλεύκους ἴσα μίξαντες C καὶ καταγγίσαντες, ἡλιάζουσιν ἐπὶ ἡμέρας μ΄. χρῶνται δὲ αὐτῷ πρὸς τὰ αὐτὰ μετ᾽ ἐνιαυτόν.

residui congios salis binos sextarios addito, ac post hyemẽ in cados defundito. Eo post annum vtitor: celeriter enim exolescit. Conuenit porrò ægris, quibus vinum propinare dubitamus, & cogimur tamen ipsorum desiderijs obtemperare: itémque à longa valetudine sese recolligentibus. Fit & vinum quod vocant adynamon, viribus iisdem quibus lora præditum. Pares aquæ & musti mensuræ leniter ac lento igne feruefiunt, dum excoquatur aqua: reliquum vbi refrixerit, in vas picatum transfunditur. Alij aquæ marinæ & pluuiæ, mellis atque musti pares miscent portiones, elutriant, & in sole quadraginta diebus torrent. Huiusmodi potu ad eadem illa omnia post annum vtuntur.

Περὶ Οἴνου ἐκ τῆς ἀγρίας σταφυλῆς. Κεφ. ιδ΄.

Ο δὲ ἐκ τῆς ἀγρίας σταφυλῆς μέλας, στυπτικὸς ὑπάρχων, ἁρμόζει κοιλίᾳ D ῥευματιζομένῃ, καὶ στομάχῳ· καὶ πρὸς τὰ ἄλλα ὅσα στύψεως καὶ συστολῆς χρῄζει.

De Vino è labrusca expresso. Cap. XIIII.

Vinum è labrusca nigrum astringit: proindéque prodest alui stomachíque fluxionibus, & ad cætera valet quæ astrictionem contractionémque desiderant.

Περὶ Μελιτίτου οἴνου. Κεφ. ιε΄.

Οἶνος Μελιτίτης δίδοται μὲν ἐν χρονίοις πυρετοῖς, ἀσθενῆ στόμαχον ἔχουσιν· ὑπομαλάττει γὰρ τὴν κοιλίαν, οὖρα κινεῖ, στόμαχον ἀποκαθαίρει· ἁρμόζει καὶ E ἀρθριτικοῖς, καὶ νεφριτικοῖς, καὶ τοῖς ἀσθενῆ τὴν κεφαλὴν ἔχουσι· χρήσιμος δὲ καὶ γυναιξὶν ὑδροποτούσαις· εὐώδης γάρ ἐστι καὶ θρεπτικός. διαφέρει δὲ τοῦ οἰνομέλιτος, ὅτι ἐκεῖνο μὲν ἐξ αὐστηροῦ οἴνου καὶ παλαιοῦ καὶ ὀλίγου μέλιτος σκευάζεται· ὁ δὲ μελιτίτης πρὸς ε΄. χόας αὐστηροῦ γλεύκους, F μέλιτος χοῦν ἕνα, καὶ ἁλὸς κύαθον ἕνα. σκευάζειν δὲ δεῖ ἐν μεγάλῳ ἀγγείῳ, ἵνα τόπον ἔχῃ πρὸς τὸ ὑπερζεῖν, παρασπάσοντας τοῦ προειρημένου ἁλὸς κατ᾽ ὀλίγον, ἄχρις ἂν ἐκζέσῃ· παυσαμένου δὲ, καταγγίζειν εἰς ἕτερα κεράμια.

De Vino Melitite. Cap. XV.

Vinum Melitites datur in longis febribus, iis qui stomacho sunt imbecilli: leuiter enim aluum emollit, vrinas ciet ac stomachum expurgat. Prodest & articulario morbo obnoxijs, nephriticis & *capitis infirmitate laborantibus: vtile quoque mulieribus *aquam potantibus: siquidem odoratum est, corporáque alit. Distat à mulso, quoniam fit illud è vino austero ac vetere & melle exiguo: melitites autem, adiecto ad quinque congios austeri musti mellis congio, & salis cyatho. Porrò in magno vase fieri ipsum oportet, quò locus amplior ad vehementer efferuescendum pateat, antedicto sale sensim asperso, quandiu efferbuerit: ac vbi feruere desierit, in cados alios transfunditur.

Pl. neruorum

Pl. vini abstemiis.

Περὶ Οἰνομέλιτος. Κεφ. ιϛ΄.

G Οἰνομέλι δὲ διαφέρει, τὸ ἐκ τοῦ παλαιοῦ οἴνου καὶ αὐστηροῦ καὶ μέλιτος καλοῦ γινόμενον· ἧττον γὰρ πνευματοῖ καὶ

De Mulso. Cap. XVI.

Mulsum præfertur, quod ex vetere vino austeróque & bono melle factum est. Tale siquidẽ mi-

nùs inflat, & celeriter in vſum venit. Ac vetus quidem corpus alit: quod medię eſt ętatis, aluo vtile eſt, vrinámque pellit. Sed à ſummo cibo ſumptum, nocet: inter initia verò potum, ſtomachum implet, deindéque tamen appetẽdi auiditatem reuocat. Fit mulſum vt plurimùm, duabus vini metretis admixta vna mellis. Aliqui quò prõptiùs perfici exhiberíque poſſit, mel cum vino coquunt, atque ita transfundunt. Alij impenſæ parcentes ad muſti feruentis ſextarios ſex vnum mellis adiiciunt, ac vbi ferbuerit, elutriant: dulce autem permanet.

De Aqua mulſa. Cap. XVII.

AQVA mulſa eaſdem quas mulſum vires obtinet. Cruda vtimur, cùm ventrem mollire volumus, aut etiam vomitiones inuitare: quemadmodum facimus ijs qui venena hauſerunt, ipſum addito oleo propinantes. Decoctam verò exhibemus exilis languidíque pulſus hominibus ac infirmis, tuſſientibus, peripneumonicis & iis qui immodico ſudore digeruntur. Inueterata condititiáque, quam aliqui Hydromel propriè vocant, dum mediæ eſt ætatis, loræ & adynamo vino in recreandis viribus reſpondet, ſimilémque vim adipiſcitur: quare iis qui membri alicuius inflammatione laborant magis quàm lora ipſa accommodata eſt. Quę verò vetuſtior eſt, in partium inflammationibus, aluóque* aſtricta damnatur: at laborantibus ex ſtomacho, aut cibum faſtidientibus, ſudatoribúsve conuenit. Conficitur porrò duabus aquæ cœleſtis veteris partibus ad vnam mellis adiectis & inſolatis: alij fontanam aquam miſcẽt, & ad tertias partes decoquunt, atque ita recondunt. Nec deſunt qui Hydromelitis appellationem tribuant Apomeliti, quod elotis aqua fauis confici ſeruaríque ſolet. Id verò etiam meracius confici oportet: aliqui & ipſum coquunt. Ægrotantium potui minimè aptum eſt, quoniam ceraginis plurimum ſibi vendicat.

[Margin: vel corporibúsque aſtrictis]

De Aqua. Cap. XVIII.

DE aquis in vniuerſum decernere propter locorum proprieta-

A ταχέως παρίσταται δὲ τοιοῦτον. ἔστι δὲ τὸ μὲν παλαιόν, θρεπτικόν· τὸ δὲ μέσον, εὐκοίλιον, οὐρητικόν· βλάπτει δέ, ἐπὶ τροφῇ ληφθέν· πινόμενον δὲ ἐν ἀρχῇ, πληροῖ· ὄρεξιν δὲ μετὰ ταῦτα κινεῖ. σκευάζεται δὲ πρὸς δύο μετρητὰς ὡς ἐπιτοπολὺ οἴνου, ἑνὸς μετρητοῦ μέλιτος μιγνυμένου· τινὲς δέ, ἵνα τά-
B χιον αὐτὸ παραστήσωσι, συνέψουσι τὸ μέλι τῷ οἴνῳ, καὶ οὕτω καταγγίζουσιν· ἔνιοι δὲ διὰ λιτότητα, γλεύκους ζέοντος ξέσταις ς'. πρὸς ξέστην α'. μέλιτος μιγνύντες, μετὰ τὸ ἀποζέσαι καταγγίζουσι. μένει δὲ γλυκύ.

Περὶ Μελικράτου. Κεφ. ιζ'.

C ΜΕΛΙΚΡΑΤΟΝ δὲ τὴν αὐτὴν τῷ οἰνομέλιτι δύναμιν κέκτηται. χρώμεθα δὲ τῷ *ἀφεψημένῳ, ἐφ' ὧν κοιλίαν μαλάξαι βουλόμεθα, ἢ ἔμετον κινῆσαι, ὡς ἐπὶ τῶν θανάσιμον πεπωκότων, διδόντες αὐτὸ μετ' ἐλαίου· τῷ δὲ ἀφεψημένῳ, ἐπὶ τῶν μικροσφύκτων καὶ ἀσθενῶν καὶ βησσόντων καὶ περιπνευμονικῶν καὶ
D διαφορουμένων. Τὸ δὲ σκευαστὸν καὶ ἀπόθετον, ὃ ἰδίως ἔνιοι ὑδρόμελι καλοῦσι, μέσον μὲν τῇ ἡλικίᾳ ὑπάρχον, ἀναλογεῖ τῷ δευτερίᾳ καὶ ἀδυνάμῳ οἴνῳ, ὅσον ἐπὶ τὸ τὰς δυνάμεις ἀνακτᾶσθαι· ὅθεν ἐπὶ τῶν φλεγμαινόντων τι μέρος, ἐστὶν εὔθετον
E μᾶλλον τοῦ δευτερίου. τὸ δὲ παλαιότερον, ἀδόκιμον ἐπὶ τῶν φλεγμαινόντων καὶ στεγνῶν· ἐπὶ δὲ τῶν στόμαχον πεπονθότων ἢ ἀνορέκτων ἢ διαφορουμένων, ἐπιτήδειον. Σκευάζεται δέ, πρὸς ἓν μέλιτος μέρος, *δύο ὕδατος ὀμβρίου παλαιοῦ μιγνυμένου, καὶ ἡλιαζομένου. τινὲς δέ, πηγαῖον μίξαν-
F τες, ἀφέψουσιν εἰς τὸ τρίτον, καὶ ἀποτίθενται. καλοῦσι δέ τινες καὶ τὸ *ἀπὸ μέλιτος ἐκπλυνομένων τῶν κηρίων ὕδατι σκευαζόμενον ὑδρόμελι, καὶ ἀποτιθέμενον. δεῖ δὲ αὐτὸ καὶ *ἀκρατέστερον ποιεῖν. τινὲς δέ, καὶ τοῦτο ἕψουσιν. ἔστι δὲ ἄθετον ἐπὶ νοσούντων, διὰ τὸ πλεῖστον ἔχειν κηρανθέμου.

[Margin: Lac. legit in v.c. μὴ ἀφεψημένῳ]
[Margin: Samb. legit, ἀσιτούντων.]
[Margin: Lac. legit in v.c. πίνειν.]

G

Περὶ Ὕδατος. Κεφ. ιη'.

ΥΔΩΡ τὴν μὲν ἐν τῷ καθόλου ἐπίκρισιν δυσχερῆ ἔχει, διὰ τὰς τῶν τό-

πων ἰδιότητας καὶ ἰδιοσυγκρισίας, καὶ τοὺς ἀέρας, καὶ ἄλλα οὐκ ὀλίγα. ὡς δὲ ἐπὶ τὸ πολὺ ἄριστόν ἐστι τὸ καθαρὸν καὶ γλυκὺ, ἀμέτοχόν τε οἱασδηποτοῦν ποιότητος, καὶ τοῖς ὑποχονδρίοις μὴ δ᾽ ἐλάχιστον χρόνον ἐπιμένον. ἔτι τε ἀλύπως διοδεῦον, καὶ μὴ πνευματοῦν, μηδὲ διαφθειρόμενον.

Sic v.c. at vulg. ex. καὶ ἐμπνευματοῦν.

Περὶ Θαλαττίου ὕδατος. Κεφ. ιθ'.

ΘΑΛΑΤΤΙΟΝ ὕδωρ θερμὸν, δριμὺ, κακοστόμαχον (κοιλίας γὰρ ταρακτικὸν) ἄγον φλέγμα. θερμὸν δὲ καταντλούμενον, ἐπισπᾶται καὶ διαφορεῖ. ἁρμόζον τοῖς περὶ νεῦρα πάθεσι καὶ χιμέτλοις πρὸ τοῦ ἑλκωθῆναι. ὠμηλύσεσί τε ἐπιτηδείως μίγνυται, καὶ ἐμπλάστροις καὶ μαλάγμασι διαφορητικοῖς εὔθετον. καὶ πρὸς τὰ κενώματα ἐνιέμενον χλιαρόν. καὶ πρὸς στρόφους, θερμόν. ψώρας τε καὶ κνησμοὺς καὶ λειχῆνας καὶ κονίδας, καὶ μαστῶν σπαργώντων κατάντλημα διαφορεῖ καὶ πελιώματα πυριώμενον. καὶ πρὸς τὰ τῶν θηρίων δήγματα ὅσα τρόμους καὶ ψυγμοὺς φέρει, μάλιστα δὲ σκορπίων καὶ φαλαγγίων, καὶ ἀσπίδων, καὶ εἰ προσεμβαίνῃ τις εἰς θερμὸν αὐτὸ, ὠφελεῖ. καὶ ταῖς χρονίαις καχεξίαις τοῦ σώματος καὶ τῶν νεύρων, ὠφέλιμον δὲ δι᾽ αὐτοῦ λουτρόν. ὑπαλμιζόμενον δὲ θερμὸν, ὑδρωπικοὺς, κεφαλαλγίας καὶ δυσηκοΐας παρηγορεῖ. ἀποτεθεῖσα δὲ ἡ ἀκέραιος θάλασσα καὶ ἀμιγὴς ποτίμου ὕδατος, ἄβρωμος γίνεται. οἱ δὲ, προέψουσιν αὐτὴν, καὶ οὕτως ἀποτίθενται. δίδοται δὲ καὶ πρὸς κάθαρσιν καθ᾽ ἑαυτὴν, ἢ μετ᾽ ὀξυκράτου, ἢ οἴνου ἢ μέλιτος· καὶ μετὰ τὸ καθαρθῆναι, ἐπιδιδόασι ζωμὸν ὄρνιθος ἢ ἰχθύων, πρὸς τὸ κατακεράσαι τὴν τῆς δήξεως δριμύτητα.

Marc. addit καὶ χολήν.

Al. ex Mar. ὑπαντλιζόμενον, seu potius ὑπαντλούμενον

V. ὀξυμέλιτος, & sic etiam Lac. v. cod.

Περὶ Θαλασσομέλιτος. Κεφ. κ.

ΘΑΛΑΣΣΟΜΕΛΙ δοκεῖ καθαίρειν ἀνδρικῶς. σκευάζεται δὲ ἐκ μέλιτος καὶ ὕδατος ὀμβρίου καὶ θαλάσσης, ἴσων διυλισθέντων καὶ ἡλιασθέντων ἐν ἀγγείῳ πεπισσωμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. τινὲς δὲ, δύο μέρη θαλάσσης ἀφεψημένης καὶ ἓν μέλιτος καταμίξαντες, κα-

tes ac peculiares naturas, itémque cœlum, aliáque non pauca difficile est. Magna tamen ex parte optima est, pura, dulcis & cuiuscunque tandem qualitatis expers, queq; ne minimo quidem tempore hypochondrijs immoratur: insuperq; quæ citra molestiam & expeditè permeat, nec inflationes parit, ac denique minimè corrumpitur.

De aqua marina. Cap. XIX.

AQVA maris calida est & acris, stomacho aduersatur, aluũ conturbat, & pituitam expellit. Si verò calida ad fotus adhibeatur, attrahit simul atque discutit: proindéq; neruorũ vitiis, & pernionibus ante vlcera prodest. Commodè miscetur cataplasmatis ex hordeacea farina: itémque emplastris & malagmatis discutientibus idonea est. Ad mouendas deiectiones tepefacta clysteribus infunditur: ad tormina verò, calens. Eadem psoræ, pruritus, lichenes, lendes, nimióque lacte turgentes mammæ fouentur. Sed & liuentia fotu discutit. Salutaris quoq; est ad venenatorũ morsus ictúsve, quæ quidẽ tremores perfrictionésque inferũt: maximè verò scorpionum, phalangiorum aspidúmque: ac si quis etiã in ipsius calidę solium descẽderit, auxiliatur. Quin & balneũ ex ea vtile malo habitu confectis iã diu corporibus neruisq;. Eiusdẽ feruentis vapor, hydropicos, capitis dolores, difficilémque auditũ leuat. Porrò sincera & citra potabilis aquæ mixturam asseruata, virus deponit. Alij eam præcoquunt, atq; ita recondunt. Cæterùm datur ad purganda corpora per se, aut è posca, aut vino, aut melle: veruntamen post deiectionem insuper exhibetur gallinæ pisciúmve iusculum, ad temperandam infringendámve inductæ rosionis acrimoniam.

De Thalassomelite. Cap. XX.

QVOD Thalassomeli vocát, egregiè purgare creditur. Temperatur autem æquis portionibus aquæ marinæ & pluuiæ, itémque mellis, percolatis & picato vase per caniculæ ardores insolatis. Sũt qui ad duas aquæ marinæ coctæ partes, mellis vnam adijciant, & vase condant: ac

huiusmodi quidem cõfectura moderatior mitiórque est ipsa aqua marina.

De Aceto. C. XXI.

ACETVM refrigerat & astringit, stomacho est vtile, & appetentiam cibi excitat: erumpentem vndecunque sanguinem potu insessúve sistit: prodest alui fluxionibus, cum cibariis coctum: cruentis vulneribus idoneum est, ac inflammationes arcet, in succidis lanis aut spongiis impositum. Reprimit & procidẽtia sedis vuluæq́; item gingiuas abscedentes & sanguine manantes. Est etiam efficax ad nomas, erysipelata, herpetas, lepras, lichenas & pterygia, si cum aliquo conuenienti misceatur: phagedænas vlcerum nomásque fotu continuo cohibet: podagricis calido fotu, cũ sulphure auxiliatur: sugillata tollit, cum melle inũctum. Contra capitis ardores, cum rosaceo in succidis velleribus aut spongia imponitur. Ad hydropem, auditum difficilem, auriúmque sonitus ac sibilos, feruentis vapor proficit: earundem quoque vermes instillatum necat. Panos coercet tepidi fotus, aut si imbuta eo spongia admoueatur: & pruritus permulcet. Contra venenatorum morsus, quæ refrigerando nocent, calidi fotus prodest: vti frigidi, contra eorum ictus quæ exurens virus eiaculantur. Calidum potũ atq; vomitionibus redditum, aduersus omnia venena efficax est: ac præsertim contra haustum meconium cicutámve, sanguinem in ventriculo conglobatum, lac ibidem coagulatum, fungos, ixiam, taxúmque, cum sale. Haustu voratas hirudines, si sorbeatur, eiicit: tussim veterem mitigat, & recentem lacessit. In orthopnœa, calidum cõmodè sorbetur. Sed & gutturis fluxiones gargarizatum inhibet: anginis & laxatæ columellæ conuenit: necnõ & calidum contra dentium dolorem colluitur.

De Oxymelite C. XXII.

ACETVM mulsum, quod oxymel vocant, hoc modo temperatur:

A ταγγίζουσι. * μετεωρότερον δὲ γίνεται καὶ ἐπιτηδειότερον τὸ τοιοῦτον τῆς θαλάσσης. *al. σμηκτικώτερον.

Περὶ Ὄξους. Κεφ. κα΄.

ΟΞΟΣ ψύχει καὶ στύφει, εὐστόμαχόν τε ἐστὶ καὶ εὐόρεκτον, σταλτικόν τε αἱμορραγίας πάσης, πινόμενόν τε καὶ ἐγκαθιζόμενον· καὶ ἐπὶ ῥευμάτων κοιλίας συνεψόμενον ταῖς τροφαῖς
B ἁρμόζει· ἔναιμόν τε ἐστὶ καὶ ἀφλέγμαντον, σὺν ἐρίοις οἰσυπηροῖς ἢ σπόγγοις ἐπιτιθέμενον. στέλλει καὶ ὑστέραν καὶ ἕδραν προπεπτωκυῖαν· καὶ οὖλα ἀφεστῶτα καὶ αἱμορραγοῦντα. ποιεῖ καὶ πρὸς νομὰς καὶ ἐρυσιπέλατα, ἕρπητας, λέπρας, λειχῆνας, πτερύγια, σύν τινι τῶν ἐπιτη-
C δείων μιγνύμενον. φαγεδαινικά τε ἕλκη, συνεχῶς ἀποκλυζόμενον, καὶ νομὰς ἵστησιν· ὠφελεῖ καὶ ποδαγρικοὺς καταντλούμενον θερμὸν μετὰ θείου. ὑπώπιά τε αἴρει, σὺν μέλιτι καταχριόμενον· πρός τε τὰς ἐγκαύσεις τῆς κεφαλῆς, σὺν ῥοδίνῳ καὶ οἰσυπηροῖς ἐρίοις ἢ σπόγγῳ· ὑδρωπικοῖς
D τε καὶ δυσηκόοις ὑπατμισθὲν θερμὸν ὠφελεῖ, καὶ ἤχους καὶ συριγμούς· ἐνσταχθὲν δέ, κτείνει τοὺς ἐν ὠσὶ σκώληκας. στέλλει καὶ φύγεθλα, χλιαρὸν καταντλούμενον, ἢ διὰ σπόγγων ἐπιτιθέμενον, καὶ κνησμοὺς παρηγορεῖ. πρός τε θηρίων δήγματα ὅσα ψύχει, κατάντλημα θερμόν· ψυχρὸν
E δέ, τοῖς πυροῦσι τῶν ἰοβόλων· ποιεῖ καὶ πρὸς τὰ θανάσιμα πάντα, πινόμενον θερμὸν καὶ ἐξεμούμενον, μάλιστα πρὸς μηκωνείου καὶ κωνείου πόσιν, καὶ αἵματος καὶ γάλακτος θρόμβωσιν ἐν κοιλίᾳ, πρός τε μύκητας καὶ ἰξίαν καὶ σμίλακα, σὺν ἁλσί. βδέλλας τε ποθείσας καταρροφούμενον
F ἀποβάλλει· καὶ βῆχα χρονίαν πραΰνει, τὴν δὲ πρόσφατον ἐρεθίζει. ἁρμόζει δὲ καὶ πρὸς ὀρθόπνοιαν, θερμὸν καταρροφούμενον· στέλλει δὲ ἀναγαργαριζόμενον καὶ τὰ ἐν βρόγχῳ ῥεύματα, συναγχικοῖς τε ἁρμόζει, καὶ πρὸς κιονίδα κεχαλασμένην καὶ πρὸς ὀδόντων πόνον, θερμὸν διακλυ-
G ζόμενον.

Περὶ Ὀξυμέλιτος. Κεφ. κβ΄.

ΟΞΥΜΕΛΙ σκευάζεται οὕτω· λαβὼν ὄξους κοτύλας ε. καὶ ἁλὸς θαλασσίου

μναῖ μίαν, μέλιτος μνᾶς ί. ὕδατος κοτύλας ί. μίξας ἕψησον, ἄχρις οὗ δεκάκις ἀναβράσῃ. καὶ ψύξας κατάγγισον. Δοκεῖ δὲ λαμβανόμενον πάχος ἄγειν, ὠφελεῖν ἰσχιαδικοὺς, καὶ ἀρθριτικοὺς καὶ ἐπιληπτικούς. βοηθεῖ δὲ καὶ τοῖς ὑπὸ * ἐχίδνης τῆς καλουμένης σηπὸς δηχθεῖσι, καὶ τοῖς μηκώνειον ἢ ἰξίαν πιοῦσιν. ἀναγαργάρισμά τε συναγχικῶν ὠφέλιμον.

Corn. interserit καὶ

Περὶ Ὀξάλμης. Κεφ. κγ'.

ΟΞΑΛΜΗ ὠφελεῖ καταντλουμένη πρὸς νομὰς, σηπεδόνας, κυνόδηκτα, καὶ τὰ ἀπὸ τῶν ἰοβόλων δήγματα. στέλλει δὲ καὶ τὰς ἐπὶ τῶν λιθοτομηθέντων αἱμορραγίας, εὐθέως μετὰ τὴν χειρουργίαν θερμὴ ἐγκλυζομένη, " καὶ ἕδρας προπεπτωκυίας. ἐγκλύζεται δὲ ἐπὶ τῶν μετὰ νομῆς δυσεντερικῶν· δεῖ δὲ ἐπεγχυματίζειν γάλακτι. καταρροφουμένη δὲ καὶ ἀναγαργαριζομένη, βδέλλας κτείνει· σμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας.

Lac. addit. ex v. cod. καὶ ἐγκαθιζομένη.

Περὶ Θυμοξάλμης. Κεφ. κδ'.

ΘΥΜΟΞΑΛΜΗ, ἧ ἐχρῶντο οἱ ἀρχαῖοι ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον ἐχόντων, κατὰ τρεῖς ἢ τέσσαρας κυάθους πρὸς ὕδωρ θερμὸν κεραννύντες, καὶ ἐπὶ ἀρθριτικῶν καὶ πνευματουμένων. ἄγει δὲ τὰ παχέα καὶ μέλανα. σκευάζεται δὲ οὕτω. θύμου λείου ὀξύβαφον, ἁλῶν ἴσον, " ἀλφίτων, πηγάνου,] γλήχωνος, ἑκάστου ὀλίγον, βαλὼν εἰς ἄγγος, ἐπίχει ὕδατος κοτύλας ς'. ὄξους ἡμικοτύλιον, περιθεὶς τε ὀθόνιον ἐξαιθρίαζε.

Desunt in Ald. & ad notha trāſferuntur.

Περὶ Σκιλλητικοῦ ὄξους. Κεφ. κε'.

ΤΟ δὲ Σκιλλητικὸν ὄξος σκευάζεται τοῦτον τὸν τρόπον· καθάρας λευκὴν σκίλλαν καὶ κατατεμὼν καὶ διείρας λίνῳ ὥς τε μὴ θιγγάνειν τοὺς " τόμους ἀλλήλων, ξηράνας ἐν σκιᾷ ἐπὶ ἡμέρας μ', λαβὼν μναῖ μίαν ἐξ αὐτῆς, κάθες εἰς ξέστας ὄξους καλοῦ ιβ'. ἄφες τε ἡλίῳ ἡμέρας * ζ'. βρέχεσθαι, πωμάσας τὸ ἀγγεῖον ἐπιμελῶς· μετὰ δὲ ταῦτα ἀνελόμενος τὴν σκίλλαν καὶ ἐκπιέσας, αὐτὴν μὲν ῥῖψον· τὸ δὲ ὄξος ὑλίσας, κατάγγιζε καὶ ἀποτίθεσο· ἔνιοι δὲ μναῖ πρὸς ὄξους ξέστας ε'.

V. add. φλοιοὺς ἢ τόμους.

A Aceti heminas quinque, ſalis marini minam vnam, mellis minas decē & aquæ ſextarios quinque pariter coquito, dum decies efferbuerint: mox vbi refrixerint, diffundito. Cōſtat porrò ſumptum craſſos humores extrahere, atque iſchiadicis, arthriticis & comitialibus opitulari. Eſt & auxilio cōtra morſum viperę B & lacertæ quam ſepa vocant, itémque contra hauſtum meconium, ixiámve. Anginis denique vtiliter gargarizatur.

De Oxalme. C. XXII.

ACETVM ſalſum ſeu acida muria, quam oxalmen vocant, fotu cōtra nomas, putrida vlcera, canum morſus & venenatos ictus, auxilia- C tur. Siſtit & ſanguinis eruptiones quę poſt exciſos calculos eueniunt, ſiquidem poſt operationem ſtatim calida in vulnus infundatur: ac prociduam ſedem reprimit. Dyſentericis etiamnum ſi nomas ſentiant, infunditur: at oportet illico pòſt lac inſuper infundere. Hirudines eadē ſorbitione & gargarizatu necat: fur- D fures denique & manantia capitis vlcera exterget.

De Thymoxalme. Cap. XXIIII.

THYMOXALME Veteres vtebantur, dabántque laborantibus imbecillitate ſtomachi, itémq; arthriticis & inflatione vexatis, ternos quaternósve cyathos aqua cali- E da dilutos: humores craſſos atroſq; trahit. Hoc verò modo factitatur: Thymi triti acetabulum, ſalis idem modus, polentę, rutæ, pulegij, ſingulorum exiguę portiones in vas coniiciuntur, & aquę terni ſextarij, acetíque totidem cyathi affunduntur, atque circumpoſito linteo ſub dio exponuntur.

F De aceto Scillino. Cap. XXV.

SCILLINVM acetum hoc paratur modo: Expurgatam ſcillā quę candida ſit concidito, ſectáſque taleolas lino traiectas modicis interuallis, vt ne ſe cōtingant, ſuſpendito, atque ita ſiccato in vmbra quadraginta diebus. Earū minā in aceti G boni ſextarios duodecim immergito, & vaſe diligenter operculato ſeptenis diebus in ſole macerari ſinito: poſtea ſcillam eximito, & expreſſam abiicito: acetum verò percolatū in vas diffundito atq; reponito. Aliqui ſcillæ minā vnā aceti ſextariis

quinque admiscent. Alij postquam extempore scillam repurgarũt citra exiccationem, parem eius mensuram adiiciunt, & senis mensibus macerari patiuntur. Ac tale quidẽ acetum maiorem incidendi vim asciscit. Porrò Scillinum acetum gingiuas laxas & humore superfluo prægnantes commodè astringit, easdémque firmat: emotos dentes stabilit, putridis oris vlceribus & graueolentiæ egregiè medetur: fauces sorbitione durat callosásque reddit, vocem denique expedit, ac limpidam canoramq; facit. Sed & stomachicis, ægrè cibum cõcoquẽtibus, comitialibus, vertiginosis, melancholicis & mente captis exhibetur. Datur & contra vuluarum strangulationes, lienes prętumidos & ischiada. Imbecillos admodum recreat: corporis salubritatem coloréq; meliorẽ præstat. Oculorũ quoque aciẽ exacuit, atq; tarditatẽ aurium instillatione infusionéve purgat. In summa ad omnia efficax est, præterquam ad internas exulcerationes, capitis dolores neruorúmq; vitia. Cæterùm datur quotidie ieiunis sorbendum, inter initia quidem quãtitate exigua: sed ea deinde paulatim augetur ad cyathum vsque. Nonnulli binos cyathos, aut etiam amplius, exhibent.

De Scillino vino. *Cap. XXVI.*

FIT & è Scilla vinum hoc modo: Dissectam, vti dictum est, scillam sole afficcato, dein contusam eius minã tenui cribro incernito, & linteo raro illigatam in vicenos sextarios musti recentis ac boni demergito: atque vbi trimestri spatio maduerit, elutriatum vinum obstructo diligẽter vase recõdito. Licet quoque humida scilla vti, in orbiculos rapi modo dissecta, sed duplicato pondere. Cæterùm vinum id quadraginta diebus insolari oportet, & valde inueterascere. Sed & insuper alia est antedicti vini parandi ratio. Scilicet Scillæ dissectæ ac repurgatæ minæ tres in musti boni metretam Italicum adiiciuntur, & senos menses vase obstructo macerari sinuntur: post id tempus defæcatum transfusúmque vinum reconditur. Vtile porrò est cõtra cru-

A μίσγουσιν. Οἱ δὲ, αὐτόθεν καθάραντες δίχα τοῦ ξηρᾶναι, τὸν σταθμὸν ἴσον βάλλουσι, καὶ ἐῶσι μῆνας ς'. γίνεται δὲ τὸ τοιοῦτον τμητικώτερον. Εὐθετεῖ δὲ διακλυζόμενον πρὸς οὖλα μυδῶντα, στέλλον καὶ στερροποιοῦν αὐτὰ, καὶ ὀδόντας κινουμένους· καὶ τὰς περὶ τὸ στόμα σηπεδόνας καὶ δυσωδίας ἰ-

B σχυρῶς ἀνασκευάζον· καταρροφούμενον δὲ, τόν τε βρόγχον στερεοῖ καὶ τυλώδη ποιεῖ, καὶ τὸν ἦχον εὔτονον καὶ λαμπρὸν ἀποτελεῖ. παραλαμβάνεται δὲ πρὸς στομαχικοὺς καὶ δυσπεπτοῦντας, ἐπιληπτικοὺς, σκοτοδινιῶντας, μελαγχολικοὺς, ἀπηλιθιωμένους· ἔτι δὲ καὶ πρὸς ὑστε-

C ρικὰς πνίγας, καὶ σπλῆνας ὑπόγκους καὶ ἰσχιάδας· ἀναλαμβάνει δὲ καὶ τοὺς λίαν ἀσθενεῖς· καὶ τὸ σῶμα ὑγιεινὸν καὶ εὔχρουν κατασκευάζει. ἔστι δὲ καὶ ὀξυδερκές· καὶ πρὸς δυσηκοΐαν ἐνσταγὲν δυνατὸν, ἐὰν ἐγχυματίζηται. καὶ καθόλου πρὸς ἅπαντα ἐνεργεῖ, πλὴν ἑλ-

D κώσεων τῶν ἐντὸς, κεφαλαλγιῶν καὶ νευρικῶν. δίδου δὲ καθ' ἡμέραν ῥοφεῖν νήστει τὴν μὲν ἀρχὴν ὀλίγον, κατὰ βραχὺ δὲ προσαύξων ἄχρι κυάθου. τινὲς δὲ κυάθοις β'. διδόασιν ἢ καὶ πλεῖον.

Drag. exempl. νεφριτικῶν.

Περὶ Σκιλλητικοῦ οἴνου.

Κεφ. κς'.

E ΟΔΕ ἀπὸ τῆς Σκίλλης οἶνος γίνεται οὕτως· κατατεμὼν ὡς εἴρηκα τὴν σκίλλαν, ξήρανον ἐν ἡλίῳ, ἔπειτα κόψας αὐτῆς μνᾶν μίαν καὶ διασήσας λεπτῷ κοσκίνῳ, ἔνδησον ὀθονίῳ ἀραιῷ, καὶ κάθες εἰς γλεύκους καλοῦ καὶ προσφάτου ξέστας κ'. τρίμηνόν τε ἔασον βραχῆναι. μετὰ δὲ ταῦτα μετεράσας τὸν οἶ-

F νον εἰς ἕτερον ἀγγεῖον, ἀπόθου περισφηνώσας ἐπιμελῶς. ἔνεστι δὲ καὶ ὑγρᾷ τῇ σκίλλῃ χρῆσθαι, ἐπιτέμνοντα αὐτὴν γογγυλίδος τρόπον, καὶ τὴν ὁλκὴν διπλασιάσαντα· δεῖ δὲ ἡλιάζειν ἐπὶ ἡμέρας μ'. καὶ παλαιοῦν ἄγαν. Ἔτι δὲ καὶ

V. μεταβολλῖ.

G οὕτω σκευάζεται ὁ προειρημένος οἶνος· λαβὼν σκίλλης ἐντετμημένης καὶ κεκαθαρμένης μνᾶς γ'. κάθες εἰς γλεύκους καλοῦ μετρητὴν Ἰταλικὸν, καὶ μῆνας ἓξ ἔασον πωμάσας, εἶτα ὑλίσας καὶ μετεράσας ἀπόθου. Εὐθετεῖ δὲ πρὸς ἀπε-

A ψίας καὶ διαφθορὰς τροφῆς, καὶ τοὺς ἀπεμοῦντας ταύτην· ἐφ' ὧν τε πάχος κοιλίᾳ παράκειται ἢ στομάχῳ· σπληνικοῖς καὶ καχέκταις, καὶ ὑδρωπικοῖς, ἰκτερικοῖς, δυσουροῦσι, στροφουμένοις, πνευματουμένοις, παραλυτικοῖς, ῥίγεσι χρονίοις, σκοτωματικοῖς, σπάσμασι· καταμηνίων τε ἀγωγός· ἥκιστα δὲ νεῦρα λυπεῖ. ἀμείνων δ' ὁ παλαιότερος. B φυλάσσεσθαι δὲ δεῖ αὐτοῦ τὴν χρῆσιν ἐν τοῖς πυρετοῖς, καὶ ἐπὶ τῶν ἐντὸς ἐχόντων ἕλκος.

Περὶ θαλαττίων οἴνων. Κεφ. κζ'.

ΟΙ δὲ διὰ θαλάττης οἶνοι ποικίλως σκευάζονται· οἱ μὲν γὰρ εὐθέως αὐτὰ μετὰ τὸ τρυγηθῆναι τὴν σταφυλὴν μιγνύουσι θάλασσαν. ἔνιοι δὲ προηλιοπεδεύουσι, καὶ C οὕτω πατοῦσι, μιγνῦντες θάλασσαν. οἱ δὲ, σταφιδώσαντες τὴν σταφυλὴν, βρέχουσιν ἐν πίθοις μετὰ θαλάσσης, καὶ οὕτω πατοῦντες ἐκθλίβουσι. γίνεται δὲ ὁ τοιοῦτος γλυκύς. οἱ μέντοι γε πρὸς τὴν γεῦσιν αὐστηρότερον σκευαζόμενοι, ποιοῦσι καὶ πρὸς πυρετῶν παρασκευὴν, εἰ μὴ παρεῖεν ἀμείνους, καὶ πρὸς κοι- D λίας ὑπαγωγὴν, καὶ ἐμπύοις, σκληροκοιλίοις, καὶ ὅσοι ὑπὸ τῶν Ἀμιναίων ἅπτονται κεφαλῆς. κακοστόμαχοι μέντοι καὶ οὗτοι, καὶ πνευμάτων γεννητικοί. Οὐκ ἄχρηστον δὲ ὑπογράψαι νομίζομεν πρὸς τὸ πλήρη τὴν ἱστορίαν τοῖς φιλιστοροῦσι γενέσθαι, καὶ τὴν τῶν ποικιλοτέρων οἴνων σκευασίαν· E οὐχ ὅτι πολλή τις ἐστὶν ἢ ἀναγκαία ἡ χρῆσις αὐτῶν, ἀλλ' ἵνα κατὰ μηδὲν αὐτῶν ἐλλείπειν δοκῶμεν. εἰσὶ δὲ αὐτῶν ἔνιοι, ἧττον περίεργοι καὶ πίπτοντες εἰς τὴν χρῆσιν· ὡς ὁ διὰ τῶν κυδωνίων καὶ ἀπίων καὶ κερατίων, ἔτι δὲ καὶ ὁ διὰ μύρτων σκευαζόμενος.

Addit Lac. ex v. cod. καὶ πατηθῆναι.

Περὶ Κυδωνίτου οἴνου, Κεφ. κη'.

F Ὁ μὲν οὖν Κυδωνίτης, ὃν ἔνιοι μηλίτην καλοῦσι, σκευάζεται οὕτω· μῆλα κυδώνια ἐξελὼν τὸ σπέρμα, καὶ τεμὼν ὡς γογγυλίδα, εἰς μετρητὴν γλεύκους χάλασον μνᾶς ιβ'. πρὸς ἡμέρας λ'. εἶτα διυλίσας ἀπόθου. σκευάζεται δὲ καὶ οὕτω. δεῖ μετὰ τὸ G κόψαι καὶ ἐκθλίψαι τὰ κυδώνια, τοῦ χυλοῦ τούτων μίξαι τοῖς ιβ'. ξέσταις, ἕνα

Vetus sic: ἄλλως, δεῖ ἐκθλίψαντας τὰ κυδώνια. Al. omittit δεῖ.

A ditates & ciborum corruptiones: itē iis qui cibum reuomunt, necnon & iis quorum ventrem stomachúmve crassi humores obsederint. Prodest & lienosis, habitu malo præditis, hydropicis, regio morbo & vrinæ difficultate laborantibus, torminosis, inflatione vexatis, paralyticis, diuturnis rigoribus, vertiginosis atque B cõuulsis. Mẽses deniq; pellit, minimeq; neruos infestat. Fit porrò vinũ eiusmodi vetustate meli⁹. Sed cauẽdus ipsi⁹ vsus tũ in febribus, tũ & in exulcerationibus interaneorum.

De vinis aqua marina factis.

Cap. XXVII.

MARINA vina variè factitãtur. Aliqui enim protinus vt decerptæ calcatæq; sunt vuæ, aquã maris C admiscent: nõnulli priùs in cratibus vuas sole siccant, iisq; deinde calcatis marinã adiiciũt. Alij passas priùs vuas in doliis aqua marina macerãt, móxq; calcatas exprimunt. Et eiusmodi quidẽ vinũ dulce euadit. Quę tamẽ austeriore gustu tẽperãtur, etiã in febribus subsidio sunt, siquidẽ D meliora defuerint. Valent & ad aluum subducendam, prosúntque purulenta excreantibus, iisque qui aluo sunt dura, quique facilè ex vinorum Aminæorum vsu capite tentãtur: attamen & huiusmodi vina stomacho aduersantur, flatúsque pariunt. Porrò quo pleniorẽ habeant E historiam ij qui huius studio tenentur, haud inutile duximus multiplices variè conficiendorum vinorum formulas infrà describere: nõ quòd frequẽs aut necessarius eorum existat vsus, sed nequid omisisse videamur, quod ad vinorum tractatum pertineat. Sunt autẽ ex factitiis illis nonnulla minoris operæ & laboris, F quæ tamẽ in vsum veniunt: vti quæ ex cotoneis malis, pyris, siliquis, itémque myrti baccis concinnãtur.

De vino Cydonite. Cap. XXVIII.

Itaque Cydonites, quod alio nomine melites appellatur, ita fieri consueuit: Mala cotonea exemptis seminibus frustatim raporum mo- G do concidũtur, eaq; duodecim minarũ põdere in musti metretam demittũtur, & inibi ad triginta dies esse sinũtur: tãdem excolatum vinũ reponitur. Paratur & hoc modo: Ad succi cotoneorũ tusorũ pressorúmq; sextarios duodenos, mellis sextarios singulos adiicere

adijcere oportet, atq; ita recõdere. Vinum id aſtringit, & ſtomacho vtile eſt: itémque prodeſt dyſentericis, hepaticis, nephriticis & ægrè meientibus.

De Melomelite. Cap. XXIX.

Melomeli, quod & Cydonomeli nominant, fit in hunc modum: Cotonea mala ſeminibus exemptis in tantam mellis copiã cõiiciuntur, vt eo ſubmerſa cõtegantur obruátúrve. Id poſt annum iucundũ ac ſuaue redditur, mulſo nõ diſſimile. Præſtat autem eadẽ quę ſuperior confectio.

De Hydromelo. Cap. XXX.

Fit Hydromelon, mẽſura vna melomelitis è cotoneis facti ad duas aquæ coctæ & per Caniculæ æſtum inſolatæ addita: ac vis huius eadem quoque eſt.

De Omphacomelite. Cap. XXXI.

Omphacomelitis faciendi ratio hæc eſt: Vuas acerbas nondum variãtes tribus diebus inſolato, deindéque exprimito: & ad ternas ſucci partes, mellis optimi deſpumati ſingulas partes adijcito: mox cõfectionẽ in fictilia diffuſam inſolato. Vim reprimendi ac refrigerandi habet: proindéq; ſtomachicis & cœliacis conuenit. Vſus autẽ poſt annum eſt.

De vino Apite. Cap. XXXII.

Fit & è pyris, perinde atque è cotoneis, vinum Apites nomine, ita tamen vt pyra non magnopere matura ſint. Quin & è ſiliquis etiam, meſpilis & ſorbis ſimili modo vina temperantur. Omnia porrò hęc genera aſtringunt, & acerba ſtomachóque vtilia ſunt, atque internas fluxiones cohibent.

De OEnanthino. Cap. XXXIII.

OEnanthinum vinum hoc modo concinnatur: Sumito florum ſiccorũ è vite ſylueſtri pubeſcente minas duas, & in muſti metretam mittito, inibíq; dies triginta macerari ſinito: mox vinum excolatum recondito. Facit ad ſtomachum imbecillum eiuſdémq; faſtidium, cœliacos atque dyſentericos.

De vino Rhoite. Cap. XXXIIII.

Vinum è Punicis, quod rhoiten vocant, fit in hunc modum: Punica

A ξέστην μέλιτος, καὶ οὕτω χρὴ ἀποτίθεσθαι. Ἔστι δὲ στυπτικός, εὐστόμαχος, δυσεντερίαις ἁρμόζων, ἡπατικοῖς, νεφριτικοῖς τε καὶ δυσουροῦσι.

Περὶ Μηλομέλιτος. Κεφ. κθ'.

Καὶ Μηλόμελι δέ, ὃ καὶ κυδωνόμελι ὀνομάζεται, σκευάζεται οὕτω· μήλων κυ-
B δωνίων ἐξαιρεθέντων τὰ σπέρματα καὶ βληθέντων εἰς μέλι ὅτι πλεῖστον, ὥστε ἐνεσφίγχθαι, γίνεται προσηνὲς μετ' ἐνιαυτόν, οἰνομέλιτι ἐοικός· ἁρμόζον πρὸς ἃ καὶ ἡ πρὸ αὐτοῦ σκευασία.

Περὶ Ὑδρομήλου. Κεφ. λ'.

Ὑδρόμηλον δὲ σκευάζεται, μιγνυμένου
C τοῦ ἐκ τῶν κυδωνίων μηλομέλιτος μετρητοῦ ἑνὸς πρὸς β'. μετρητὰς ἀφεψημένου ὕδατος καὶ ἡλιαζομένου ἐν τοῖς ὑπὸ κύνα. Δύναμις δὲ καὶ τούτου ἡ αὐτή.

Περὶ Ὀμφακομέλιτος. Κεφ. λα'.

Ὀμφακόμελι δὲ σκευάζεται τοῦτον τὸν τρόπον· λαβὼν ὄμφακας μήπω περκάζου-
D σας, ἡλίαζε ἐπὶ ἡμέρας γ'. καὶ μετὰ ταῦτα ἐκθλίψας, βάλε πρὸς γ' μέρη τοῦ χυλοῦ, μέλιτος καλλίστου ἀπηφρισμένου μετρητοῦ μέρος ἕν· καὶ ἡλίαζε καταγγίσας εἰς κεράμους. Δύναμιν δὲ ἔχει σταλτικήν, ψυκτικήν· ὅθεν ἁρμόζει στομαχικοῖς, κοιλιακοῖς. ἡ χρῆσις δὲ αὐτοῦ μετ' ἐνιαυτόν.

E
Περὶ Ἀπίτου οἴνου. Κεφ. λβ'.

Ἀπίτης σκευάζεται ὁμοίως, ὥσπερ καὶ ὁ κυδωνίτης. μὴ λίαν δὲ ἔστωσαν ⓖ ἄπιοι πέπειροι. καὶ ὁ τῶν κερατίων δέ, καὶ ὁ τῶν μεσπίλων καὶ οὔων, ὁμοίως σκευάζεται. πάντες δέ εἰσι στυπτικοί, στρυφνοί, εὐστόμαχοι, ῥεύματα ἔνδον ἐπέ-
F χοντες.

Al. in vet. cod. legitur, ὥσπερ ἡ πρότη τε κυδωνίτου καὶ γλεύκους σκευασία.

Περὶ Οἰνανθίνου. Κεφ. λγ'.

Ὁ δὲ Οἰνάνθινος σκευάζεται οὕτω· λαβὼν τῆς ἀγρίας ἀμπέλου τὸ ἄνθος βρυούσης ξηρὸν μνᾶς β'. εἰς μετρητὴν γλεύκους, πρὸς ἡμέρας λ'. εἶτα διυλίσας ἀπόθου. Ποιεῖ δὲ πρὸς ἀτονίαν στομάχου, ἀνορεξίαν, κοιλια-
G κοῖς, καὶ δυσεντερικοῖς.

Περὶ Ῥοΐτου οἴνου. Κεφ. λδ'.

Ὁ Ῥοΐτης δὲ οἶνος σκευάζεται οὕτως. ῥόας ἀπυρήνους λαβὼν ὡρίμους καὶ ἀπο-

A θλίψας τὸν χυλὸν τῶν κόκκων ἀπόθου, ἢ ἀφεψήσας εἰς τρίτον οὕτως ἀποτίθεσο. Ποιεῖ δὲ πρὸς τὰ ἐντὸς ῥεύματα καὶ πυρετοὺς ῥοώδεις. ἔστι δὲ εὐστόμαχος καὶ στεγνωτικὸς κοιλίας, καὶ οὐρητικός.

Περὶ Ροδίτου οἴνου. Κεφ. λέ.

B Ροδίτης δὲ οὕτω σκευάζεται· ῥόδων ξηρῶν κεκομμένων μνᾶν μίαν ἐνδήσας εἰς ὀθόνιον, καθὲς εἰς γλεύκους ξέστας η' μετὰ δὲ τρεῖς μῆνας, διυλίσας μετάγγιζε καὶ ἀποτίθεσο. Χρήσιμος δὲ ἀπυρέτοις πρὸς στομάχου πέψεις καὶ πόνους ἐπιπινόμενος, πρός τε καθύγρους κοιλίας καὶ δυσεντερίας". σκευάζεται δὲ καὶ διὰ χυλοῦ ῥόδων, καὶ μέλιτος C μιγνυμένου, ὃ καλεῖται Ροδόμελι. ἁρμόζει πρὸς τὰς ἐν ἀρτηρίᾳ τραχύτητας.

Ald. δυσεντερίου

Περὶ Μυρτίτου οἴνου. Κεφ. λς'.

Μυρτίτης δὲ σκευάζεται οὕτω· δεῖ μύρτα μέλανα παρακμάζοντα λαβόντα, κόπτειν καὶ ἐκθλίβειν τὸν χυλὸν δι' ὀργάνου καὶ καταγγίζειν. ἔνιοι δὲ καὶ D ἀφεψοῦσιν εἰς τρίτον. οἱ δὲ, καὶ προηλοπεδεύουσιν ἐν ἡλίῳ, καὶ ξηράναντες μίσγουσι τῇ χοίνικι κοπείσῃ τρεῖς κοτύλας ὕδατος, καὶ οἴνου "παλαιοῦ τὸ αὐτὸ, οὕτω τε ἐκθλίβουσι καὶ ἀποτίθενται. Ικανῶς δὲ ἐστὶ στυπτικὸς καὶ εὐστόμαχος, ῥευματιζομένῳ τε στομάχῳ καὶ κοιλίᾳ χρήσιμος, E πρός τε τὰς ἐντὸς ἑλκώσεις καὶ ῥοῦν· μελαίνει δὲ καὶ τρίχας ἐν κεφαλῇ.

Orib. interpres, austeri.

Περὶ Μυρσινίτου οἴνου. Κεφ. λζ'.

Μυρσινίτης δὲ σκευάζεται οὕτω· δεῖ λαβόντα τῶν μελαίνων μυρσινῶν τοὺς ἀκρέμονας καὶ τὰ φύλλα σὺν τοῖς μύρτοις κόπτειν, καὶ βάλλειν εἰς τοὺς τρεῖς τοῦ γλεύ- F κους χόας, τῆς μυρσίνης κεκομμένης μνᾶς ι. καὶ ἕψειν ἄχρις ἂν δύο ὑπολειφθῶσιν ἢ τὸ ἥμισυ, καὶ διυλίσαντας ἀποτίθεσθαι. Ποιεῖ δὲ οὗτος πρός τε ἀχῶρας καὶ πίτυρα, ἐξανθήματα, οὖλα, παρίσθμια, ὦτα πυορροοῦντα· στέλλει καὶ G ἱδρῶτας.

Περὶ Σχινίνου οἴνου. Κεφ. λή.

Καὶ ὁ Σχίνινος δὲ ἐοικότως τῷ μυρσινίτῃ σκευάζεται.

A matura lignoſíque nuclei expertia ſumito, aciníſq; expreſſum ſuccum, aut ita vt eſt, aut ad tertias decoctũ reponito. Efficax eſt contra fluxiones internas & febres alui profluuio comitatas. Eſt & ſtomacho vtile, aluúmq; aſtringit & vrinã mouet.

De vino Rhodite. Cap. XXXV.

B Rhodites ſeu roſaceũ ſic fit: Roſarum ſiccarum tuſarúmq; minam illigatã linteolo in muſti ſextarios octo conijcito: & poſt tres menſes colo traiectum transfundito atque reponito. Vtile eſt ijs qui febri carent ad ſtomachi coctiones iuuandas, eiuſdémque dolores leniẽdos, à cibo potum: nec non & cõtra C humidas aluos ac dyſenterias. Fit quoque è ſucco roſarum ammixto melle quod Rhodomeli vocant, arteriæ ſcabritijs vtile.

De vino Myrtite. Cap. XXXVI.

Myrteum cõficitur ad hunc modum: Myrti baccas nigras præ maturitate iam flacceſcentes tundito, torculóque expreſſum ſuccum D diffundito. Aliqui etiam ad tertias decoquunt. Alij baccas priùs in cratibus ad ſolem ſiccant, & earũ contuſarum ſingulis chœnicibus ternas aquæ heminas & vini veteris parem modum adijciunt: poſteà exprimunt atque recondunt. Potenter aſtringit: ſtomacho vtile: alui E ſtomachíq; rheumatiſmis prodeſt, itémque contra inteſtinas vlcerationes, fluorémq; muliebrem: denique capitis etiam denigrat capillos.

De vino Myrſinite. C. XXXVII.

Myrſinites ita temperatur: nigræ myrti teneri ramuli cum ſuis baccis ac folijs tuſi decem F minarum pondo in tres muſti congios merguntur, coquuntúrque donec duo ſuperſint, aut certè dimidium: tandémque colatum id vinum ad vſus reconditur. Contra manantia capitis vlcera, furfures, papularum eruptiones, gingiuarum ac tonſillarum inflammationes & aures G purulentas efficax eſt, ac ſudores quoque cohibet.

De Lẽtiſcino vino. C. XXXVIII.

Lentiſcinum ſimiliter atq; myrſinites temperatur.

De vino Terebinthino. C.XXXIX.

Nec ſecus Terebinthinum. Nam & harũ arborũ ramuli ſumi debẽt, in quibus fructus inſit. Sed & aſſimilis ſunt iſta vina facultatis: ſiquidẽ aſtringunt, ſtomacho vtilia ſunt, & fluxionibus ſtomachi, inteſtinorũ ac veſicæ, itemq́; ſanguinis profluuio accõmodãtur: vlcera omnia fluxioni obnoxia fotu ad cicatricẽ perducunt: vuluæ denique ac ſedis rheumatiſmos inſeſſione cohibent.

De vino Palmeo. Cap. XL.

Palmeum vinũ vt conficias, palmulas, quas chydæas quaſi vulgares vocant, eáſq; maturas in doliolum imo pertuſum & arundine picata obſtructũ demittito, ita vt foramen lino obturatũ ſit. Tùm denis chœnicibus ternos aquæ congios affundito: quòd ſi non admodũ dulce id eſſe libeat, quinos congios infundito, & ad dies decẽ macerari illas ſinito. Exacto eo ſpatio, hoc eſt, die vndecima detracto ab arundine linteo, vinũ craſſum ac dulce excipito, atq; reponito. Suaue illud quidẽ, ſed capiti noxium: cõtra fluxiones, propter aſtrictoriã vim, efficax: eandẽ ob cauſam ſtomachicis, cœliacis & ſanguinẽ excreãtibus conuenit. Sunt qui addita rurſum pari aquæ menſura, manantem deinde liquorem excipiunt: id quod tertiò, quartò & quintò faciunt, non item amplius: quando quod reliquum ab his eſt, aceſcit.

De vino Catorchite. Cap. XLI.

Catorchites, quod aliquibus ſycites quaſi ficatũ appellatur, in Cypro ſimiliter palmeo concinnatur: ſed hoc intereſt, quòd in hoc præparando nonnulli pro aqua recens preſſorũ vinaceorũ diluti tantundẽ adijciunt. Sumuntur in hũc vſum caricæ nigræ, quæ chelidoniæ puniceæve ſeu purpureæ appellantur: atque macerantur, vti anteà dictũ eſt. Poſt dies decem liquor excipitur, atque iterùm ac tertiò diluti vinaceorum par modus affunditur. Simili modo ſpatijs intercedentibus excipitur & quarta & quinta infuſio: qua ſimiliter aceſcẽte, vice aceti vtũtur. Porrò vinũ eiuſmodi tenuium eſt partiũ: flatus gignit, ſtomacho aduerſatur, & faſtidium creat: bonam tamen facit aluum, & vrinam ciet: menſes quoque trahit, & lactis vbertatem præſtat.

A Περὶ Τερμινθίνου οἴνου. Κεφ. λθʹ.

Καὶ ὁ Τερμίνθινος ὁμοίως. ἔγκαρποι γὰρ καὶ τούτων οἱ ἀκρέμονες λαμβάνονται. καὶ παραπλησίας εἰσὶ δυνάμεως, στυπτικοὶ καὶ εὐστόμαχοι, ῥεύμασί τε ἁρμόζοντες στομάχου, ἐντέρων, κύστεως, αἱμορραγίαις· κατουλοῦσι δὲ καὶ τὰ ῥευματικὰ πάντα ἕλκη, ἐπαντλούμενοι· B τούς τε περὶ ὑστέραν καὶ ἕδραν ῥευματισμοὺς στέλλουσιν, ἐγκαθιζόμενοι.

Περὶ Φοινικίτου οἴνου. Κεφ. μʹ.

Φοινικίτης· λαβὼν φοίνικας τὰς χυδαίους πεπείρους, βάλε εἰς πιθάκνην τετρημένην ἐν τῷ πυθμένι, καὶ ἐσφηνωμένην καλάμῳ πεπισσωμένῳ. τὸ δὲ τρῆμα λίνῳ βεβύσθω. C ἐπίχεε δὲ τοῖς δέκα χοίνιξιν, ὕδατος χόας γʹ. εἰ δὲ μὴ λίαν αὐτὸ γλυκὺ θέλεις εἶναι, πέντε χόας ἐπίχει. ἔα δὲ ἐπὶ ἡμέρας ιʹ. τῇ δὲ ιαʹ. ἀφαιρῶν τὸ ἀπὸ τοῦ καλάμου ὀθόνιον, ἀποδέχου οἶνον παχὺν καὶ γλυκύν, καὶ ἀποτίθεσο. Ἔστι δὲ ἡδὺς μέν, κεφαλαλγὴς δέ· ποιῶν πρὸς ῥεύματα, διὰ τὸ στύφειν· ὅ- D θεν στομαχικοῖς, καὶ κοιλιακοῖς, καὶ αἱμοπτοϊκοῖς ἁρμόζει. ἔνιοι δὲ τὸ αὐτὸ πάλιν τοῦ ὕδατος μίσγοντες δέχονται, καὶ τοῦτο τρίτον ποιοῦσι, καὶ τέταρτον, καὶ πέμπτον, ὅτε λοιπὸν ὀξίζει.

Sunt qui addant, καὶ ἕκτον, quas etiã voces expreſſit Ruellius.

Περὶ Κατορχίτου οἴνου. Κεφ. μαʹ.

Καὶ ὁ Κατορχίτης δέ, ὃν ἔνιοι συκίτην E καλοῦσιν, ἐν Κύπρῳ σκευάζεται ὁμοίως τῷ φοινικίτῃ· διαφέρει δέ, ὅτι ἐπὶ τούτου ἔνιοι ἀντὶ ὕδατος, στεμφύλων ἀπόβρεγμα νεοθλίπτων τὸ ἴσον μέτρον βάλλουσιν. ἰσχάδες δὲ λαμβάνονται αἱ χελιδόνιοι καλούμεναι, ἢ φοινικαῖ. μέλαιναι δὲ εἰσί, καὶ ἀποβρέχονται ὡς προείρηται. μετὰ δὲ ἡμέρας δέκα ἐκλαμ- F βάνεται τὸ ὑγρόν, καὶ ἐκ δευτέρου καὶ τρίτου ἐπιχεῖται τοῦ ἐκ τῶν στεμφύλων ἀποβρέγματος τὸ αὐτὸ μέτρον· ὁμοίως δὲ ἐκ διαστημάτων ἐκλαμβάνεται τὸ δʹ. καὶ εʹ. ἀπόβρεγμα ὁμοίως ὀξίζον, ᾧ ἀντὶ ὄξους χρῶνται. Λεπτομερὴς δέ ἐστι καὶ φυσώδης καὶ κακοστόμαχος, ἀποστρέφων ὄρεξιν, G εὐκοίλιος μέντοι καὶ οὐρητικός. κατασπᾷ δὲ καὶ ἔμμηνα, καὶ γάλα δαψιλὲς ποιεῖ.

αἷμα δὲ φαῦλον κατασκευάζει, καὶ ἐλεφαντιάσεως ἐστὶ ποιητικόν, ὡς καὶ τὸ ζῦθος. ἔνιοι δὲ καὶ ἁλῶν τοῖς ἓξ κεραμίοις ξέστας ἐμβάλλουσι δέκα. οἱ δὲ, ἅλμης κεράμιον, δυσμετάβλητον καὶ εὐκοίλιον ἔσεσθαι διανοούμενοι. οἱ δὲ, καὶ θύμον καὶ μάραθον προστιθέασι τῷ πυθμένι, εἶτα τὰς ἰσχάδας, καὶ ἐναλλὰξ τοῦτο ποιοῦσιν, ἄχρις ἂν πληρώσωσι τὸ ἀγγεῖον.

Περὶ Συκομορίτου οἴνου. Κεφ. μβ'.

Σκευάζεται δὲ καὶ ὁ ἐκ τῶν Συκομόρων ὡσαύτως. ὄξος δὲ γίνεται δριμὺ, διὰ τὸ μὴ ἐξισχύειν τὴν δύναμιν αὐτῶν φυλάσσειν τὴν γλυκύτητα τοῦ ῥυέντος.

Περὶ Ῥητινίτου οἴνου. Κεφ. μγ'.

Ὁ δὲ Ῥητινίτης καὶ κατὰ τὰ ἔθνη σκευάζεται· πλεονάζει δὲ ἐν Γαλατίᾳ, διὰ τὸ ἀποξύνεσθαι τὸν οἶνον ἀπεπάντου μενούσης τῆς σταφυλῆς, διὰ τὸ ψύχειν, εἰ μὴ παραπλακῇ πευκίνῃ. κόπτεται δὲ σὺν τῷ φλοιῷ ἡ ῥητίνη, καὶ τῷ κεραμίῳ μίγνυται ἡμικοτύλιον. καὶ οἱ μὲν, ἀπηθοῦσι μετὰ τὸ ἀποζέσαι χωρίζοντες τὴν ῥητίνην. οἱ δὲ, ἐῶσι. παλαιωθέντες δὲ γίνονται ἡδεῖς. Πάντες δὲ κεφαλαλγεῖς οἱ τοιοῦτοι καὶ σκοτωματικοὶ, πεπτικοὶ μέντοι καὶ οὐρητικοὶ, καὶ καταρροιζομένοις καὶ βήσσουσιν ἁρμόζοντες· κοιλιακοῖς, δυσεντερικοῖς, ὑδρωπικοῖς, καὶ ῥοϊκαῖς γυναιξί· τοῖς δὲ ἐν βάθει ἑλκωμένοις, ἔγκλυσμα. στυπτικώτερος μέντοι τοῦ λευκοῦ ἐστιν ὁ μελανίζων.

Περὶ Στροβιλίτου οἴνου. Κεφ. μδ'.

Στροβιλίτης δὲ σκευάζεται, ἐναποβρεχομένων τῷ γλεύκει στροβίλων προσφάτων καὶ τεθλασμένων. ποιεῖ δὲ τὰ αὐτὰ τῷ ῥητινίτῃ. ἐὰν δὲ γλεύκει ἐναποβρέξας τις τοὺς στροβίλους ἑψήσῃ, ἁρμόζει καὶ φθινώδεσιν ἱκανῶς πινόμενος.

Περὶ Κεδρίνου. Κεφ. με'.

Ὁ δὲ Κέδρινος ἢ Ἀρκεύθινος, ἢ Κυπαρίσσινος, ἢ δάφνινος, ἢ πιτύϊνος, ἢ ἐλάτινος, σκευάζεται ὁμοίως. χρὴ γὰρ τὰ ξύλα νεότμητα σχίζοντας, ὅτε τὸν καρπὸν ἐκδίδωσι, τιθέναι πρὸς ἥλιον ἢ ἐν βαλανείῳ, ἢ ἐν πυρὶ ὥστε συνιδρῶσαι, καὶ μίσγειν τῷ χοῒ

Lacuna addit ex v. cod. ἢ δρύϊνος.

A at vitiosum sanguinẽ creat, & elephantiasin infert, vti & zythũ. Aliqui senis amphoris denos salis sextarios adijciũt: alij muriæ amphorã. Sic enim ægrius vitiari, & aluo idoneum reddi existimant. Alij etiam thymum & fœniculũ in fundo substernunt, deindéq; caricas componunt, atque ita vicissim, donec vas
B expleuerint.

De vino è Sycomoris factitio. Cap. XLII.

Fit & è Sycomoris vinum eodẽ modo, sed in acetũ acre degenerat: quoniã non ita pręualet vis eorum, vt manãtis liquoris dulcedo retineri possit.

C *De vino Resinato. Cap. XLIII.*

Resinatum vinum passim apud varias gentes factitari solet, sed plurimũ in Galatia: quoniã illic pręfrigore nõ maturescẽte vua vinũ facilè coacescit, nisi picea resina condiatur tẽperetúrve. Tunditur autẽ cum cortice resina, & amphoræ di-
D midia hemina permiscetur. Aliqui vbi efferbuit, excolant separántque resinã: alij eãdẽ relinquũt. Hęc porrò vina vetustate suauia redduntur. Sed omnia capitis dolorẽ & vertiginẽ faciunt: concoctionẽ tamẽ adiuuant, & vrinam cient: destillatione vexatis ac tussientibus prosunt: itẽ cœliacis, dysentericis, hydropi-
E cis, & fœminis vuluæ fluore laborãtibus: profundioribus exulcerationibus eadem infundũtur. Cæterùm in hoc genere nigricans albo magis constringit.

De vino Strobilite. Cap. XLIIII.

Strobilites fit, maceratis in musto strobilis recẽtibus & contusis, præbétque resinati effectus. Quòd si
F quis strobilos musto præmaceratos decoxerit, abundè potum ijs cõducet qui tabitudine conficiuntur.

De Cedrino vino, & alijs. Cap. XLV.

Cedrinum, Iuniperinum, Cupressinum, Laurinũ, Pineũ & Abiegnũ,
G simili ratione concinnantur. Arborum enim, dũ fructus edunt, cæsam recẽs materiem assulosè diuidere, & Soli aut balneo, ignive admouere oportet vti consudet, congióque

vini minam vnam permiſcere, atq; ita duorũ menſium ſpatio ſinere: tũ demum transfundere, Soli exponere, tandémq; recondere. Porrò factitiorũ huiuſmodi vinorũ vaſa impleri debẽt: nanque illa non expletis vaſis aceſcunt. Nihilominus medicata vina rectè valentibus haudquaquam idonea. Cæterùm iſthæc omnia excalfaciũt, vrinam cient & leuiter aſtringunt. Laurinum tamẽ vehemẽtius excalfacit. Fit quoque vinum è Cedri maioris fructu, in vnum muſti congium addito baccarum contuſarum minæ ſemiſſe. Sed diebus quadraginta inſolari, ac ijs exactis, defęcatum in vaſa transferri debet.

De Iuniperino vino. Cap. XLVI.

Fit & è baccis Iuniperi, ſimiliter vt è cedri fructu, & ad eadẽ valens.

De Cedrite. Cap. XLVII.

Cedrites hoc modo fit: Cedriam dulci aqua lauant, & ſingulas amphoras ſingulis cyathis proluunt, & ita muſto replent. Hoc quoque vini genus excalfacit, attenuat, tuſſi antiquæ citra febrem vtile, necnon & pectoris laterúmq; doloribꝰ, torminibus ac vẽtris & inteſtinorũ vlceribus, purulẽta excreãtibus, hydropicis, & mulieribus vuluæ cauſarijs. Facit & aduerſus lumbricos atq; rigores: cõtra venenatorũ morſus auxiliatur, ac ſerpẽtes necat: auriũ deniq; doloribus inſtillatũ medetur.

De vino Picato. Cap. XLVIII.

Vinum picatũ ex liquida pice & muſto tẽperatur. Picem autem primùm marina aut muria tantiſper eluere oportet, dũ inalbuerit, & ſincera maris aqua defluat: mox aqua dulci iterũ proluenda. Tùm in congios octo muſti additur vncia picis vna aut altera, atque ita ſinitur. Pòſt vbi efferbuerit atque ſubſederit, in vaſa diffunditur. Hoc genus vini excalfacit, *concoctionem adiuuat, abſtergit atque purgat: proindéque vtile doloribus pectoris, alui, iocineris, lienis & vuluarũ, ſi ſine febre ſint, itémque veteribus rheumatiſmis & profundis exulcerationibus. Eſt & efficax contra tuſſim, tardam concoctionem, inflationes & anhelationes: luxatis denique, pręſertim in ſuccida lana, imponitur.

Al. concoquit

A τοῦ οἴνου μνᾶν μίαν, καταμίξαντάς τε ἐᾶν μῆνας β΄. εἶτα μεταγγίζειν, καὶ ἡλιάσαντας ἀποτίθεσθαι. πληροῦν δὲ δεῖ τὰ ἀγγεῖα τῶν σκευαστῶν οἴνων· ἀποξυνοῦνται γὰρ τὰ ἀπόκενα. ἄθετοι μέν τοι οἱ φαρμακώδεις οἶνοι τοῖς ὑγιαίνουσι. θερμαντικοὶ δὲ πάντες, οὐρητικοί, ὑποστύφοντες. ὁ μέν τοι B δάφνινος, θερμαντικώτερος. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ τῶν μειζόνων κέδρων οἶνος. δεῖ δὲ τῷ χοῒ τοῦ γλεύκους ἡμιμναῖον κεκομμένων τῶν κεδρίνων μίξαι· ἡλιάσαι τε ἐφ' ἡμέρας μ΄. μετὰ δὲ ταῦτα διυλίζειν, καὶ μεταγγίζειν.

Dal. μείονος

Περὶ Ἀρκευθιδίτου οἴνου. Κεφ. μϛ΄.

C Γίνεται καὶ ἐκ τοῦ τῶν ἀρκευθίδων καρποῦ, ὁμοίως τῷ κεδρίτῃ, τὰ αὐτὰ ποιῶν.

Περὶ Κεδρίτου. Κεφ. μζ΄.

Κεδρίτης δὲ γίνεται οὕτω· κεδρίαν πλύναντες ὕδατι γλυκεῖ, διακλύζουσιν ἕκαστον κεράμιον κυάθῳ ἑνί, καὶ οὕτω πληροῦσι γλεύκους. θερμαντικὸς δὲ καὶ οὗτος D γίνεται, καὶ λεπτυντικός, βηχὶ παλαιᾷ ἁρμόζων δίχα πυρετῶν, καὶ πόνοις θώρακος, πλευρῶν, στρόφοις, ἕλκεσι τοῖς ἐν κοιλίᾳ καὶ ἐντέροις, ἐμπυϊκοῖς, ὑδρωπικοῖς, ὑστερικαῖς· ποιεῖ καὶ πρὸς ἕλμινθας, καὶ πρὸς ῥίγη· βοηθεῖ θηριοδήκτοις, καὶ ἑρπετὰ κτείνει· ὠταλγίας τε ἐνσταζόμενος ἰᾶται. E

Deest in Ald.

Περὶ Πισσίτου οἴνου. Κεφ. μη΄.

Οἶνος πισσίτης σκευάζεται διὰ πίσσης ὑγρᾶς, καὶ γλεύκους. δεῖ δὲ τὴν πίσσαν πρῶτον πλύνειν θαλάσσῃ ἢ ἅλμῃ ἐφ' ἱκανόν, μέχρις ἂν λευκανθῇ, καὶ ἡ θάλασσα F καθαρὰ ἀπορρέῃ, ἔπειτα ὕδατι γλυκεῖ· καὶ τοῖς η΄. χοεῦσι μίσγειν οὐγγίας πίσσης α΄. ἢ β΄. καὶ ἐᾶν· μετὰ δὲ τὸ ἀναζέσαι καὶ καταστῆναι, μεταγγίζειν. Ἔστι δὲ θερμαντικός, πεπτικός, σμηκτικός, ἀνακαθαρτικός· εὔθετος τοῖς περὶ θώρακα, κοιλίαν, ἧπαρ, σπλῆνα καὶ ὑστέρας πόνοις δίχα πυρετοῦ, καὶ χρονίοις ῥεύμασι, καὶ ἑλκώσεσι τοῖς ἐν βάθει G ποιεῖ καὶ πρὸς βῆχας, βραδυπεψίας, πνευματώσεις, ἄσθματα· καὶ πρὸς στρέμματα δὲ μᾶλλον μετ' οἰσυπηρῶν ἐρίων.

Περὶ Ἀψινθίτου οἴνου. Κεφ. μθ'.

ΑΨΙΝΘΙΤΗΣ δὲ ποικίλως σκευάζεται. Οἱ μὲν γὰρ τοῖς μ'. καὶ η'. ξέσταις τῶν Ἰταλικῶν κεραμίων, μίξαντες ἀψινθίου Ποντικοῦ λίτραν μίαν, ἕψουσι μέχρι τὸ γ'. ἀπολειφθῇ. ἔπειτα προσεπιχέαντες "γλεύκους ξέστας ϛ'. καὶ ἀψινθίου ἡμιλίτριον ἐπιμελῶς μίξαντες, καταγγίζουσι· καταστάντα δὲ διυλίζουσιν." Οἱ δὲ, μνᾶν ἀψινθίου εἰς τὸ κεράμιον καθιᾶσι, "κόψαντες καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιόν, ἐῶσιν ἐπὶ μῆνας δύο. Οἱ δὲ, ἀψινθίου οὐγγίας γ'. ἔνιοι δὲ τέσσαρας, καὶ νάρδου Συριακῆς, κινναμώμου, κασσίας, σχοίνου ἄνθους, καλάμου, ἐλάτης φοινίκης, ἀνὰ οὐγγίας β'. καθιᾶσιν εἰς μετρητὴν γλεύκους, καὶ εἰς ὅλμον κόψαντες καὶ σφηνώσαντες, ἐῶσι δίμηνον ἢ τρίμηνον· εἶτα διυλίσαντες καὶ μεταγγίσαντες, ἀποτίθενται. Οἱ δὲ, εἰς γλεύκους μετρητὴν νάρδου Κελτικῆς < ιδ'. καὶ ἀψινθίου < μ'. καθιᾶσιν ἐν ὀθονίῳ δήσαντες καὶ μετὰ ἡμέρας μ'. μεταγγίζουσιν. Οἱ δὲ, εἰς τοὺς ξέστας "κ'. τοῦ γλεύκους λίτραν α'. ἀψινθίου ἐμβάλλουσι, καὶ πιτυΐνης ξηρᾶς ῥητίνης οὐγγίας β'. μετὰ δὲ ἡμέρας ι'. διυλίσαντες, ἀποτίθενται. Ἔστι δὲ εὐστόμαχος, οὐρητικός, χρήσιμος βραδυπεπτοῦσιν, ἡπατικοῖς τε καὶ νεφριτικοῖς, καὶ ἰκτερικοῖς, ἀνορέκτοις, κακουμένοις στόμαχον· καὶ πρὸς ὑποχονδρίων τάσιν χρόνιον, καὶ πρὸς ἐμπνευματώσεις, ἕλμινθας στρογγύλας, ἔμμηνα ἐπεχόμενα· πρός τε ἰξίου πόσιν πλεῖστος ποθεὶς καὶ ἐξεμούμενος ἁρμόζει.

Sunt qui legant ὄξους. Cornarius legit γλεύκους ξέστας μϛ'.

Lacuna addit ex v.cod. καὶ ἀποτίθενται ἐπὶ μῆνας τρεῖς.

Sunt qui ita legant hoc loco ex vet.codicibus, καὶ τῷ μετρητῇ τοῦ γλεύκους ἐμβρέχουσι. quæ scriptura ab Hermolao & Ruellio expressa est. Lacuna verò sic legit. οἱ δὲ μνᾶν ἀψινθίου κόψαντες, καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιόν, εἰς τὸ κεράμιον τοῦ γλεύκους καθιᾶσι, καὶ ἐῶσιν ἐπὶ μῆνας δύο.

Ald. ϛ'. at Lac. legit, εἰς τοὺς εἴκοσι ξέστας.

A *De vino Absinthite. Cap. XLIX.*

ABSINTHITES variè conficitur. Aliqui enim in duodequinquaginta sextarios, Italicarum amphorarũ additam absinthij Pontici libram decoquũt ad tertias partes. Dein vbi insuper affuderint sex musti sextarios, & absinthij selibrã B diligẽter permiscuerint, in vas diffundunt: cúmque subsederit, excolant. Alij absinthij minam tusam & linteolo raro deligatam in musti amphoram demittunt, inibíq; duobus mensibus macerari patiuntur. Alij absinthij quadrantem trientémve, & nardi Syriacæ, cinnamomi, cassiæ, floris iunci odorati, cala- C mi & palmę elates singulos sextantes priùs in pila tusos in musti metretam conijciunt, & obstructo vasis spiraculo duûm triúmve mensium spatio dimittunt, tandémque defæcatum vinum trãsfundunt ad vsus. Sunt & qui in musti cadum addant nardi Celticæ vncias xiiij. & absinthij vncias xl. linteo illiga- D tas: post quadragesimũ verò diem elutriant. Alij deniq; in viginti musti sextarios absinthij libram, & resinæ pini siccæ sextantem immittunt, & post dies decem vinum excolant atque recondunt. Vtile est stomacho: vrinam cit: tardam concoctionem accelerat: hepaticis, ne- E phriticis, regio morbo laborantibus, cibum auersantibus, & stomacho malè affectis auxiliatur. Valet & contra diuturnam hypochondriorum distentionem, inflationes, teretésque lumbricos & remoratos menses. Denique prodest & contra hausta ixiæ venena, maiore copia potum, identidémque vomitione F redditum.

Περὶ Ὑσσωπίτου οἴνου· Κεφ. ν'.

Ὑσσωπίτης δὲ ὁ ἐκ τοῦ Κιλικίου ὑσσώπου κάλλιστός ἐστι· σκευάζεται δὲ ὁμοίως τῷ ἀψινθίτῃ. δεῖ δὲ τῷ κεραμίῳ τοῦ γλεύκους λίτραν μίαν τοῦ ὑσσώπου κεκομμένων τῶν φύλλων προσδιδόναι, ἐνειλοῦντας εἰς ὀθόνιον ἀραιόν. συγκατίθενται δὲ λιθάρια, ἵνα τῷ πυθμένι προσκαθίσῃ ὁ ἔνδεσμος· μετάγγιζε δὲ δι' ἡμέρας μ'. διυλίζων. ἁρμόζει δὲ πρὸς τὰ ἐν θώρακι καὶ πλευρῷ καὶ πνεύμονι πάθη, ἐπὶ-

De vino Hyssopite. Cap. L.

Hyssopites è Cilicio hyssopo maximè laudatur, fitq; haud secus atque absinthites. Scilicet foliorum hyssopi tusorum libra linteo raro inuoluta in amphoram musti con- G ijcitur. Intra linteolum verò simul etiã immittũtur lapilli, vt degrauatus pondusculo fasciculus fidat, petátque fundum. Vinum post xl dies, defæcatum elutriatur. Contra pectoris, lateris & pulmonis vitia, veteré tus-

sim & anhelationem prodest. Vrinam quoque cit, atque torminibus febriúmque rigoribus circuitu redeuntibus auxiliatur, ac menses denique mouet.

De vino Chamædryite. Cap. LI.

Chamædryites simili quo hyssopites modo fieri solet. Excalfacit atque discutit, ideóq; conuulsis, regio morbo, vuluę inflationibus, tardæ cócoctioni & incipienti hydropi subuenit. Cæterùm inueterascés præstantius euadit.

De vino Stœchadite. Cap. LII.

Simili quoque modo Stœchadites cóficitur: sed in congios sex, minam stœchadis vnam addere oportet. Humores crassos dissoluit, & inflationes, lateris ac neruorum dolores atq; perfrictiones discutit. Datur & vtiliter comitialibus cum pyrethro & sagapeno.

De aceto è Stœchade. Cap. LIII.

Ad eadem quoque fit acetum è Stœchade, herba ipsa vti antè dictú est aceto macerata: eosdé verò implet effectus.

De vino è Betonica. Cap. LIIII.

Fit vinum Cestrites è betonica, quam cestron psychotrophon appellant. Herba semine maturo prægnans cum suis ramulis minæ pondo in vini congios duos adijcitur, septémque mensium spatio dimittitur, tandémque transfunditur. Ad multa intestina vitia, vti & frutex ipse, pollet. Et vt in vniuersum dicatur, quælibet factitia vina eorum ex quibus finguntur sibi vires asciscunt. Quare ijs qui illorum naturas pernouerint, fuerit etiam ex facili vinorum vires cóiectura consequi: veruntamen vinorum vsus febricitantibus abdicádus. Fit etiamnum è betonica acetú, ad eadé vitia vtile.

De vino Tragoriganite. Cap. LV.

Tragoriganites fit quaternis tragorigani drachmis linteolo colligatis, in quaternos musti sextarios coniectis, & post tertium mensem transfusis. Prodest torminibus, conuulsis, ruptis, lateris doloribus, flatuum discursationibus ac difficilibus concoctionibus.

A χας τε παλαιάς, καὶ ἄσθμα. ἔστι δὲ καὶ οὐρητικός, καὶ στροφουμένοις ἁρμόζει, πρός τε ῥίγη τὰ ἐν περιόδοις. κινεῖ δὲ καὶ ἔμμηνα.

Περὶ Χαμαιδρυΐτου οἴνου. Κεφ. να'.

Καὶ ὁ Χαμαιδρυΐτης ὁμοίως τῷ ὑσσωπίτῃ σκευάζεται. θερμαντικὸς ὢν καὶ B διαλυτικός, ἁρμόζων σπασμοῖς καὶ ἰκτέροις, ὑστερικαῖς πνευματώσεσι, βραδυπεψίαις, ὑδρωπι ἀρχομένῳ. ἀμείνων δὲ παλαιούμενος γίνεται.

Περὶ Στοιχαδίτου οἴνου. Κεφ. νβ'.

Σκευάζεται καὶ Στοιχαδίτης ὁμοίως. δεῖ δὲ τοῖς ς' χοεῦσι μνᾶν μίαν στοιχάδος C διδόναι. διαλύει δὲ πάχη καὶ πνευματώσεις, καὶ πόνους πλευρᾶς καὶ νεύρων, καὶ καταψύξεις. δίδοται δὲ καὶ ἐπιληπτικοῖς ὠφελίμως μετὰ πυρέθρου καὶ σαγαπηνοῦ.

Περὶ ὄξους Στοιχαδικοῦ. Κεφ. νγ'.

Γίνεται καὶ ὄξος διὰ Στοιχάδος πρὸς τὰ εἰρημένα, ἐναποβρεχομένης ὄξει τῆς D πόας, ὡς προείρηται. ποιεῖ δὲ πρὸς τὰ αὐτά.

Περὶ Κεστρίτου οἴνου. Κεφ. νδ'.

Γίνεται καὶ ἐκ τοῦ Κέστρου τοῦ ψυχοτρόφου οἶνος. δεῖ δὲ λαμβάνειν τὴν πόαν σπέρματος πλήρη πεπείρου σὺν τοῖς κλάδοις, καὶ μνᾶν μίαν βάλλειν εἰς οἴνου χοὰς E β'. ἐᾶν τε ἑπτὰ μῆνας, καὶ οὕτω μεταγγίζειν. ποιεῖ δὲ πρὸς πολλὰ τῶν ἐντὸς, καθάπερ καὶ ὁ θάμνος αὐτῆς. καὶ καθόλου πάντες (4) σκευαστοὶ οἶνοι ἀναλαμβάνουσι τὴν δύναμιν τῶν μιγμάτων. διὸ τοῖς τὰς ἐκείνων ἐπεγνωκόσι φύσεις εὐχερὲς καὶ τὰς τῶν οἴνων δυνάμεις συμβάλλειν. ἀπυ- F ρέτοις μέντοι ἐστὶν ἡ τῶν οἴνων χρῆσις. καὶ ὄξος δὲ ἐξ αὐτοῦ γίνεται, πρὸς τὰ ἐοικότα πάθη χρησιμεῦον.

Lac. legit in vet. cod. πρὸς ἅπερ καὶ ὁ θάμνος αὐτῆς.

Περὶ Τραγοριγανίτου οἴνου.

Τραγοριγανίτης. τραγοριγάνου < δ'. εἰς γλεύκους ξέστας δ', ἐν ὀθονίῳ χάλα πρὸς μῆνας γ'. καὶ μετάγγιζε. ἁρ- G μόζει στρόφοις, σπάσμασι, ῥήγμασι, πόνοις πλευροῦ, πνευμάτων διαδρομαῖς, δυσπεψίαις.

V. inserit πτώμασι

Περὶ Βουνίτου οἴνου. Κεφ. νϛʹ.

Οἶνος διὰ Βουνίου· βουνίου < ϛʹ. κόψας, καθὲς εἰς κοτύλας γλεύκους τέσσαρας, καὶ τ' ἄλλα ὁμοίως ποίει. Ἁρμόζει δὲ στομαχικοῖς κεκοπωμένοις δι' ὁπλομαχίαν, ἢ ἱππασίαν πολλήν.

Περὶ Δικταμνίτου οἴνου. Κεφ. νζʹ.

Δικταμνίτης· δικτάμνου < δʹ. εἰς γλεύκους κοτύλας ηʹ. ἀπόβρεχε ὁμοίως. Ποιεῖ δ' ἀσωμένοις στόμαχον, ἄγει καὶ λόχια καὶ ἔμμηνα.

Gonp. alter, δικτάμνου < αʹ. εἰς γλεύκους &c. cui Hermolaus consentit.

Περὶ Πρασίτου οἴνου. Κεφ. νηʹ.

Ὁ διὰ πρασίου· πρασίου τοῦ ἀκμαίου φύλλα κόψας, χοίνικας βʹ. καθὲς εἰς μετρητὴν γλεύκους, καὶ τ' ἄλλα ὁμοίως ποίει. Ἁρμόζει δὲ τοῖς περὶ θώρακα, καὶ πρὸς ὅσα τὸ πράσιον.

Περὶ Θυμίτου οἴνου. Κεφ. νθʹ.

Θυμίτης· θύμου κεκομμένου καὶ σεσησμένου * οὐγγίας ρʹ. ἐνδήσας εἰς ὀθόνην, καθὲς εἰς γλεύκους κεράμιον. Ἁρμόζει πρὸς δυσπεψίας, ἀνορεξίας, * δυσεντερίας, νεύρων πόνους, ὑποχονδρίων, φρίκας χειμερινάς, καὶ πρὸς ἰοβόλα τὰ ψύχοντα καὶ σήποντα.

Περὶ Θυμβρίτου οἴνου. Κεφ. ξʹ.

Θυμβρίτης ὁμοίως σκευάζεται. καὶ πρὸς τὰ αὐτὰ ποιεῖ, πρὸς ἃ καὶ ὁ θυμίτης.

Περὶ Ὀριγανίτου οἴνου. Κεφ. ξαʹ.

Ὀριγανίτης δι' ὀριγάνου Ἡρακλεωτικῆς σκευάζεται, ὁμοίως τῷ θυμίτῃ ποιῶν πρὸς τὰ αὐτά.

Περὶ Καλαμινθίτου, γληχωνίτου καὶ ἀβροτονίτου οἴνου. Κεφ. ξβʹ.

Καλαμινθίτης, γληχωνίτης, ἀβροτονίτης, ὁμοίως σκευάζονται τῷ διὰ θύμου· Ποιοῦσι δὲ στομαχικοῖς καὶ ἀνορέκτοις, καὶ πρὸς ἴκτερον· οὐρητικοὶ γάρ εἰσιν.

Περὶ Κονυζίτου οἴνου. Κεφ. ξγʹ.

Οἶνος Κονυζίτης ὁμοίως σκευάζεται· ἔστι δὲ πάντων μᾶλλον θηριακός.

Περὶ Ἀρωματίτου οἴνου. Κεφ. ξδʹ.

Ὁ δὲ Ἀρωματίτης οὕτω κατασκευά-

A *De vino Bunite. Cap. LVI.*

E Bunio fit vinum nomine Bunites, binis drachmis Bunij tusi in musti quaternas heminas missis, & cæteris eodem modo factis. Cófert stomachicis & armorũ certaminis equitandíve lassitudine oppressis.

De vino Dictamnite. Cap. LVII.

B Dictamnitis cóficiendi ratio hęc est: Dictamni quaternas drachmas in octonis musti heminis similiter macerato. Facit aduersus stomachi fastidia, & purgamenta à partu, mésésque ciet.

De vino Prasite. C. LVIII.

Ad vinum è Marrubio conficiendum, foliorum marrubij adulti tusorum chœnices duas in musti metretam demittito, cæteráque

C consimiliter facito. Conuenit hoc vinum pectoris vitiis, atque omnibus, quibus & ipsum marrubium.

De vino Thymite. C. LIX.

Thymites sic fit: Thymi tusi & cribrati drachmas centũ linteo illi-

D gatas musti amphoræ indito. Valet cótra difficiles coctiones, cibi fastidia, graues ructus, neruorũ & præcordiorũ dolores, frigoris hyemalis horrores: itémq; aduersus animalia virus eiaculantia, quę quidé ictu suo locum refrigerant & putrefaciunt.

De vino Thymbrite C. LX.

Simili modo è Thymbra vinum

E fit: quod eadem quæ Thymites præstat.

De vino Origanite. C. LXI.

Sic & Origanites ex origano Heracleotico conficitur, haud secus atque Thymites, & ad eadem quoq; est efficax.

De vinis è Calamintha, Pulegio & Abrotono. C. LXII.

F E Calamintha, Pulegio & Abrotono vina fiunt, eodé quo Thymites modo. Prosunt stomachicis & cibum auersantibus: ac valent etiamnum ad morbum regium, propter eà quòd vrinas cient.

De vino Conyzite. C. LXIII.

G Similiter & è Conyza vinum fit: quod contra venenata præ cæteris est efficax.

De vino Aromatite. C. LXIIII.

Vinum Aromatites ita componi-

tur: Palmæ, aspalathi, calami, nardi Celtici, singulorum vncias singulas postquam contriueris, passo subigito: indéque factas grandiores offas in musti austeri sextarios duodecim deijcito; & operculato vase quadraginta dies macerari sinito: excolatum deinde vinum recondito. Est & altera eius parandi ratio: Calami drach. viij. phu drach. vij. costi drach. ij. nardi Syriaci drach. vj. cassiæ drach. viij. croci drach. iiij. amomi drach. v. asari drach. iiij. Hæc, inquam, omnia simul trita & linteo colligata in musti metretam demergito: & postquam vinum deferbuerit, transfundito. Facit ad pectoris, lateris & pulmonis dolores: difficili vrinæ, rigoribus, retardatis mensibus, atque ijs qui per gelidæ hyemis rigorem iter faciunt, potu auxiliatur. Conuenit & ijs qui humores crassos gignunt: colorẽ quoque meliorem hilarioremque facit, & somnum conciliat, doloresque leuat, vesicæ ac renum vitijs vtile.

De vino ex myrrha, pipere & iride. Cap. LXV.

Fit & vinum ad destillationes, tussim, cruditates, inflationes & stomachi superfluos humores. Myrrhę drach. ij. piperis albi drach. j. iridis drach. vj. anisi drach. iij. Ista penitus cõtusa & linteolo illigata in sex vini sextarios conijcito: vinum post triduum excolato, & in lagena recondito. Ab inambulatione meraculum cyathi vnius mensura propinatur.

De vino Nectarite. Cap. LXVI.

Nectarites paratur ex helenio, quod alij Medicã, alij symphytum, aliqui verbascum Idæum, alij orestion, alij denique nectarion appellant. Radicis helenij siccæ vncias v. linteolo colligatas in musti sex congios addito, & post tertium mẽsem diffundito. Facit ad stomachi & pectoris vitia, ac vrinas quoque pellit.

De vino è Nardo Syriaco, Celtico & Malabathro. Cap. LXVII.

E Syriaca nardo & Celtica, malabatróq; vinũ factitatur in hũc modũ: singulorũ minę semisse in binos musti cõgios mittito, & post bimestre colato: cyathũ vnũ cum tribus

A ζεται· φοίνικος, ἀσπαλάθου, καλάμου, νάρδου Κελτικῆς, ἑκάστου *χοίνικα λειώσας, "φύρασον γλυκεῖ. καὶ ποιήσας εὐμεγέθεις μάζας, βάλε εἰς γλεύκους αὐστηροῦ ξέστας ιβʹ. καὶ ἔασον ἡμέρας μʹ. σφηνώσας τὸ ἀγγεῖον· εἶτα διυλίσας, ἀποτίθεσο· σκευάζεται δὲ καὶ ἄλλως· καλάμου ὁλκὰς ηʹ. φοῦ ∠ ζʹ. κόστου ∠ βʹ. νάρδου
B Συριακῆς ∠ ϛʹ. κασσίας ∠ ηʹ. κρόκου ∠ δʹ. ἀμώμου ∠ εʹ. ἀσάρου ∠ δʹ. ταῦτα ὁμοῦ λειώσας καὶ ἐν ὀθονίῳ δήσας χάλασον εἰς μετρητὴν γλεύκους, καὶ μετὰ τὸ ἀποζέσαι τὸν οἶνον μετάγγιζε. Ποιεῖ δὲ πρὸς πόνους θώρακος, πλευροῦ,
C πνεύμονος. δυσουρίαις τε καὶ ῥίγεσιν, ἐμμηνίοις ἐπισχεθεῖσι, καὶ τοῖς διὰ κρυμὸν ὁδεύουσιν ἁρμόζει πινόμενος· καὶ πρὸς τοὺς πάχος χυμῶν γεννῶντας· εὐχροεῖν ποιεῖ δὲ καὶ εὐθυμεῖν, ὑπνωτικός τε ἐστὶ καὶ ἀνώδυνος, τοῖς περὶ κύστιν καὶ νεφροὺς ἁρμόζων πάθεσι.

Περὶ οἴνου τοῦ ἐκ σμύρνης, πεπέρεως,
D καὶ ἴρεως. Κεφ. ξέ.

Σκευάζεται δὲ " οἶνος πρὸς καταῤῥοῦς, βῆχας, ὠμότητας, ἐμπνευματώσεις καὶ πλάδον στομάχου· σμύρνης ∠ βʹ. πεπέρεως λευκοῦ ∠ αʹ. ἴρεως ∠ ϛʹ. * ἀνήθου ∠ γʹ. ταῦτα ὁλόκοπα ἐνδήσας εἰς ὀθόνιον, καθὲς εἰς ξέστας ϛʹ. οἴνου· μετὰ δὲ
E τρίτην διυλίσας, ἀποτίθεσο εἰς λάγηνον. καὶ πότιζε μετὰ περίπατον διδοὺς ἄκρατον, κύαθον αʹ.

Περὶ Νεκταρίτου οἴνου. Κεφ. ξϛʹ.

Ὁ δὲ Νεκταρίτης σκευάζεται ἐκ τοῦ ἑλενίου ὃ ἔνιοι Μηδικὴν, οἱ δὲ σύμφυτον, οἱ δὲ, Ἰδαῖον φλόμον, οἱ δὲ, ὀρέστιον, οἱ δὲ, νεκτάριον
F καλοῦσιν· ἑλενίου ῥίζης ξηρᾶς οὐγκίας εʹ. ἐνδήσας εἰς ὀθόνιον, καθὲς εἰς χόας ϛʹ. γλεύκους, καὶ μετὰ γʹ. μῆνας ἀπόχει. Ποιεῖ δὲ πρὸς στόμαχον, θώρακα· ἄγει δὲ καὶ οὖρα.

Περὶ τοῦ διὰ Συριακῆς νάρδου καὶ Κελτικῆς καὶ Μαλαβάθρου οἴνου. Κεφ. ξζʹ.

Ὁ δὲ διὰ Συριακῆς νάρδου, καὶ Κελ-
G τικῆς, καὶ μαλαβάθρου, σκευάζεται οὕτως· ἑκάστου ἡμίμναιον λαβὼν, εἰς δίχουν γλεύκους καθὲς, καὶ μετὰ μῆνας βʹ. διύλιζε. δίδου δὲ καὶ κύαθον αʹ. πρὸς τοὺς

Lac. legit ex vet cod. φύρασον γλεύκει

Lac. inserit ex v. cod. καὶ ἄλλος ἀερματίτης

G. Hæc ita leguntur in vet. libris. ἀνίσου ∠ γʹ. ταῦτα ἐνδήσας, vt Hermolaus legit.

Paris. ex. δραχμὰς

A ὕδατος. ποιεῖ νεφριτικοῖς, ἰκτερικοῖς, ἡπατικοῖς, δυσουροῦσιν, ἀχρόοις, στομαχικοῖς. Τινὲς δὲ ἀκόρου οὐγγίας α΄ ἢ β΄. Κελτικῆς νάρδου οὐγγίας γ΄. ἐν κεραμίῳ γλεύκους σκευάζουσιν.

Ald. ἐγγίας β.

Περὶ Ἀσαρίτου οἴνου. Κεφ. ξη΄.

Ἀσαρίτης. Ἀσάρου οὐγγίας γ΄. κάθες εἰς γλεύκους κοτύλας ιβ΄. ὁμοίως. ἔστι B δὲ διουρητικὸς, ὑδρωπικοῖς ἁρμόζων, καὶ ἰκτερώδεσιν, ἡπατικοῖς, ἰσχιαδικοῖς.

Περὶ τοῦ διὰ τῆς ἀγρίας Νάρδου οἴνου. Κεφ. ξθ΄.

Ὁ δὲ διὰ τῆς ἀγρίας Νάρδου· νάρδου ἀγρίας τῆς ῥίζης προσφάτου λειώσας σεσησμένης κάθες οὐγγίας η΄. εἰς χοῦν C γλεύκους ὁμοίως. καὶ ἔα μῆνας β΄. χρήσιμος ἡπατικοῖς, δυσουροῦσι, πνευματουμένοις, στομαχικοῖς.

Περὶ Δαυκίτου οἴνου. Κεφ. ο΄.

Δαυκίτης. Δαύκου τῆς ῥίζης ὁλοκόπου * < ς΄. εἰς γλεύκους κεράμιον κάθες ὁμοίως, καὶ μετάγγιζε. ποιεῖ δὲ πρὸς πό- D νους θώρακος, ὑποχονδρίων, ὑστέρας· ἄγει ἔμμηνα, ἐρυγὰς κινεῖ, καὶ οὖρα· ἁρμόζει βηχὶ, σπάσμασι, ῥήγμασιν.

Περὶ Ἐλελισφακίτου οἴνου. Κεφ. οα΄.

Ἐλελισφακίτης ὁμοίως· ἐλελισφάκου "οὐγγίας η΄. ὁμοίως εἰς γλεύκους ἀμφορέα, ὅ ἐστι κεράμιον, κάθες. ποιεῖ δὲ E πρὸς νεφρῶν πόνους, καὶ κύστεως καὶ πλευρῶν, αἵματος ἀναγωγὰς, βῆχα, ῥήγματα, σπάσματα, "θλάσματα, ἔμμηνα ἐπεχόμενα.

Ald. ἐγγίας δ. Ruellius < δ legisse videtur.

Deest in Ald. cod. & ad notha transfertur.

Περὶ Πανακίτου οἴνου. Κεφ. οβ΄.

Πανακίτης. Πάνακος οὐγγίαν "α΄. εἰς χόα γλεύκους καθεὶς ὁμοίως μετάγγιζε. F ποιεῖ σπάσμασι, ῥήγμασι, θλάσμασιν, ὀρθοπνοίαις· λεπτυντικὸς πάχους σπληνός· ποιεῖ δὲ καὶ πρὸς στρόφους, ἰσχιάδας, "βραδυπεψίας· καταμήνια ἄγει καὶ ἔμβρυα· ὑδρωπικοῖς καὶ θηριοδήκτοις ἁρμόζει.

V. ἱ habet.

V. βαρυπεψίας

Περὶ Ἀκορίτου οἴνου. Κεφ. ογ΄.

G Ἀκορίτης, ὃ καὶ ὁ ἀπὸ Γλυκυρρίζης ὁμοίως σκευάζεται. δεῖ γὰρ ἑκάστου "οὐγγίας π΄. εἰς χόας ς΄. πρὸς μῆνας γ΄. ἀποβρέχοντας μεταγ-

G. Alter ἐγγίας η. quam scripturam interpretes sequuntur. Marcellus tamen < η legit.

A aquæ exhibeto. Bene facit hoc vinum nephriticis, ictericis, hepaticis, vrinæ difficultate laborantibus, decoloratis & stomachicis. Sūt qui acori vnciam vnam aut alteram, & Celticæ nardi vncias iii in musti amphoram adijciunt.

De vino Asarite. C. LXVIII.

ΣΚΕΥΑΖΕΤΑΙ καὶ ὁ πεπλυμένος μόλιβδος τοῦτον τὸν τρόπον· βαλὼν εἰς μο- D λυβδίνην θυΐαν ὕδωρ, τρῖβε μολυβδίνῳ δοίδυκι, ἕως ἂν μελανθῇ τὸ ὕδωρ καὶ γίνηται "ἰλυῶδες· (Ald. ὑλῶδες ἢ χυλῶδες ἢ πηλῶδες.) εἶτα διήθει αὐτὸ δι' ὀθονίου, προσεπιχέων τὸ ὕδωρ, ἵνα πᾶν τὸ διαλυθὲν ὑλισθῇ· καὶ ποίει τὸ αὐτὸ πάλιν, ἄχρις ἂν σοι αὐτάρκως ἔχειν δόξῃ. εἶτα ἔασαι καταστῆναι τὸ πεπλυμένον, ἀποχέας τε τὸ E ὕδωρ καὶ ἄλλο ἐπιχέας, πλῦνε ὡς τὴν καδμείαν, ἄχρις ἂν μηκέτι ἐφίστηταί τις μελανία· ἀναπλάσας τε τροχίσκους, ἀπόθεσο. τινὲς δὲ, καθαρὸν μόλιβδον ῥινήσαντες, τρίβουσιν ἐν λιθίνῃ θυΐᾳ δοίδυκι λιθίνῳ, ἢ ταῖς χερσὶ μεθ' ὕδατος *ὑπὸ χεῖρα κατ' ὀλίγον ἐπιχέοντες τὸ μελαινό- F μενον· ὅπερ ἐάσαντες ὑποστῆναι καὶ ἀποχέαντες, ἀναπλάσσουσιν εὐθέως. τὸ γὰρ ἐφ' ἱκανὸν τριβόμενον, γίνεται ψιμμυθίῳ ὅμοιον. ἔνιοι δὲ προσεμβάλλουσι τοῖς ῥινίσμασιν ὀλίγην μολιβδαίνην, φάσκοντες βελτίονα εἶναι τὸν οὕτω πλυνόμενον μόλιβδον. Δύναται δὲ ψύχειν, στύφειν, G παρεμπλάττειν, μαλάττειν, πληροῦν τὰ κοιλώματα, στέλλειν τὰ ἐν τοῖς ὀφθαλμοῖς ῥεύματα, καὶ τὰ ὑπερσαρκοῦντα τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἴσχαιμος·

A καὶ πρὸς τὰ ἐν τῷ δακτύλῳ ἕλκη, κονδυλώματα, αἱμορροΐδας, μετὰ ῥοδίνου· καὶ τὰ δυσκατούλωτα καὶ καθόλου ποιεῖ ὅσα καὶ ἡ σποδὸς, δίχα τοῦ ἐσχαροῦν. ὁ δὲ ἀκέραιος μόλιβδος παρατριβόμενος βοηθεῖ τῇ τοῦ θαλασσίου σκορπίου καὶ δράκοντος πληγῇ.

Περὶ Μολίβδου κεκαυμένου. Κεφ. ϟϛ'.

B ΚΑΙΕΤΑΙ δὲ ὁ μόλιβδος οὕτω· λαβὼν μολίβδου ἐλάσματα ὡς ὅτι λεπτότατα, ἐπίθες εἰς καινὴν λοπάδα, καὶ ἐπιπάσας θεῖον, πάλιν ἕτερα ἐπίθες πέταλα, καὶ θεῖον ἐπίπασσε, καὶ πάλιν ἕτερα, καὶ τοῦτο ποίει ἄχρις ἂν πληρώσῃς τὴν λοπάδα, εἶτα ὑπόκαιε· ἀναφθέντος δὲ τοῦ μολίβδου, κίνει σιδήρῳ ἄχρις ἂν ἀποτεφρωθῇ τε-

C λέως καὶ μηδὲν ἔχῃ μολιβδῶδες· καὶ ἆραι, ἐσοῦ σκεπάσας τοὺς ῥώθωνας· βλαβερὰ γὰρ ἡ ἀποφορά. ἢ ῥινίσματα μολίβδου βαλὼν μετὰ θείου εἰς λοπάδα, οὕτω καῖε. τινὲς δὲ, εἰς χύτραν ὠμὴν βαλόντες τὰ πέταλα ὡς εἴρηται, καμίνῳ ἐντιθέασιν, ἢ ἐπ' ἐσχά-

D ρας περιπλάσαντες δὲ πῶμα καὶ ὀλίγην δόντες ἀναπνοὴν, καίουσιν. οἱ δὲ, ψιμμύθιον παρεμπάσσουσιν αὐτῷ τοῦ θείου ἢ κριθάς. τινὲς δὲ, ἀκεραίους τὰς λεπίδας *ἐπιθέντες, ὀξεῖ πυρὶ χρῶνται, καὶ κινοῦσιν ἐπιτεταμένως σιδηρίῳ, ἄχρις ἂν ἐκτεφρωθῇ. ἔστι δὲ δυσχερὴς ἡ τοιαύτη καῦσις· καὶ ἐπιπλέον

E δὲ καεὶς, οὕτω λιθαργύρου λαμβάνει τὸ χρῶμα. ἡμῖν μέν τοι ἀρέσκει ἡ προτέρα καῦσις. δεῖ δὲ πλύνειν αὐτὸν ὡς τὴν καδμείαν, καὶ ἀποτίθεσθαι. Δύναμιν δὲ ἔχει ἣν καὶ ὁ πεπλυμένος μόλιβδος, εὐτονωτέραν δὲ μᾶλλον.

Περὶ Σκωρίας μολίβδου. Κεφ. ϟζ'.

F ΣΚΩΡΙΑ μολίβδου, ἀρίστη ἐστὶν ἡ ψιμμυθιοφανὴς, πυκνὴ καὶ δύσθραυστος, μηδὲν ἔχουσα μολιβδῶδες, *μηλοειδὴς δὲ τῷ χρώματι καὶ ὑαλίζουσα. δύναται δὲ τὰ αὐτὰ τῷ κεκαυμένῳ μολίβδῳ, στύφουσα μᾶλλον. πλύνεται δὲ ἐν θυίᾳ ἐπιχεομένου ὕδατος καὶ ἀποχεομένου τοῦ ἐ-

G φισταμένου μηλίνου χρώματος. πολλάκις τε τοῦτο γίνεται, ἄχρις ἂν ἀναλωθῇ ἡ σκωρία. τό, τε λοιπὸν ἐάσαντες ὑποστῆναι αὐτὸ, ἀποχέομεν τὸ ὕδωρ, καὶ οὕτως ἀναπλάσσομεν.

Lac. legit in vet. cod. μηδενὸς ἐνπέχοντος μολιβδώδους.

A ac prodest contra sedis vlcera, condylomata, & hæmorrhoidas, ex rosaceo: itẽ ad ea quæ ęgrè cicatricem ducunt. Deniq; spodij effectus præbet, nisi quòd crustas haudquaquã inducit. Cæterùm sincerum plumbum affrictu, marini scorpionis draconísque ictibus auxiliatur.

De Plumbo vsto. Cap. XCVI.

B VRITVR plumbum sic: Sumito plumbi laminas quàm minutissimas, & nouæ patinæ imponito, ac sulphur inspergito: rursúmq; laminas alias addito, ac sulphur itidẽ inspergito: atq; ita vicissim tũ laminas tũ sulphur insternito, donec vas expleueris, deindéq; succendito. Flagrans autẽ plumbũ ferrea rude ver-

C sato, vsquedum perfectè redigatur in cinerem, nihílque supersit quod plumbum referat: tum demùm obstructis naribus eximito, quoniam halitus plumbi noxius est. Aut lima quæsitam plumbi scobem cum sulphure indito patellæ, atq; sic vrito. Alij laminas crudo fictili, vti dictũ

D est, inditas imponunt fornaci aut foco, & circumlito operculo datóq; exili spiramento, vrũt. Non desunt qui pro sulphure cerussam aut hordeum intersternant. Alij postquam sinceras laminas imposuerunt, acri igne vtuntur, & rudicula ferrea vehementer agitant, dum in cinerem soluantur. Sed difficilis huiusmodi

E vstio: & si ampliùs vrantur, spumæ argenti colorem cõtrahunt. Magis tamẽ nobis placet prima vrendi ratio. Debet verò plumbum vstum lauari sicut cadmia, atque ita reponi. Cæterùm vim habet eandẽ quam plumbum elotum, sed efficacioré.

Plin. [illegible] spiritus fo[illegible] minibus.

De Scoria plumbi. Cap. XCVII.

F RECREMENTVM plũbi, scoriam vocant, optimum est quod cerussam repræsentat, densum, fractu contumax, *nihil plumbosi habens, quódque ad luteum colorem accedit & vitrum imitatur. Eadem quæ plumbum exustum potest, sed magis astringit. Lauatur in mortario affusa aqua & refusa summa a-

G quæ parte quę luteum colorem traxerit. Iteratur id sæpius, dum recrementum absumptum fuerit. Tandem vbi subsederit, effusa aqua diuiditur in pastillos.

Pl. sine plumbi reliquiis.

De la-

De Lapide plumbario.
Cap. XCVIII.

LAPIS molybdoides à plumbi similitudine dictus, vim habet recremento haud absimilem: ac eodem quoque modo lauatur.

De Stibio. Cap. XCIX.

STIMMI optimũ quod est splendidissimum & radians, dum frangitur crustosum, quódque nihil terreni aut sordidi habet, éstque friabile. Hoc nonnulli stibi, aliqui platyophthalmon, alij larbason appellarunt. Vis eius spiracula cutis obducere, astringere, refrigerare, excrescentia in carne cohibere, vlcera ad cicatricem perducere, sordes & vlcera oculorum expurgare. Sistit & sanguinem è cerebri membrana profluentem: & vt in vniuersum dicatur, vis vsto plumbo similis est. Priuatim ambusta igni in crustulas erumpere non patitur, cum adipe recenti illitum: quæ verò crustam contraxêre, ad cicatricem perducit, additis cera & exigua cerussa. Torretur autem farina subacta circumlitum & carbonibus obrutum, donec carbunculetur crusta: exemptúmque restinguitur mulieris lacte quæ marem pepererit, aut vetere vino. Vritur verò prunis impositum sufflatúmque, quoad ignescat: si enim ampliùs vratur, plumbi instar eliquescit. Cæterùm lauatur cadmiæ & æris modo: sunt tamen qui ceu plumbi recremẽtum eluãt.

De Molybdæna seu plumbagine.
Cap. C.

PLVMBAGO probatissima est, spumæ argenti æmula, flaua, modicè splendens, ac dum teritur fulua, quæque cocta in oleo iocineris colorem trahit. Vitiosa, quæ aërium aut plumbeum colorem refert. Gignitur in auri argentiq; fornacibus. Est & fossilis quædam, quę ad Sebastiam & Corycum reperitur: ac in eo genere probatur magis, quę neq; scoriæ speciẽ prę se fert, neq; lapidosa est, sed flaua ac nitẽs. Vim habet spumæ argẽti & scorię plũbi similẽ: sed & vritur lauatúrq; simili modo. Additur tamẽ hæc aptiùs in emplastra lenia, quæ lipara vocant, & ea, quæ nõ alligãtur, idq; nõ inutiliter.

A Περὶ τοῦ Μολιβδοειδοῦς λίθου. Κεφ. ϛη'.

ΚΑΙ ὁ Μολιβδοειδὴς δὲ λίθος, ἀνάλογον ἔχει τὴν δύναμιν τῇ σκωρίᾳ. πλύνεται δὲ ὁμοίως.

Περὶ Στίμμεως. Κεφ. ϛθ'.

ΣΤΙΜΜΙ δὲ κράτιστόν ἐστι τὸ στιλπνότατον καὶ λαμπυρίζον, ἐν τῇ θραύσει (al. καύσει.) B πλακῶδες, μηδὲν ἔχον γεῶδες (al. teste Marc. γλοιῶδες.) ἢ ῥυπαρόν, εὐχερῶς τε θλώμενον. τοῦτο οἱ μὲν στίβι, οἱ δὲ, πλατυόφθαλμον, οἱ δὲ, λάρβασον ἐκάλεσαν. Δύναμιν δὲ ἔχει ἐμπλαστικήν, στυπτικήν, ψυκτικήν, σταλτικὴν τῶν ὑπερσαρκούντων, ἀπουλωτικὴν ἑλκῶν, καὶ καθαρτικὴν ῥυπαρῶν καὶ C τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἐπέχει δὲ καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας· καὶ καθόλου δὲ ἐμφερής ἐστιν ἡ δύναμις αὐτοῦ τῷ κεκαυμένῳ μολίβδῳ. ἰδίως δὲ τὰ κατακαύματα οὐκ ἐᾷ ἐσχαρωθῆναι, σὺν στέατι καταχρισθὲν νεαρῷ· καὶ ἀπουλοῖ τὰ ἐσχαρωθέντα, κηροῦ καὶ ὀλίγου ψιμμυθίου μιχθέντων. ὀπτᾶ- D ται δὲ στέατι περιπλασθὲν καὶ ἐγκρυβὲν εἰς ἄνθρακας, ἄχρις ἂν ἀνθρακωθῇ τὸ στέαρ. ἐξαιρεθὲν δὲ σβέννυται γάλακτι ἀρρενοτόκου γυναικός, ἢ οἴνῳ παλαιῷ. καίεται δὲ ἐπ' ἀνθράκων ἐπιτεθὲν καὶ ἐμφυσηθὲν ἄχρι πυρώσεως· ἐὰν γὰρ ἐπιπλέον καῇ, μολιβδοῦται. πλύνεται δὲ ὡς ἡ E καδμεία καὶ ὁ χαλκός. ἔνιοι δὲ ὁμοίως τῇ τοῦ μολίβδου πλύνουσι σκωρίᾳ.

Περὶ Μολιβδαίνης. Κεφ. ρ'.

ΜΟΛΙΒΔΑΙΝΑ δὲ ἀρίστη ἐστὶν ἡ λιθαργυροφανής, ξανθή, ὑπόστιλβουσα καὶ κιρρὰ ἐν τῷ λειοτριβεῖσθαι, ἑψηθεῖσά τε ἐλαίῳ, ἡπατοειδὴς F τῷ χρώματι γίνεται. ἡ δὲ ἀερίζουσα ἢ μολιβδόχρους, φαύλη· γίνεται δὲ ἐξ ἀργύρου καὶ χρυσοῦ. ἔστι δέ τις καὶ ὀρυκτὴ κατὰ Σεβάστειαν καὶ Κώρυκον εὑρισκομένη. καὶ ταύτης ἐστὶ βελτίων ἡ μὴ σκωριώδης (forte σκωριοειδής.), μηδὲ λιθώδης, ξανθὴ δὲ καὶ στίλβουσα. Δύναμιν δὲ ἔχει ὁμοίαν λιθαργύρῳ καὶ G σκωρίᾳ μολίβδου· πλύσιν δὲ καὶ καῦσιν τὴν αὐτήν. μίγνυται δὲ ἐπιτηδειότερον αὕτη, καὶ ταῖς λιπαραῖς καὶ ἀνεπιδέτοις * ἐμπλάστροις χρησίμως.

οὖσα σαρκωτικὴ καὶ ἀπουλωτική· ταῖς μέν τοι κολλητικαῖς καὶ σμηκτικαῖς οὐχ ἁρμόζει δυνάμεσιν. A

Περὶ Σκωρίας ἀργύρου. Κεφ. ρα'.

Ἡ δὲ τοῦ ἀργύρου σκωρία καλεῖται ἕλκυσμα, ἢ ἔγκαυμα· τὴν αὐτὴν δὲ ἔχει δύναμιν τῇ μολυβδαίνῃ. ὅθεν ἐμπλάστροις φαιαῖς μίγνυται καὶ ἀπουλωτικαῖς, B στυπτικὴ οὖσα καὶ ἐπισπαστική.

Ald. ἔγκλυσμα perperam. ἕλκυσμα enim dicitur, quoniam cū vncino è catinis eximitur, longissimè trahitur.

Περὶ Λιθαργύρου. Κεφ. ρβ'.

Λιθάργυρος, ἡ μέν τις ἐκ τῆς μολιβδίτιδος καλουμένης ἄμμου γεννᾶται, χωνευομένης ἄχρι τελείας ἐκπυρώσεως. ἡ δὲ ἐξ ἀργύρου· ἡ δὲ ἐκ μολίβδου. διαφέρει δὲ ἡ Ἀττική· δευτερεύει δὲ C ἡ Ἱσπανή· μεθ' ἃς ἡ ἐν Δικαιαρχίᾳ, * καὶ ἐν Καμπανίᾳ, καὶ Σικελίᾳ· πλείστη γὰρ ἐν τοῖσδε τοῖς τόποις γεννᾶται, μολιβδίνων ἐλασμάτων ἐκφλογουμένων. καλεῖται δὲ ἡ μὲν ξανθὴ καὶ στίλβουσα, χρυσῖτις, ἥτις ἐστὶ κρείττων. ἡ δὲ ἐν Σικελίᾳ, ἀργυρῖτις· ἡ δὲ ἐκ τοῦ ἀργύρου, Καλαυρῖτις· D Δύναμιν δὲ ἔχει στυπτικήν, μαλακτικήν, κοιλωμάτων πληρωτικήν, σταλτικὴν τῶν ἐκσαρκούντων καὶ ἀπουλωτικήν, ψυκτικήν, περιεμπλαστικήν. καύσεις δὲ αὐτὴν οὕτω· κατακόψας εἰς καρύων μεγέθη, καὶ ἐπιθεὶς ἐπ' ἄνθρακας, ἐκριπίσας τε ἄχρι πυρώσεως, καὶ περιμάξας E τὴν περικειμένην ἀκαθαρσίαν, ἀποτίθεσο. ἔνιοι δὲ ὄξει ἢ οἴνῳ σβέσαντες αὐτὴν ἐπιτρεῖς, πάλιν καίουσι, καὶ ταῦτα ποιήσαντες ἀποτίθενται. πλύνεται δὲ ὡς ἡ καδμεία. λευκαίνεται δὲ οὕτω· λαβὼν τῆς ἀργυρίτιδος λεγομένης, εἰ δὲ μή γε, τῆς ἄλλης κατάθραυσον εἰς μεγέθη κυάμων ὅσον χοίνικα Ἀττικήν, βα- F λών τε εἰς καινὴν χύτραν, ἐπίχει ὕδωρ, προσεμβαλὼν πυρῶν λευκῶν χοίνικα, καὶ ἰδίᾳ ἐν ὀθονίῳ καθαρῷ ἀραιῷ κριθῶν δράκα δήσας, ἀπὸ τοῦ ὠτὸς τῆς χύτρας κρέμασον, ἕψε δὲ ἕως ἂν ῥαγῶσιν αἱ κριθαί. εἶτα κατεράσας πάντα εἰς κρατῆρα πλατύστομον καινόν, τοὺς G μὲν πυροὺς ῥίψον χωρίσας, τὴν δὲ λιθάργυρον πλεῖον ἐπιχέας ὕδωρ, βιαίως ταῖς χερσὶ προστρίβων ἅμα· εἶτα ἀνελόμενός τε αὐτὴν καὶ ξηράνας, τρίβε ἐν θυίᾳ Θηβαϊκῇ,

Sunt qui addant, καὶ Ποτιόλοις καὶ Βαΐαις.

Fallopius Λαυρῖτις legēdum putat, à Laurio mōte.

quippe quæ carnem recreat & cicatricem obducit. At verò glutinantibus detergentibúsque compositionibus haudquaquam conuenit. A

De argenti Scoria. Cap. CI.

Recrementvm argenti, quod helcysima seu encauma vocatur, eandem quam molybdena vim habet. Quamobrem emplastris fuscis B & cicatricem inducentibus miscetur: vtpote cùm astringat, & spiracula cutis obducat.

De argenti spuma. Cap. CII.

Spvma argenti quædam fit ex arena, quam molybditin vocant, in fornacibus cōflata, donec perfectè igni incandescat: altera ex argē- C to: tertia ex plūbo. Probatissima est Attica: proxima Hispaniensis. Has sequitur quæ fit Puteolis Cāpaniæ, & in Sicilia. Plurima enim hisce locis è flagrantibus laminis plumbeis gignitur. Quæ flauo colore splēdet, chrysitis appellatur, omniū optima: quæ in Sicilia, argyritis: quæ ex ar- D gento, Calabritis. Vis autem astringere, mollire, explere caua, excrescētia in carne reprimere, cicatricē inducere, refrigerare, spiracula cutis obducere. Vres porrò argēti spumam in hunc modum: Ipsam in frusta diuidito, quę iugladium magnitudinem æquent: hæc prunis imponito, & ita follibus accendito vt cō- E flagrent: tùm absterso quæ insidet spurcitia reponito. Aliqui vbi ter aceto aut vino restinxêre, rursum vrunt, & hoc facto recondunt. Abluitur vt cadmia. Candor verò datur ad hunc modum: Sumito de ea quæ argyritis nominatur, aut, si desideretur, de alia quapiam in partes fa- F barū magnitudine confracta, quantum capit Attica chœnix: ac vbi fictili nouo indideris, aquam superfundito, adiectáque candidi tritici pari mensura, priuatímque hordei pugillo intra linteolū mundū & rarū de vasis auricula suspēso, coquito donec rūpatur hordeū. Deinde quū omnia in nouum craterē oris ampli G trāsfuderis, triticū quidē seorsū abiicito: spumā verò argēti infusa aqua lauato, simúlq; manibus vehemēter cōfricato: demum exemptā assiccatámq; in Thebaico mortario terito,

calidam affundens, donec ea penitus soluta fuerit. Excolata aqua, iterum tota die terito, & vesperi infusa calida finito: postero mane hác vbi eliquaueris, aliam infundito, atque ita ter die excolato. Idem septenis diebus repetito. Post id tempus additis ad singulas spumę argẽti minas quinis salis fossilis vncijs, affusáque aqua calida, ter die terito & ammixta aqua excolato. Cùm inalbuerit, calida infusa idem facito, dum nullam prorsus salsuginem resipiat. Tandem ardentissimo sole siccatam eiecto priùs humore recondito. Sin aliter voles, argyritidis spumæ minam vnam diligenter terito, deindéque addito triplo sale fossili trito in ollam nouam coniicito, infusáque aqua ita vt superemineat, moueto quotidie mane & vesperi, aquam superinfundens, priore nequaquam effusa. Hoc idem facito tricenis diebus: nanque nisi moueatur, in testæ duritiem concrescit. Posthęc effusa leniter muria, argenti spumam in Thebaico mortario terito, coniectámque in fictile infusa aqua manibus diligenter agitato: aquam subinde mutato, donec nullum salsuginis præbeat indicium. Demum quod ex argenti spuma candidum apparet in aliud vas transferto, & redactum in pastillos plumbea pyxide condito. Alij spumam argenti ad fabarum magnitudinem confractam in ventre suillo crudo ex aqua coquunt, dum viscus velut eliquescens dissoluatur, indéque exemptam & cum pari sale tritam abluunt, vti suprà dictum est. Sunt qui salis libram vnam & spumæ argenti tantundem in sole ex aqua terant, hac subinde mutata, dum candor ei concilietur. Alia ratio: Sumito quantam vis argenti spumam, ac vbi lana candida inuolueris, fictili nouo indita aqua cum fabarum recentium repurgatarumq; pugillo decoquito. Cúmque fabæ disruptę dehiscent, lanaq; denigrata fuerit, exemptam argenti spumam & altera lana

A ἐπιχέων θερμὸν ὕδωρ, ἕως ἂν διαλυθῇ, καὶ ἀπηθήσας τὸ ὕδωρ πάλιν τρῖβε δι' ὅλης τῆς ἡμέρας· εἰς ἑσπέραν δὲ ἐπιχέας ὕδωρ θερμὸν, ἔασον· καὶ πρωῒ ἀπηθήσας ἄλλο ἐπίχει, καὶ ἀπήθει τῆς ἡμέρας τρίς. τοῦτο ποίει ἐπὶ ἡμέρας ζ΄. εἶτα μίξας τῇ μνᾷ τῆς λιθαργύρου ἁλῶν ὀρικτῶν * <

B ε΄. θερμόν τε παραχέων, λέαινε τρὶς τῆς ἡμέρας, ἀπηθῶν καὶ μιγνὺς ὕδωρ. ὅταν δὲ λευκὴ γένηται, θερμὸν ἐπιχέων τὸ αὐτὸ ποίει, ἄχρις ἂν μηδεμιᾶς ἔμφασιν ἁλυκότητος ἔχῃ. καὶ ξηράνας ὀξυτάτῳ ἡλίῳ, προεκβάλλων τὴν ἰκμάδα, ἀποτίθεσο. εἰ δὲ μὴ, μνᾶν μίαν λαβὼν

C τῆς ἀργυρίτιδος, λέαινον ἐπιμελῶς. καὶ τρίψας μίξον ἁλῶν τριπλάσιον, λείων, ὀρυκτῶν· καὶ βάλλε εἰς καινὴν χύτραν. ἐπιχέας τε ὕδωρ, ὥστε ὑπερέχειν αὐτὸ, κίνει ἑκάστης ἡμέρας πρωῒ καὶ δείλης προσεπιχέων ὕδωρ, μηδὲν τοῦ προτέρου ἀποχέων. καὶ ποίει τοῦτο ἐπὶ ἡμέρας λ΄.

D μὴ κινουμένου γὰρ ἀποστρακοῦται. μετὰ δὲ ταῦτα ἀποχέας πραέως τὴν ἅλμην, ἐν Θηβαϊκῇ θυίᾳ τὴν λιθάργυρον λέαινε, καὶ βαλὼν αὐτὴν εἰς κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τε ὕδωρ, κίνει ταῖς χερσὶν ἐπιμελῶς, ἀποχέων δὲ πρότερον καὶ ἐπιχέων δὲ ἕτερον, ἄχρις ἂν μηδεμίαν ἔμφασιν

E ἁλυκότητος ἔχῃ. εἶτα ἀποχέας δὲ λευκὸν τῆς λιθαργύρου εἰς ἄλλο ἀγγεῖον, ἀναπλάσας τροχίσκους, καὶ ἀπόθου εἰς μολιβδίνην πυξίδα. οἱ δὲ, καταθραύσαντες εἰς μεγέθη κυάμων τὴν λιθάργυρον, καὶ βαλόντες εἰς χοίρειον κοιλίαν ὠμὴν ἕψουσιν ἐν ὕδατι, ἄχρις ἂν τακερωθῇ τὸ

F σπλάγχνον· εἶτα ἐξελόντες καὶ μετ' ἴσων ἁλῶν τρίψαντες, πλύνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἁλῶν λίτραν μίαν καὶ λιθαργύρου τοσοῦτον τρίβουσιν ἐν ἡλίῳ μεθ' ὕδατος, συνεχῶς ἀποχέοντες ἄχρις ἂν λευκὸν γένηται· ἢ καὶ οὕτω· λαβὼν τῆς λιθαργύρου ὅσον θέλεις, καὶ εἰλήσας

G ἐρίοις λευκοῖς, καὶ θεὶς εἰς κεραμέαν χύτραν καινὴν, ἐπιδοὺς τε ὕδωρ καὶ κυάμων καθαρῶν καὶ νέων δράκα μίαν, ἕψε. ὅταν δὲ οἱ κύαμοι διαρραγῶσι, τὸ, τε ἔριον * λεανθῇ, ἐξελὼν τὴν λιθάργυρον, " καὶ ἑτέρῳ

V. subiicit, ἐπιδοὺς ὕδωρ καὶ ἐ-[illegible]

εἰλήσας ἐρίῳ, ἐκ δευτέρου ἕψε, κύαθον ἐπιδοὺς ὕδατος, κυάμων τε τὸ ἴσον πλῆθος· καὶ τὰ αὐτὰ ποίει τοῖς προειρημένοις ἐκ τρίτου καὶ καθόλου ἕως τὸ ἔριον μηκέτι βάπτηται. καὶ τὸ λοιπὸν κατεράσας εἰς θυΐαν πρὸς < π΄. Ἀττικὰς λιθαργύρου, μίξον ἁλὸς ὀρυκτοῦ λίτραν α΄ καὶ λέαινε. διαλιπὼν τε ἐπίδες νίτρου πάνυ λευκοτάτου διαλελυμένου μεθ' ὕδατος ὁλκὰς μζ΄. καὶ πάλιν τρίβε ἄχρις ἂν ἡ λιθάργυρος ἱκανῶς λευκὴ γένηται. οὕτω δὲ *καταντλήσας αὐτὴν εἰς κεραμεοῦν πλατύστομον ἀγγεῖον, καὶ προσεπιχέας δαψιλὲς ὕδωρ, ἐάσας τε καταστῆναι, τὸ μὲν ἀπήθησον· ἕτερον δὲ ἐπιδοὺς ὕδωρ καὶ ταῖς χερσὶν ἀναταράξας, πάλιν ἐάσας καταστῆναι ἀπήθησον. ἐναλλὰξ δὲ τοῖς προειρημένοις ποίει, ἕως ἂν καθαρὸν ἄγαν τὸ ἀπορρέον ὕδωρ, καὶ γλυκὺ καὶ ἀλυκότητος ἀμέτοχον γένηται· ἐπὶ πᾶσι δὲ κατεράσας αὐτὴν εἰς λοπάδα κεραμέαν καινὴν, ἀπηθημένου πάντος περάως τοῦ ὑγροῦ, θὲς ἐν ἡλίῳ ἡμέρας μ΄. ὑπὸ κύνα, καὶ ξηράνας χρῶ. δοκεῖ δὲ ἡ πεπλυμένη ἁρμόζειν εἰς τὰ ὀφθαλμικὰ, καὶ οὐλὰς ἀπρεπεῖς, καὶ ἐρρακωμένα πρόσωπα, καὶ σπίλων ἔμπλεα.

G. alter καταγγίσας.

A obuolutam iterum coquito, cyathum aquæ & parem fabarum modum adiiciens: eadem tertiò, quæ suprà, facito, & in summa vsquedum lana non ampliùs inficiatur. Tandem trásferens in mortarium, ad octogenas spumæ argenti drachmas Atticas, singulas salis fossitij libras adiicito, & terito. Ac interie-
B cto aliquo temporis spatio nitri quàm albissimi cum aqua diluti drachmas xlvij. indito: atque iterum terito, donec argenti spuma candoris satis contraxisse videatur. Ita autem vbi fuderis eam ex alto, in fictile oris ampli affusa insuper largiore aqua, ac subsidere siueris, hanc quidem colato: nouam autem
C superadiiciens aquam, manibus probè versato, ac finito rursum vt considat: demúmque per colum traiicito. Alternis eadem prosequere, dum quæ effluit aqua valdè pura, dulcis & salsitudinis expers euaserit. Postremò in fictile nouũ translatam excolato sensim omni humore Soli quadraginta diebus sub Ca-
D niculæ sydus exponito, & siccata vtitor. Cæterùm constat elotam conferre ad oculorum medicamenta, & ad cicatricum fœditates tollendas, itémque ad facies rugosas ac maculosas.

Περὶ Ψιμμυθίου.

Κεφ. ργ΄.

Ψιμμύθιον δὲ γίνεται οὕτως· εἰς πιθάκνην πλατύστομον ἢ εἰς κεραμέαν γάστραν ἐγχέας δριμύτατον ὄξος, ἀπέρεισον μολιβδίνην πλίνθον ἐπὶ τὸ στόμα *τῆς κεραμέας, προϋποκειμένου καλαμίνου ψιαθίου· ἄνωθέν τε αὐτῆς ἐπίρριψον σκεπάσματα, πρὸς τὸ μὴ διαπνεῖσθαι τὸ ὄξος, ὡς ἂν διαλυθῇ, καὶ συγκαταρρυεῖσα διαπέσῃ. καὶ τὸ μὲν ἐπαιωρούμενον καὶ καθαρὸν ὑγρὸν ἀπήθει· τὸ δὲ *γλοιῶδες εἰς ἀγγεῖον ἐγχυτέον, καὶ ξηραντέον ἐν ἡλίῳ. εἶτα ἀλεστέον ἐν χειρομύλωνι, ἢ λεαντέον ἄλλως καὶ σηστέον, καὶ μετὰ ταῦτα λοιπὸν τὸ στερέμνιον λεπτοποιητέον καὶ σηστέον· ἐναλλὰξ τε τὰ αὐτὰ καὶ τρίτον καὶ τέταρτον ποιητέον. ἄμεινον δὲ ἐστι τὸ πρῶτον ἀποσηθὲν, ὃ καὶ εἰς τὰ ὀφθαλμικὰς παραληπτέον δυνάμεις.

G. alter, τοῦ κεραμείου

Al. ὑλῶδες

De Cerussa. Cap. CIII.

Cervssa fit hoc modo: Infuso in vrceum oris lati, aut in fictilem
E vrnam aceto quàm acerrimo, massam plumbeam ad fictilis os substrata priùs arundinea tegete firmato: superiicitóque velamina, ne quà interspiret acetum, donec illa resoluta fuerit, destillánsque ceciderit: tunc excolato humore puro qui superstat, crassamentum in vas transfundito. Hoc deinde siccan-
F dum in sole, móxque trusatili mola aliáve ratione terendum cribrandúmque. Postea quod superest duri solidíve in tenues partes redigendum, itidémque cribrandum: vicissim eadem tertiò quartóque facienda. Melior quæ prima cribro excreta est, & hæc quoque ad me-
G dicamenta oculorum assumenda.

A Secundum locum tenet sequens, ac deinceps reliquæ suo ordine. Nec desunt qui firmata circa mediũ vas matta scirpea, ita vt acetum penè contingat, laminá massámve plumbeam superimponunt, ac indito operculo circumlitóque dimittunt. Post dies decem amoto operculo inspiciunt, ac siquidem resoluta materia fuerit, reliqua, vti suprà diximus, B exequuntur. Quòd si quis eam velit in pastillos digerere, aceto acri subigenda, móxque diuidenda in pastillos, qui siccentur in sole. Æstate tamen supradictum opus obeundum est: ita enim candida atque efficax redditur. Sed & hyeme paratur, vrceis supra furnos, balnea C aut fornaces impositis: qui enim sursum fertur calor, idem quod sol præstat. Porrò laudatissima censenda quæ fit in Rhodo, Corinthi aut Lacedæmone: proxima, quæ Puteolis. Torretur autem hoc modo: Flagrantibus igni carbonibus fictile nouum, maximéque Atticum, imponito, eíque tritam cerussam in D spergito, & assiduè versato: cúmque cinereum colorem traxerit, exemptam refrigerato, atque ita vtitor. Vrere verò si libuerit, tritam concauæ patinæ indito, & prunis impositam ferulacea rudicula misceto, donec similis sandarachæ fiat, extractáque vtitor. Quæ verò ita parata est, sandyx à quibusdam appellatur. E Lauatur itidem cerussa cadmiæ modo. Vis ei refrigerare, spiracula cutis obducere, mollire, explere & attenuare, insupérque excrescentia leniter reprimere, & cicatricem inducere: in eósque vsus miscetur ceratis & emplastris lenibus quæ lipara vocantur, itémque pastillis. Sed ex F eorum est genere, quæ (sumpta) lethalem vim obtinent.

De Chrysocolla. Cap. C IIII.

CHRYSOCOLLA laudatissima Armeniaca, colorem porri lætè virentis quàm simillimè reddens. Secundum locum sibi vendicat Macedonica, & proximum huic Cypria: quo in genere præferenda quę pura est. Damnatur quæ terram & G calculos collegerit. Porrò antedictæ lauandæ ratio hæc est: Tusam inijce in mortarium, & affusa aqua ad pilam expassa manu

δεύτερον δὲ τὸ ἐχόμενον, καὶ κατὰ τάξιν τὰ λοιπά. " τινὲς δὲ κατὰ μέσον τὸ ἀγγεῖον κατερείσαντες, τὸν ῥίπον ἐπιτιθέασιν, ὡς μικρὸν ψαύειν τοῦ ὄξους. τὸ δὲ στόμα αὐτοῦ πωμάσαντες καὶ περιχρίσαντες ἐῶσι. καὶ δι' * ἡμερῶν ἀφαιρούμενοι τὸ πῶμα ἐπισκοποῦνται· ὅτε δὲ διαλυθῇ, τὰ ἄλλα ποιοῦσιν ὁμοίως τοῖς προειρημένοις. εἰ δὲ ἀναπλάσαι τις αὐτὸ ἐθέλει, ὄξει δριμεῖ φυρατέον, καὶ οὕτως ἀναπλαστέον, καὶ ξηραντέον ἐν ἡλίῳ. θέρους μέντοι ἐργαστέον τὰ προειρημένα. οὕτω γὰρ λευκὸν καὶ ἐνεργὲς γίνεται. σκευάζεται δὲ καὶ χειμῶνος, τῶν πιθακνῶν ὑπεράνω ἰπνῶν ἢ βαλανείων ἢ καμίνων τιθεμένων· ἡ γὰρ * ἄνωθεν φερομένη θερμασία τὸ αὐτὸ δρᾷ τῷ ἡλίῳ. κάλλιστον δὲ ἡγητέον τὸ ἐν Ῥόδῳ σκευασθέν, ἢ ἐν Κορίνθῳ, ἢ ἐν Λακεδαίμονι. δεύτερον δὲ τὸ ἐκ Δικαιαρχίας. ὀπτητέον δὲ αὐτὸ τὸν τρόπον τοῦτον. ἐπ' ἀνθράκων πεπυρωμένων θεὶς ὄστρακον καινὸν [" καὶ μάλιστα Ἀττικὸν] * ἔμπασσον λεῖον τὸ ψιμμύθιον, καὶ κίνει συνεχῶς. ὅταν δὲ τῇ χρόᾳ ἔνσποδον γένηται, ἀνελόμενος ψῦχε καὶ χρῶ. καῦσαι δὲ θέλων, εἰς κοίλην λοπάδα λεῖον ἀπόθου, ἐπιθείς τε ἐπὶ τοὺς ἄνθρακας, νάρθηκι κίνει ἕως ἂν τὴν χρόαν ἐοικὸς σανδαράχῃ γένηται· καὶ ἀνελόμενος χρῶ. τὸ δὲ οὕτω σκευασθέν, σάνδυξ ὑπό τινων λέγεται. πλύνεται δὲ τὸ ψιμμύθιον ὁμοίως τῇ καδμείᾳ. Δύναμιν δὲ ἔχει ψυκτικήν, ἐμπλαστικήν, μαλακτικήν, πληρωτικήν, λεπτυντικήν· ἔτι τε πράως καταστατικὴν ὑπεροχῶν, καὶ " κατουλωτικήν, μιγνύμενον κηρωταῖς καὶ λιπαραῖς ἐμπλάστροις, καὶ τροχίσκοις. ἔστι δὲ καὶ τῶν ἀναιρετικῶν.

Περὶ Χρυσοκόλλης. Κεφ. ρδ'.

ΧΡΥΣΟΚΟΛΛΑ δὲ διαφέρει ἡ Ἀρμενιακή, τῇ χρόᾳ κατακόρως πρασίζουσα· δευτερεύει δὲ ἡ Μακεδονική, εἶτα ἡ Κυπρία, καὶ ταύτης τὴν καθαρὰν προκριτέον· τὴν δὲ γῆς καὶ λίθων ἔμπλεων ἀποδοκιμαστέον. πλυτέον τε τὴν προειρημένην οὕτω· κόψας αὐτὴν ἔμβαλε εἰς θυίαν, καὶ ἐπιχέας ὕδωρ τρῖβε πλατείᾳ τῇ χειρὶ πρὸς

G. hic locus sic legitur in veterib. τινὲς δὲ κατὰ μέσον τοῦ ἀγγείου κρεμῶσι ξύλον, καὶ ἐπὶ τὸ καλούμενον ῥίζιν ἐπιτιθέασιν ὡς μὴ ψαύειν τοῦ ὄξους. al. τὸν καλούμενον ῥίπον ἐπι.

V. caret.

V. ἐπουλωτικήν

τὴν ἴγδην εὐτόνως. εἶτα ἐάσας ἀποκαταστῆναι, ἀπήθησον. καὶ ἕτερον ἐπιχέας ὕδωρ, πάλιν τρῖβε· ταῦτα δὲ ποίει ἐναλλὰξ, ἕως καθαρὰ καὶ εἰλικρινὴς γένηται. λοιπὸν ξηράνας ἐν ἡλίῳ, ἀποτίθεσο, καὶ χρῶ. ἐὰν δὲ καῦσαι θέλῃς, καῖε τὸν τρόπον τοῦτον. λεάνας αὐτῆς τὸ αὔταρκες, ἐπίθες εἰς τήγανον, καὶ ἀπόθου ἐπ᾽ ἀνθράκων, καὶ τὰ ἄλλα ποίει ὡς προείρηται ἐπὶ τῶν πρὸ αὐτοῦ. Δύναμιν δὲ ἔχει ἡ χρυσοκόλλα σμηκτικὴν οὐλῶν, καταστaλτικὴν σαρκωμάτων, καὶ ἀνακαθαρτικήν, συσταλτικήν τε [καὶ θερμαντικὴν, σηπτικὴν] πρᾴως μετὰ τοῦ ἐπὶ ποσὸν δάκνειν. ἔστι δὲ καὶ τῶν ἔμετον κινούντων, καὶ ἀναιρεῖν δυναμένων.

V. his caret.

A vehemẽter affricato: mox vbi considere permiſeris, excolato. Alteram infundens aquam, ruſum terito: atque hæc viciſſim repetito, donec pura ſinceráq; ſpectetur. Tandẽ ſiccato in ſole, & ad vſus recondito. Quod ſi vrere volueris, vrito in hũc modum: Vbi ex ea triueris quantũ ſat eſſe videbitur, *patellæ ſupra car- B bones imponito, & alia facito quæ in vrendis antè memoratis metallicis recenſita fuere. Vis chryſocollæ cicatrices exterere, excreſcentes carnes coercere, itémque repurgare, aſtringere, excalfacere, & cum aliquantula mordacitate leniter exedere. Eſt verò ex eorum genere quæ vomitiones concitant & necẽ, C inferre poſſunt.

sartagini.

Περὶ Ἀρμενίου.* Κεφ. ρέ.

ΑΡΜΕΝΙΟΝ δὲ προκριτέον τὸ λεῖον καὶ τὸ χρῶμα κυάνεον, ὁμαλόν τε ἄγαν καὶ ἄλιθον, εὔθρυπτον. Τὰ αὐτὰ ποιεῖ τῇ χρυσοκόλλῃ, περὶ τὴν εὐτονίαν μόνον λειπόμενον αὐτῆς. ἔστι δὲ καὶ τῶν ἐν βλεφάροις τριχῶν αὐξητικόν.

De Armenio. *Cap. CV.*

ARMENIVM præferendum quod eſt læue, colore cæruleo, perquàm æquabile, calculorum expers atque friabile. Eadem quæ Chryſocolla præſtat: diſtat hoc vno, quòd eſt inefficacior. Sed & vſum habet D ad pilos in palpebris *augendos.

Pl. alopec.

Περὶ Κυανοῦ. Κεφ. ρϛ'.

ΚΥΑΝΟΣ ὁ γεννᾶται μὲν ἐν Κύπρῳ ἐκ τῶν χαλκουργῶν μετάλλων· ὁ δὲ πλείων ἐκ τῆς αἰγιαλίτιδος ἄμμου,* εὑρισκόμενος κατά τινας σπηλαιώδεις ὑποσκαφὰς τῆς θαλάσσης, ὅ τις καὶ διαφέρει. προκριτέον δὲ τὸν σφόδρα κατακορῆ. καυστέον δὲ ὡς χαλκῖτιν, καὶ πλυτέον ὡς καδμείαν. Δύναμιν δὲ ἔχει καταστaλτικὴν καὶ μετρίως σηπτικὴν, ἐσχαρωτικήν τε καὶ ἑλκωματικήν.

De Cyano ſiue cæruleo. *Cap. CVI.*

CYANVS in Cypro quidem procreatur ex ærariis metallis, at copioſior ex arena littorali temperatur, quæ quidem ſecundum quaſdam ſpeluncarum inſtar excauatas E maris ſuffoſſiones inuenitur: & hîc quoque magis probatur. Eligi debet qui valdè ſaturo eſt colore. Vritur porrò, vt chalcitis, & lauatur, vti cadmia. Vis reprimere & modicè exedere, cruſtas gignere & exulcerare.

Περὶ Ἰνδικοῦ.* Κεφ. ρζ'.

ΤΟΥ δὲ λεγομένου Ἰνδικοῦ, τὸ μὲν αὐτομάτως γίνεται, οἱονεὶ "ἔκβρασμα ὂν τῶν Ἰνδικῶν καλάμων. τὸ δὲ βαφικόν ἐστιν, ἐπάνθισμα πορφυροῦν ἐπαιωρούμενον τοῖς χαλκείοις, ὃν ἀποσύραντες ξηραίνουσιν οἱ τεχνῖται. ἄριστον δὲ ἡγητέον εἶναι τὸ κυανοειδές τε καὶ ἔγχυλον, λεῖον. Ἔστι δὲ τῶν στυφόντων ἐλαφρῶς καὶ ῥησσόντων φλεγμονὰς καὶ οἰδήματα· ἀνακαθαίρει δὲ καὶ καταστέλλει ἕλκη.

G. alter, ἐκβλάστημα

De Indico. *Cap. CVII.*

F EX Indici generibus vnum ſponte naturæ prouenit, veluti ſpuma mariſue eiectamentum, Indicis arundinibus adhæreſcens: alterum dant infectorum officinæ, éſtque purpureus quaſi flos æreis innatans cortinis, quem deraſum artifices ſiccant. Optimum porrò cenſendum quod cærulei ſpeciem præbet, G atque etiam ſuccoſum eſt ac læue. Inter medicamenta eſt quæ leuiter aſtringunt, & inflammationes ac œdemata rumpunt. Vlcera quoque purgat & reprimit.

De Ochra. Cap. CVIII.

OCHRAM eligere oportet leuissimam ac penitus luteam, saturo colore, minimè lapidosam, friabilem & natione Atticam. Vrenda etiam & lauanda hæc est, cadmiæ modo. Vis eius putrefaciendo excedere, inflammationes & tubercula dissipare, excrescentia in carne reprimere, caua cum cerato explere, & callos articulorúmve tophos cōminuere.

De Cinnabari. Cap. CIX.

CINNABARIM falsò putant nonnulli cum eo quod minium appellatur vnum & idem esse. Minium enim in Hispania ex lapide quodam argentariæ arenæ permisto temperatur. Lapis is haud alioqui cognoscitur: sed dum in fornace excoquitur, in floridissimum ardentissimúmque colorem transit. Halitum verò in metallis strangulantem expirat: ideóque metallici faciem vesicis obuelant, vt per illas spectent, neque tamen vaporem noxium respirando trahant. Inde parato minio pictores ad sumptuosa parietum ornamenta vtuntur. Cinnabaris autem de qua hic agitur, ex Africa quidem inuehitur, at magno constat, & vsque adeo rara est, vix vt versicoloribus pictorum lineis satisfaciat. Est porrò altè & abundè colorata, & eam ob causam quidam sanguinem esse draconis existimauerunt. Vim habet Cinnabaris eandem quam lapis hæmatites, ad oculorum medicamenta vtilem, imò etiam efficaciorem: magis enim astringit & sanguinem cohibet. Igni quoque ambustis & papularum eruptionibus cerato excepta medetur.

De Hydrargyro, seu argento viuo. Cap. CX.

FIT Argentum viuum è minio, quod & ipsum abusiuè Cinnabaris dicitur. Imposita siquidem patinæ fictili concha ferrea Cinnabarim continente, calycem seu operculum adaptant, quod vndique luto superillinunt, deindéque carbonibus succendunt. Tum quæ calyci adhærescit ˇ fuligo, derasa refrigerataque in argentum viuum coit. Quinetiam ˇ inuenitur quod, dum

Περὶ Ὤχρας. Κεφ. ρη'.

A Ὤχραν δὲ ληπτέον τὴν κουφοτάτην, καὶ μηλίνην δι' ὅλου· κατακορῆ δὲ καὶ ἄλιθον καὶ εὔθρυπτον, Ἀττικὴν δὲ τῷ γένει. καυστέον δὲ καὶ πλυτέον καὶ ταύτην ὡς τὴν καδμείαν. Δύναμιν δὲ ἔχει ˇ σηπτικήν, σκεδαστικὴν φλεγμονῶν καὶ φυμάτων· καταστέλλει τε τὰ ὑπερσαρκοῦντα· καὶ τὰ B κοῖλα πληροῖ ˇ σὺν κηρωτῇ, καὶ πώρους θρύπτει.

Add. in quibusdam συπτικήν. sunt qui συπτικὴν tantùm legant.

G. verba hæc σὺν κηρωτῇ non sunt in altero, quæ etiam Hermolaus non agnoscit.

Περὶ Κινναβάρεως. Κεφ. ρθ'.

Κινναβαρι οἴονταί τινες ταὐτὸν ὑπάρχειν τῷ καλουμένῳ ˇ ἀμμίῳ, πλανώμενοι· τὸ μὲν γὰρ ἄμμιον σκευάζεται ἐν C Ἰσπανίᾳ, ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρίτιδι ψάμμῳ, ˇ ἄλλως δὲ οὐ γινώσκεται. ˇ ἐν δὲ τῇ χώνῃ μεταβάλλει εἰς εὐανθέστατον καὶ φλογωδέστατον χρῶμα· ἔχει δὲ τὴν ἀποφορὰν ἐν τοῖς μετάλλοις πνιγώδη. περιτίθενται γοῦν οἱ ἐπιχώριοι τοῖς προσώποις φύσας, πρὸς τὸ βλέπειν μὲν, μὴ D σπᾶν δὲ τὸν ἀέρα. χρῶνται δὲ αὐτῷ οἱ ζωγράφοι εἰς τὰς πολυτελεῖς τῶν τοίχων ˇ ἐκκοσμήσεις. Τὸ δὲ κιννάβαρι τοῦτο κομίζεται μὲν ἀπὸ Λιβύης, πιπράσκεται δὲ πολλοῦ· καὶ τοσοῦτόν ἐστιν, ὡς μόλις ἐξαρκεῖν τοῖς ζωγράφοις εἰς τὴν ἐν ταῖς γραμμαῖς ποικιλίαν. ἔστι δὲ καὶ * βαρύχροον, ἢ βα- E θύχροον· ὅθεν ἐνόμισάν τινες αὐτὸ εἶναι αἷμα ˇ δράκοντος. Δύναμιν δὲ ἔχει τὸ κιννάβαρι τὴν αὐτὴν τῷ αἱματίτῃ, ἁρμόζον εἰς ὀφθαλμικά, πλὴν ἐπιτεταμένως· μᾶλλον γὰρ στυφόν ἐστι καὶ ἴσχαιμον· καὶ πυρίκαυστα καὶ ἐξανθήματα ἀναληφθὲν κηρωτῇ θεραπεύει.

G. alter μιλτῷ. quam scripturā Hermolaus retinet.

Aliquid hoc loco desiderari suspicatur Marcellus.

V. ἐν δὲ καμίνοις ἅπες ἐν τῇ χώνῃ

V. ἱμφάσεις

Al. δράκοντος

F Περὶ Ὑδραργύρου. Κεφ. ρι'.

Ὑδράργυρος δὲ σκευάζεται ἀπὸ τοῦ ˇ ἀμμίου λεγομένου, καταχρηστικῶς δὲ καὶ τούτου κινναβάρεως λεγομένου. θέντες γὰρ ἐπὶ λοπάδος κεραμέας κόγχην σιδηρᾶν ἔχουσαν κιννάβαρι, περικαθάπτουσιν ἄμβικα περιαλείψαντες πηλῷ, G εἶτα ὑποκαίουσιν ἄνθραξιν· ἡ γὰρ προσιζοῦσα τῷ ἄμβικι αἰθάλη * ἀποξυσθεῖσα καὶ ἀποψυχθεῖσα, ὑδράργυρος γίνεται. εὑρίσκεται δὲ καὶ ἐν τῷ μεταλλεύεσθαι τὸν

Ald. ἀμμίου

ἄργυρον ἐν ταῖς στέγαις κατὰ σταλαγμοὺς συνεστῶσα· ἔνιοι δὲ ἱστοροῦσι καὶ καθ' ἑαυτὴν ἐν τοῖς μετάλλοις εὑρίσκεσθαι τὴν ὑδράργυρον. φυλάττεται δὲ ἐν ὑελίνοις ἢ μολιβδίνοις ἢ κασσιτερίνοις ἢ ἀργυρέοις ἀγγείοις· τὴν γὰρ ἄλλην ὕλην πᾶσαν διεσθίει, καὶ ποιεῖ ἀπορρεῖν. Δύναμιν δὲ ἔχει φθαρτικὴν ποθεῖσα τῷ βάρει διαβιβρώσκουσα τὰ ἐντός. βοηθεῖται δὲ γάλακτι πολλῷ πινομένῳ καὶ ἐξεμουμένῳ, ἢ οἴνῳ σὺν ἀψινθίῳ, ἢ ἀφεψήματι σελίνου, ἢ ὁρμίνου σπέρματι ἢ ὀριγάνῳ, ἢ ὑσσώπῳ σὺν οἴνῳ. [ῥίνημα δὲ χρυσοῦ, τουτέστι ξύσμα λεπτότατον, πινόμενον, ὑδραργύρου ἐστὶ θαυμαστὸν βοήθημα.]

Ista quæ ad capitis calcem conclusa sunt, adduntur ex veteribus libris & interpretibus.

Περὶ Μίλτου Σινωπικῆς. Κεφ. ρια΄.

Μίλτος Σινωπικὴ κρατίστη ἡ πυκνή, καὶ βαρεῖα, ἡπατίζουσα, ἄλιθος, ὁμόχρους, πολύχυτος ἐν τῇ διέσει. συλλέγεται δὲ ἐν τῇ Καππαδοκίᾳ ἐν σπηλαίοις τισί. διυλίζεται δὲ καὶ φέρεται εἰς Σινώπην καὶ πιπράσκεται. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. Δύναμιν δὲ ἔχει ξηραντικήν, ἐμπλαστικήν· διὸ καὶ ἐμπλάστροις τραυματικαῖς μίγνυται, καὶ τροχίσκοις ξηραντικοῖς καὶ στεγνωτικοῖς. ἵστησι δὲ καὶ κοιλίαν ἐν ᾠῷ λαμβανομένη καὶ ἐγκλυζομένη· δίδοται καὶ ἡπατικοῖς.

Al. συπτικὴν,

Περὶ Τεκτονικῆς. Κεφ. ριβ΄.

Ἡ δὲ τεκτονικὴ ἥττων ἐστὶ κατὰ πάντα τῆς Σινωπικῆς· ἀρίστη δὲ ἡ Αἰγυπτιακὴ καὶ ἡ Καρχηδονική, ἄλιθος, εὔθρυπτος. γίνεται καὶ ἐν τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ, τῆς * ὤχρας καιομένης [καὶ μεταβαλλούσης] εἰς μίλτον.

V. inferit, μίλτος

V. caret.

Περὶ Λημνίας γῆς. Κεφ. ριγ΄.

Ἡ δὲ Λημνία λεγομένη γῆ, ἔστιν ἔκ τινος ὑπονόμου ἀντρώδους, ἀναφερομένη ἀπὸ Λήμνου τῆς νήσου, ἐχούσης ἑλώδη τόπον, κἀκεῖθεν ἐκλέγεται καὶ μίγνυται αἵματι αἰγείῳ· ἣν οἱ ἐκεῖ ἄνθρωποι ἀναπλάσσοντες καὶ σφραγίζοντες εἰκόνι αἰγός, σφραγῖδα καλοῦσιν αἰγός. Δύναμιν δὲ ἔχει ἀντιδότου θανασίμων φαρμάκων ἔξοχον, πινομένη σὺν οἴνῳ, καὶ προληφθεῖσα ἐξεμεῖσθαι ἀναγκάζει τὰ δηλητήρια.

A conflatur argentum, in tectis guttatim concreuit. Sunt & qui argentum viuum per sese in metallis inueniri tradant. Asseruatur porrò in vitreis, plumbeis, stanneisve aut argenteis vasis: quandoquidem aliã omnem materiam ita exest, vt permanet atque præterfluat. Cæterùm potum vim pernicialem habet: suo B enim pődere interna perrodit. Remedio est lac copiosũ subinde potum & vomitionibus reiectum, aut vinum cum absinthio, aut apij decoctum: aut semen hormini, aut origanum vel hyssopum cum vino. [Auri limata scobs, id est, ramentum quam tenuissimum, epota mirabili est contra hydrargyrum auxilio.] C

De rubrica Sinopica. Cap. CXI.

Rubrica Sinopis maximè probatur densa, grauis, iocineris colorem referens, calculorum expers, concolor, quæque dum diluitur longè latéque diffundi solet. Effoditur in Cappadocia spelũcis quibusdam, expurgatáque defertur in D Sinopem vrbem, in qua vænundatur: atque inde etiam cognomentum accepit. Vim habet exiccatoriam & emplasticam: quapropter vulnerarijs emplastris cõmiscetur, vti etiam pastillis exiccantibus & adstrictorijs. Aluum quoque sistit tum ex ouo sumpta, tũ etiam clystere infusa. Datur & eadẽ hepaticis.

De Rubrica fabrili. Cap. CXII.

E Rubrica fabrilis ad omnia Sinopide inferior est. Optima Ægyptia & Carthaginensis, calculorum expers atque friabilis. Nascitur & in Iberia quæ ad occidentem spectat. Fit quoque, exusta ochra & degenerante in rubricam.

De Lemnia terra. Cap. CXIII.

F Lemnia terra defertur è cuniculoso quodam specu Lemni insulæ, in quo nascitur. Scilicet palustris inibi locus est, è quo eruitur & hircino sanguini permiscetur. Hanc dein incolæ coactam in pastillos capræ imagine signant: vnde & sphragida ægos, hoc est, capræ sigillum G appellauêre. Vim antidoti habet cõtra perniciosa venena singularẽ. Siquidẽ pota cum vino & præsumpta, foras venena vomitione pellit.

Prodest & contra ictus morsúsque animalium, quæ exitiale virus eiaculantur. Antidotis quoque immiscetur. Sunt qui hac etiam ad expiationes vtuntur. Est & eadem dysenteriæ vtilis.

De Atramento sutorio. Cap. CXIIII.

ATRAMENTVM sutorium genere quidem vnum & idem est, siquidem liquor est concretus: at speciales differentias tres habet. Enimuerò vnum liquoribus stillatim in cuniculos quosdam percolatis concrescit: quamobrem ab ijs qui Cypria metalla tractant, stillatitium appellatur. Peteesius hocipsum pinarium vocat: alij stalacticon, id est, stillatitium. Alterum latenter stagnat in speluncis, posteáque trãsfusum in excauatas scrobes, concrementum capessit: hoc iccirco pecton, id est, concretitium propriè nominatur. Tertium coctile dicitur, & in Hispania confici solet, sed maximè decolor & bonitate deterrimum esse constat. Ratio parandi hæc est: Dilutum aqua decoquunt, mox in * conceptacula transfusum residere patiuntur. Hoc statis diebus cogitur, & in complures diuiditur tessellatas formulas, quæ quidem racematim inter se cohærescunt. Optimum censetur, quod cæruleum est ac ponderosum, densum & * translucens: cuiusmodi stillatitium est, quod ab aliis lonchoton, quasi lanceatum, appellatur. Proximum, concretitium. Coctile verò inficiendis denigrandísque pannis aptius cæteris esse compertum est: sed ad medicinæ vsum inualidius esse experimenta docent. Valet adstringere, calfacere & crustas inducere. Lata ventris animalia necat drachmæ pondere deuoratum, aut cum melle delinctũ: vomitus ciet: & aduersus hausta fungorum venena ex aqua potum auxiliatur. Purgat & caput aqua dilutum, & in vellere naribus instillatum. Cæterùm vritur, vti mox in chalcitidis mentione ostendemus.

Pl. piscinas ligneas

Plin. perquam pellucidi vitri.

De Chalciti. Cap. CXV.

PRÆFERENDA Chalcitis æris speciem referẽs, friabilis, nec lapidosa, nec inueterata, intercursan-

A ἁρμόζει δὲ καὶ πρὸς τὰς τῶν θανασίμων ἰοβόλων πληγὰς καὶ δήξεις. μίγνυται δὲ καὶ ἀντιδότοις. χρῶνται δέ τινες καὶ εἰς τελετὰς αὐτῇ. ἔστι δὲ καὶ δυσεντερίαις χρήσιμος.

Περὶ Χαλκάνθου. Κεφ. ριδʹ.

ΧΑΛΚΑΝΘΟΝ τῷ μὲν γένει ἓν καὶ ταυτὸν ὑπάρχει. ὑγρὸν γάρ ἐστι πεπηγός· εἰδικὰς δὲ ἔχει διαφορὰς τρεῖς. τὸ B μὲν γὰρ κατὰ σταλαγμὸν διηθουμένων ὑγρῶν εἴς τινας ὑπονόμους συνίσταται· ὅθεν καὶ σταλακτὶς καλεῖται ὑπὸ τῶν τὰ Κυπριακὰ μέταλλα ἐργαζομένων. Πετεήσιος δὲ αὐτὸ καλεῖ πινάριον· τινὲς δέ, σταλακτικόν, [πηκτόν, *ἑφθόν, ἀραχνόν, λογχωτόν.] τὸ δέ, *ἀφανῶς λιμναζόμενον ἐν σπηλαίοις, C ἔπειτα μεταχεόμενον εἰς βόθρους, τὴν πῆξιν λαμβάνει. ὃ δὴ καὶ πηκτὸν ἰδίως ὀνομάζεται. τὸ δὲ τρίτον, καλεῖται μὲν ἑφθόν. σκευάζεται δὲ ἐν Ἱσπανίᾳ. σκευὴν δὲ ἔχει τοιαύτην, *ἀχρηστόν τε καὶ ἀσθενέστατον ὑπάρχον. ὕδατι διέντες αὐτὸ ἕψουσιν, εἶτα D εἰς τὰς δεξαμενὰς κατεράσαντες, ἐῶσι. τοῦτο δὴ πήγνυται τεταγμέναις ἡμέραις, εἰς πολλὰ διαιρούμενον κυβοειδῆ σχήματα, βοτρυδὸν ἀλλήλοις *προσεχόμενα. ἄριστον δὲ αὐτοῦ ἡγητέον τὸ κυάνεον καὶ βαρύ, *πηκτόν τε καὶ διαυγές· οἷόν ἐστι τὸ σταλακτόν, ὑπὸ ἄλλων δὲ λογχωτὸν καλού- E μενον· ἐχόμενον δέ, τὸ *πηκτόν. τὸ δὲ ἑφθόν, πρὸς μὲν βαφὰς καὶ μελάσματα *ἐπιτηδειότερον τῶν ἄλλων δοκεῖ εἶναι· πρὸς δὲ ἰατρικήν, ἀσθενέστερον ἡ πεῖρα δείκνυσι. Δύναται δὲ στύφειν, θερμαίνειν, ἐσχαροῦν· ἕλμινθας πλατείας ἀναιρεῖν < α. βάρος καταπινόμενον, ἢ μετὰ μέλιτος ἐκλειχό- F μενον· ἐμέτους τε κινεῖ· καὶ μύκητας λαβοῦσι βοηθεῖ σὺν ὕδατι ποθέν· κεφαλήν τε καθαίρει ἐνεθὲν ὕδατι, καὶ δι' ἐρίου ῥινεγχυτούμενον. καίεται δέ, ὡς ὑποδείξομεν αὐτίκα ἐπὶ τῆς χαλκίτεως.

Sic Lacuna legit invet. cod. Vulg. ex. ἁπλῶς ἐργαζομένων. V. quidam ἀφθόνως ἡλιαζόμενον.

G. alter ἀχρούστατον. quam scripturam Hermolaus non sine iudicio retinuit, itémque Lacuna.

G. alter, συνεχόμενα, quod verbum huic accommodatius est. Orib. πυκνόν τε καὶ καθαρὸν

Ald. πυκτόν.

V. δόκιμον.

Περὶ Χαλκίτεως. Κεφ. ριεʹ.

G ΧΑΛΚΙΤΙΝ προκριτέον τὴν χαλκοειδῆ καὶ εὔθρυπτον, ἄλιθόν τε καὶ οὐ παλαιάν, ἔτι δὲ τὰς ἶνας ἐπιμήκεις καὶ

ἀποστίλβούσας ἔχουσαν. Δύναμιν δὲ ἔχει A "στυπτικὴν τε καὶ θερμαντικὴν, καὶ ἐσχαρωτικήν· ἀποκαθαρτικὴν τῶν περὶ κανθοὺς καὶ ὄμματα. ἔστι δὲ καὶ τῶν μετρίως *σηπόντων. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα, ἕρπητας· αἱμορραγίας τὰς ἐξ ὑστέρας καὶ μυκτήρων σὺν πράσου χυλῷ· ξηρὰ δὲ πρός τε ἐπουλίδας καὶ νομὰς καὶ παρίσθμια. κεκαυμένη δὲ, πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον χρησιμεύει λεία σὺν μέλιτι. τετυλωμένα μὲν βλέφαρα καὶ τραχέα ἀποτήκει καὶ σμήχει. σύριγγας δὲ αἴρει ἐν κολλυρίου σχήματι ἐντιθεμένη. B

G. V. ῥυπτικὴν, vt Ruellius expressit. Sed vulgatam scripturā rectam esse, ex Galeno intelligitur.

Περὶ Ψωρικοῦ. Κεφ. ρις'.

Σκευάζεται δὲ ἐξ αὐτῆς τὸ καλούμενον ψωρικὸν, διπλασίονος χαλκίτεως πρὸς ἁπλῆν καδμείαν μιγνυμένου, καὶ σὺν ὄξει λεαινομένου· δεῖ δὲ ἐν κεραμέῳ ἀγγείῳ κατορύσσειν ἐν κοπρίᾳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡμέρας μ'. γίνεται δὲ δριμύτερον, δυνάμενον ὅσα καὶ ἡ χαλκῖτις. C ἔνιοι δὲ ἴσα μίξαντες οἴνῳ λεαίνουσι, καὶ τὰ αὐτὰ ποιοῦσι. καυστέον δὲ αὐτὴν ἐν ὀστράκῳ καινῷ ἐντιθέντας, καὶ διαπύροις ἄνθραξιν ἀμφιεσαμένους. μέτρον δὲ ἔσω τῆς καύσεως, ἐπὶ μὲν τῶν πολυύγρων, τὸ ἀπομφολύγωτον τε καλῶς ξηρὸν γίνεσθαι· ἐπὶ δὲ τῶν λοιπῶν, ἡ ἐπὶ τὸ εὐανθέστερον μεταβολή. ὅταν γὰρ "αἱματώδης καὶ μιλτώδης γένηται τὴν χρόαν κατὰ βάθος, ἀναιρετέον αὐτήν. τήν τε προσκαθημένην ἀκαθαρσίαν ἀποφυσητέον καὶ ἀποθετέον. ὀπτᾶται δὲ ἐπ' ἀνθράκων ἐμφυσωμένων, μέχρι τοῦ ὕπωχρον αὐτὴν γίνεσθαι· ἢ ἐπ' ὀστράκου καὶ διαπύρων ἀνθράκων στρεφομένη πυκνῶς, ἕως ἂν πυρωθῇ καὶ μεταβάλλῃ τὴν χρόαν. D E F

Sic vetus cod. at vulg. ex. simpliciter habent μιλτώδης

Περὶ Μίσυος. Κεφ. ριζ'.

Μίσυ δὲ παραληπτέον τὸ Κύπριον, χρυσοφανὲς, σκληρὸν, καὶ ἐν τῷ θραυσθῆναι χρυσίζον, καὶ ἀποστίλβον ἀστεροειδῶς. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τῇ χαλκίτιδι, δίχα τῆς τοῦ ψωρικοῦ G κατασκευῆς, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρον. τὸ δὲ Αἰγύπτιον, πρὸς μὲν τ'

tibus venis oblongis splẽdentibúsque. Huic adstrictoria vis est, excalfaciens & crustas vlceribus obducens: repurgat quæ oculis & eorundem angulis hærent. Est & in genere leuiter exedentium. Quinetiam efficax est ad erysipelata & herpetas, itémque sanguinis è vulua & naribus eruptiones cum porri succo. Eius farina gingiuas excrescentes, nomas, tonsillásque compescit: vsta eadem & cum melle trita, oculorum medicamentis longè vtilior redditur. Callum quidem scabritiémque palpebrarum absumit abstergítque: fistulas verò collyrij modo indita sanat.

De Psorico. Cap. CXVI.

Efficitur porrò ex ipsa medicamentum, psoricum dictum, duabus eius partibus "vni cadmiæ additis, & ex aceto tritis. Oportet autem in fictile coniici, quod fimo obruatur diebus quadraginta per Caniculæ ardores. Sic enim medicamentum acrius euadit, atque idẽ quod chalcitis potest. Sunt qui mixtas pares vtriusque portiones in vino terunt, & eadem illa prosequuntur. Vritur Chalcitis fictili nouo indita, & ignitis carbonibus imposita. Sit verò modus vstionis, metallicorum quæ quidem humore multo abundauerint, dum bullulas edere desierint, ac perfectè inaruerint: reliquorum verò, dum in floridiorem colorem mutata fuerint. Cùm ergo chalcitis sanguineum ac miniatum colorem interiùs altiúsve contraxerit, tùm demum igni eximenda est: mox insidente spurcitia flatu depulsa reponenda est. Torretur etiamnum perflatis carbonibus, vsquedum subluteo colore pallescat, aut fictili subditis candentibus prunis subinde versata, donec ignescat colorémque mutet.

Vel [illegible]

De Misy. Cap. CXVII.

Misy assumendum natione Cyprium, auri speciem præ se ferens ac durum, quódque dum friatur aureis micet scintillis, ac stellæ modo radiet splendescátve. Vstionem autem ac vim etiam habet cum Chalcitide eandẽ, preterquàm quòd psoricum ex eo non conficitur, intensiorísque ac remissioris facultatis ratione hoc ab illa differt. Ægyptium porrò ad cætera quidem præ-

fertur; tanquam efficacius: sed ad oculaia medicamenta, supradicto longè inferius est.

De Melanteria seu atramento metallico. *Cap. CXVIII.*

MELANTERIA quædam in faucibus fodinarũ, quibus æs erutũ fuerit, salsuginis modo cõcrescit: altera verò in summa facie supradictorum locorum coit, quæ quidem etiam terrena est. Sed & inuenitur in Cilicia, & aliis quibusdam regionibus, fossilis quædã. Præstat in Melanteriæ genere, quæ sulphurei est coloris, læuis, æquabilis, pura, & quę contactu aquæ confestim nigrescit. Cæterùm vim causticam eandem obtinet, quam & misy.

De Sory. *Cap. CXIX.*

SORY existimauere nonnulli esse melanteriam, sed falsò: siquidem peculiare genus est, illi tamen haud ita dissimile. Verùm Sory virosum magis est, ac nauseam mouet. Inuenitur in Ægypto & aliis quibusdam regionibus, vt & in Africa, Hispania & Cypro. Maximè verò laudatur Ægyptium, quódque friati nigrius apparet, *crebris foraminibus peruium & subpingue, insuperque astringens & haustu olfactúque virosum, atque adeo subuertendi stomachi vim habẽs. Quod autem inter friandum misyos modo nõ scintillat, & alterius generis esse, & inualidum censendum est. Vim & vstionem supradictis similem habet: dolori dentium cauernis inditum medetur: eosdem labantes firmat: ischiadicis ex vino infusum auxiliatur: illitum cum aqua varos extinguit. Miscetur & medicamẽtis quæ pilos denigrant. Hæc verò in communi & alia ferè omnia quæ vstionem experta non sunt, vstis potentiora censeri debẽt: salem excipio, vini fæcem, nitrum, calcem & consimilia, quæ quidẽ cruda, remissiora sunt. Cremata siquidem, viribus efficaciora redduntur.

De Diphryge. *Cap. CXX.*

DIPHRYGIS tria genera esse creduntur: vnum enim metallicum est, quod in Cypro sola

(margin: Al. βοθρῶδ.)

A ἀλλὰ διαφέρει ἐμπρακτικώτερον ὄν. πρὸς δὲ τὰς ὀφθαλμικὰς δυνάμεις, πολλῷ λείπεται τοῦ προειρημένου.

Περὶ Μελαντηρίας. Κεφ. ριη΄.

ΤΗΣ δὲ Μελαντηρίας, ἡ μὲν τις τοῖς τῶν ὀρυγμάτων στομίοις, ἀφ' ὧν αἱ μεταλλευθῇ ὁ χαλκὸς, ἐπιπήγνυται ἁλμυρίδος τρόπον. B ἡ δὲ, ἐκ τῆς ἄνωθεν ἐπιφανείας τῶν προειρημένων τόπων, ἥ τις καὶ γεώδης ἐστίν. εὑρίσκεται δέ τις καὶ ὀρυκτὴ ἐν Κιλικίᾳ καὶ ἐν ἄλλοις τισὶ τόποις. διαφέρει δ' αὐτῆς ἡ θειόχρους, λεία, ὁμαλὴ, καθαρὰ, καὶ ἐν τῷ θιγεῖν ὕδατος μελαινομένη ταχέως. Δύναμιν δὲ ἔχει καυστικὴν, C τὴν αὐτὴν τῷ μίσυϊ.

Περὶ Σώρεως. Κεφ. ριθ΄.

ΤΟ ΔΕ Σῶρυ ἔνιοι ὑπέλαβον Μελαντηρίαν πλανώμενοι· ἴδιον γάρ ἐστι γένος, οὐκ ἀνόμοιον· βρωμωδέστερον δὲ τὸ Σῶρυ καὶ ναυτίας ποιητικόν. εὑρίσκεται δὲ ἐν Αἰγύπτῳ, καὶ ἐν ἄλλοις δὲ τόποις, ὡς D ἐν Λιβύῃ καὶ Ἰσπανίᾳ καὶ Κύπρῳ. προκριτέον δὲ τὸ Αἰγύπτιον, καὶ ἐν τῷ θραυσθῆναι μελάντερον φαινόμενον· καὶ κατατρήσεις τε πολλὰς ἔχον, καὶ ὑπολίπαρον· ἔτι δὲ στῦφον, καὶ πρὸς τὴν κατάποσιν ἢ ὄσφρησιν βρωμῶδες, καὶ ἀνατρεπτικὸν στομάχου. τὸ δὲ μὴ* λαμπυρίζον ἐν τῷ E θραυσθῆναι ἐμφερῶς μίσυϊ, ἑτερογενές τε καὶ ἀσθενὲς οἰητέον εἶναι. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τοῖς προειρημένοις· ἰᾶται δὲ καὶ ὀδονταλγίας ἐντιθέμενον εἰς τὰ βρώματα, καὶ τοὺς ὑποσαλεύοντας δὲ ὀδόντας κρατύνει· καὶ ἰσχιαδικοῖς F βοηθεῖ μετ' οἴνου ἐγκλυζόμενον· ἰόνθους τε σβέννυσι, μεθ' ὕδατος καταχρισθέν. μίγνυται καὶ εἰς τριχῶν μελάσματα. κοινῶς δὲ τρόπῳ ἐπὶ τούτων σχεδὸν καὶ τῶν ἄλλων πάντων, δυναμικώτερα τὰ ἄκαυστα τῶν κεκαυμένων ἡγητέον· πλὴν ἁλῶν καὶ τρυγὸς, καὶ νίτρου καὶ τιτάνου καὶ τῶν ὁμοίων, ὅσα ὠμὰ ὄντα ἀνίεται. καιόμενα γὰρ, τὴν G δύναμιν ἐμπρακτοτέραν γίνεται.

Περὶ Διφρυγοῦς. Κεφ. ρκ΄.

ΤΟΥ δὲ Διφρυγοῦς τρία ἡγητέον εἴδη. τὸ μὲν γὰρ μεταλλικόν ἐστιν, ὃ δὴ ἐν Κύπρῳ

A μόνη γίνεται· πηλῶδες γὰρ ὄν, ἀναφέρεται ἐκ βυθοῦ τινὸς τῶν ἐκεῖ τόπων· *εἶτα ἀνενεχθὲν ξηραίνεται ἐν ἡλίῳ, καὶ μετὰ ταῦτα φρυγάνοις κύκλῳ περιτεθειμένοις καίεται· ὅθεν καὶ διφρυγὲς ἐκλήθη, διὰ τὸ ὑπὸ ἡλίου καὶ τῶν φρυγάνων καίεσθαι καὶ ξηροποιεῖσθαι, καὶ οἱονεὶ φρύγεσθαι. τὸ δὲ ἕτερον, τοῦ κατεργαζομένου χαλκοῦ B ὥσπερ ὑπόστασίς τις καὶ τρὺξ ὑπάρχει· μετὰ γὰρ τὴν τοῦ ψυχροῦ ὕδατος περίχυσιν, ὡς ἀνωτέρω ἔφαμεν περὶ ἄνθους χαλκοῦ διαλεγόμενοι, μετὰ τὴν ἀναίρεσιν τοῦ χαλκοῦ εὑρίσκεται ἐν τῇ χώνῃ ἐγκείμενον τῷ πυθμένι αὐτῆς τὸ τοιοῦτον εἶδος, τήν τε στύψιν καὶ τὴν γεῦσιν χαλκοῦ C ἔχον. τὸ δὲ τρίτον σκευάζεται οὕτω. λίθον τὸν λεγόμενον πυρίτην στιβάσαντες εἰς κάμινον οἱ περὶ ταῦτα ὄντες, καίουσιν ἐπὶ ἡμέρας ἱκανὰς ὡς τίτανον· ὅταν δὲ ἡ χρόα μιλτώδης γένηται, ἀνελόμενοι ἀποτίθενται. τινὲς δέ φασιν ἐκ μόνης τῆς τὸν χαλκοῦν λίθον ἀποτελούσης ὕλης γίνεσθαι D τὸ προειρημένον· ὅταν ὀπτηθεῖσα ἐν ταῖς λεγομέναις ἅλωσιν,* ἀνενεχθῇ εἰς τοὺς βόθρους, καὶ ἐνταῦθα καίηται. τόν τε γὰρ κύκλῳ τόπον τῶν βόθρων ἐπιλαμβάνει, καὶ μετὰ τὴν ἀναίρεσιν τῶν λίθων οὐδὲν ἧττον εὑρίσκεται. προκριτέον δὲ αὐτοῦ τὸ τῇ γεύσει ἔγχαλκον,* ἰῶδες, στύφον, τε καὶ ἀνα- E ξηραῖνον ἱκανῶς τὴν γλῶτταν. ὅπερ ἡ κεκαυμένη ὤχρα οὐ κέκτηται· ἣν δὴ καίοντες ἀντὶ διφρυγοῦς πιπράσκουσι. Δύναμιν δὲ ἔχει στυπτικήν τε, ἀνακαθαρτικὴν ἐπιτεταμένως, σμηκτικήν τε καὶ ξηραντικήν, καὶ καταστaλτικὴν ὑπερσαρκώσεως, ἀπουλωτικὴν κακοηθῶν καὶ ἑρπυστικῶν. διαφορεῖ καὶ F ἀποστήματα ἀναληφθὲν τερεβινθίνῃ ἢ κηρωτῇ.

Περὶ Ἀρσενικοῦ. Κεφ. ρκα΄.

ΑΡΣΕΝΙΚΟΝ κατὰ τὰ αὐτὰ γίνεται μέταλλα τῇ σανδαράχῃ. ἄριστον δὲ ἡγητέον τὸ πλακῶδες καὶ χρυσίζον τῇ χρόᾳ, τάς τε πλάκας λεπιζομένας ἔχον ὡς ἀεὶ ἐπικειμένας ἀλλήλαις· ἔστι* δὲ ἀμιγὲς ἑ- G τέρας φύσεως. τοιοῦτον δέ ἐστι τὸ γινόμενον ἐν Μυσίᾳ τῇ ἐν Ἑλλησπόντῳ. ἔστι δὲ αὐτοῦ δύο εἴδη. τὸ μὲν ἕν, οἷον προείρηται· τὸ δὲ ἄλλο, βωλῶδες καὶ σανδαραχίζον τῇ χρόᾳ,* ἐκ Πόντου καὶ Καππαδοκίας φερόμενον. δευτερεύει δὲ τὸ τοιοῦτον.

Sic Ald. cod. At Paris. βαλανοειδὲς καὶ ὠχροειδὲς καὶ σανδαραχίζον τῇ χρόᾳ. his addit præterea v. καὶ βωλοειδές, atque isthæc omnia expresserũt Interpretes.

nascitur. Ita enim vt lutosum est, ex imo quodam inibi gurgite eruitur: erutum deinde Sole siccatur: mox circũpositis cremiis vritur. Diphryges ideò vocatũ est, quòd & à sole & à cremiis sarmẽtisve vratur, arefiat inquã & quasi torreatur. Alterum, dum conficitur æs, illius quasi fæx quędam subsidet: siquidem pòst frigidę affusionem, vti superiùs retulimus cũ de æris flore dissereremus, sublato ære, fundo fornacis inhærẽs id genus inuenitur, æris tum astrictione tum etiam sapore pręditum. Tertium sic fit: Lapidẽ pyriten dictum qui ista tractant dies multos vti calcem cremant in camino: ac vbi colorem rubricę contraxerit, exemptum recondunt. Quidam verò asserunt hoc è sola materia fieri, è qua lapis ærosus pficitur, quando in dictis areis assata indeq; in scrobes translata peruritur. Nam & locum foueas ambientem occupat, & exẽtis lapidibus nihilominus inuenitur. Præfertur quod saporem æris reddit, ęruginẽ prę se ferens, astringens & vehementer exiccans linguam: id quod sibi exusta ochra nõ vendicat, quæ tamen cremata diphrygis loco vænit. Vis ei astringere, validè perpurgare, extergere, siccare, carnis excrescentias cohibere, vlcera cacoëthe & quæ serpũt ad cicatricem perducere. Abscessus quoque terebinthina aut cerato exceptum discutit.

Pl. excrescentia consumens

De Arsenico seu auripigmento.

Cap. CXXI.

AVRIPIGMENTVM in iisdẽ metallis, quib⁹ sãdaracha, gignitur. Optimũ existimatur crustosũ, auri colore micãs, quodq; crustas eas habet ferè sẽper sibi inuicẽ squamatim incumbẽtes: insup ẽrq; impermixtũ est & omnis alienę materię expers. Tale est quod in Mysia Hellespõti nascitur. Sũt autẽ illius duo genera: vnũ quidẽ, quale antè cõmemoratũ est: alterum, glebosum & colore sandarachæ simile, quod è Ponto & Cappadocia defertur: & hoc quidem secundum locum tenet.

Porrò

Porrò torretur auripigmẽtum hoc modo: Testæ nouæ inditum carbonibus ignitis imponito; assiduéque versato, donec igne flagret colorémque mutet: deinde refrigeratũ tritúmque recondito. Vim habet septicam; astrictoriam, & crustas inducentẽ cum feruore ac violento morsu: reprimit & quicquid excrescit, ac pilos detrahit.

De Sandaracha. Cap. CXXII.

SANDARACHA præfertur ad satietatem rufa, fragilis, friabilis, pura, & quæ cinnabaris colorem imitatur, insupérque sulphuris virus redolet. Vis & vstio eadem, quæ auripigmento. Sed & alopecias explet resina excepta, & scabros vngues cum pice remouet. Contra pedicularem morbum ex oleo efficax est: tubercula cum adipe discutit. Prodest etiam ad narium orísque vlcera & cæteras papularum eruptiones, cum rosaceo: itémque ad condylomata. Datur & purulenta excreantibus è mulso. Quin & aduersus veterẽ tussim cum resina suffitur, nidore per fictulá in os attracto. Vocem deniq; limpidam & canoram facit cum melle delincta, & suspiriosis cum resina in catapotio datur.

De Alumine. Cap. CXXIII.

OMNE propemodũ aluminis genus in Ægypto & in iisdem metallis inuenitur: est enim quod scissile dicitur, veluti flos glebosi. Gignitur & in aliis quibusdã locis, in Melo, Macedonia, Liparis, Sardinia, Hierapoli Phrygiæ, Africa, Armenia & compluribus aliis regionibus, sicut & rubrica. Sunt autẽ eius species plurimæ. Verùm ad medendi vsum scissile, rotundum & liquidum expetuntur. Optimum verò scissile: & in hoc genere laudatissimum quod recens est, candidissimum, calculorum expers, graueolẽs & perquàm astringẽs, insuperq; nec glebæ modo nec assulosè compactum, sed sigillatim quasi in capillamenta canescentia dehiscens: quale est quod Trichites, hoc est, capillare appellatur, in Ægypto proueniens. Reperitur quoque lapis huic alumini persimilis, qui tamen

A ὀπτᾶται δὲ οὕτως. ἐπ' ὀστράκου καινοῦ ἐπερεισάμενος αὐτό, θὲς ἐπὶ διαπύρου ἄνθρακος καὶ στρέφε συνεχῶς. ὡς δ' ἂν πυρωθῇ καὶ μεταβάλῃ, ψύξας καὶ λεάνας ἀποτίθεσο. Δύναμιν δὲ ἔχει σηπτικήν τε καὶ στυπτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πυρώσεως καὶ βιαίου δήξεως· ἔστι δὲ καὶ τῶν στελλόντων, ψιλοῖ δὲ τρίχας.

G. hæc verba sic legũtur in vtroque: ὄστρακον καινὸν ἀπερεισάμενος, quæ scriptura purior est. Al. πυκνῶς.

B Περὶ Σανδαράχης. Κεφ. ρκβ'.

ΣΑΝΔΑΡΑΧΗΝ δὲ προκριτέον τὴν κατακορῆ, πυρράν, εὔθραυστον, εὐλέαντόν τε καὶ καθαράν, κινναβαρίζουσαν τῇ χρόᾳ, ἔτι δὲ θειώδη ἀποφορὰν ἔχουσαν. Δύναμιν δὲ ἔχει καὶ ὄπτησιν τὴν αὐτὴν τῷ ἀρσενικῷ. θεραπεύει δὲ καὶ ἀλωπεκίας ἀναλη- C φθεῖσα ῥητίνῃ, καὶ λεπροὺς ὄνυχας σὺν πίσσῃ ἀφίστησι· καὶ πρὸς φθειριάσεις σὺν ἐλαίῳ ποιεῖ· φύματά τε σὺν στέατι διαφορεῖ. ἁρμόζει δὲ καὶ πρὸς τὰ ἐν ῥισὶ καὶ στόμασιν ἕλκη, καὶ πρὸς τὰ λοιπὰ ἐξανθήματα, σὺν ῥοδίνῳ· καὶ πρὸς κονδυλώματα. δίδοται καὶ ἐμπυϊκοῖς, σὺν οἰνομέλιτι. καὶ D ὑποθυμιᾶται σὺν ῥητίνῃ καὶ πρὸς παλαιὰν βῆχα, διὰ σίφωνος ἑλκομένου τοῦ ἀτμοῦ τῷ στόματι. φωνήν τε ἀποκαθαίρει ἐκλειχομένη σὺν μέλιτι, καὶ ἀσθματικοῖς σὺν ῥητίνῃ καταπότιον δίδοται.

Orib. εὐανθῆ

Drag. μέλιτι καὶ ἐλαίῳ

Περὶ Στυπτηρίας. Κεφ. ρκγ'.

ΣΤΥΠΤΗΡΙΑΣ δὲ σχεδὸν πᾶν εἶδος, E ἐπὶ τῶν αὐτῶν ἐν τῇ Αἰγύπτῳ μετάλλων εὑρίσκεται· ἔστι γὰρ σχιστή, οἱονεὶ τῆς *βωλίτιδος ἄνθος. γεννᾶται δὲ καὶ ἐν ἄλλοις τισὶ τόποις, ἐν Μήλῳ, ἐν Μακεδονίᾳ, ἐν Λιπάραις, καὶ Σαρδονίᾳ, καὶ Ἱεραπόλει τῆς Φρυγίας, Λιβύῃ, Ἀρμενίᾳ, καὶ ἐν ἄλλοις δὲ τόποις πλείοσιν, ὥσπερ ἡ F μίλτος· ἔστι δὲ αὐτῆς εἴδη πλεῖστα. πρὸς δὲ ἰατρικὴν χρῆσιν λαμβάνεται ἥ σχιστή τε καὶ ἡ στρογγύλη καὶ ἡ ὑγρά. ἀρίστη δὲ ὑπάρχει ἡ σχιστή, καὶ ταύτης ἡ πρόσφατος καὶ λευκὴ ἄγαν, καὶ ἄλιθος καὶ βαρύοζος, στύφουσά τε εὐτόνως, ἔτι τε οὐ πεπιεσμένη βωληδὸν ἢ σχιδακηδόν, ἀλλ' ἐσχισμένη G κατὰ μονάδας πολιαῖς θριξὶν ἐμφερῶς, οἷα ἐστὶν ἡ λεγομένη Τριχῖτις, γεννωμένη δὲ ἐν Αἰγύπτῳ. εὑρίσκεται δὲ καὶ λίθος ἐμφερὴς αὐτῇ ἄγαν, ὃν διακριτέον [illegible]

V. σχεδὸν ἀρίστη ἐπὶ τῶν αὐτῶν, &c.

γεύσεως κρίνεται μὴ στύφουσα. τῆς δὲ στρογγύλης ἡ χειροποίητος, ἀδόκιμος ὑπάρχει· γνωρίζεται δὲ ἐκ τοῦ σχήματος. παραληπτέα δ' ἂν εἴη ἡ φυσικῶς στρογγύλη καὶ πομφολυγώδης, ὑπόλευκός τε καὶ στύφουσα ἐῤῥωμένως, ἔτι δὲ ποσὸν ὠχρότητος ἅμα καὶ λιπαρείας ἔχουσα· πρὸς δὲ τούτοις ἄλιθός τε καὶ εὔθρυπτος, καὶ φύει Μηλία ἢ Αἰγυπτία. τῆς δὲ ὑγρᾶς τὴν μάλιστα διαφανῆ προκριτέον καὶ γαλακτώδη, ὁμαλήν τε καὶ δι' ὅλου χυλώδη, ἔτι δὲ ἄλιθον καὶ "πυρῶδές "ἀποπνέουσαν. Δύναμιν δὲ ἔχουσι θερμαντικήν, στυπτικήν, "ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων τῇ κόραις· τήκουσαν δὲ καὶ τὰς ἐπὶ τῶν βλεφάρων σάρκας, καὶ τὰ ἄλλα ὑπερσαρκώματα. ἐνεργεστέραν δὲ τῆς στρογγύλης τὴν σχιστὴν ἡγητέον. καίονται δὲ καὶ ὀπτῶνται, ὡς χαλκῖτις· ἴσχουσι δὲ καὶ σηπεδόνας, αἱμοῤῥαγίας· οὖλα πλαδῶντα στέλλουσι· καὶ ὀδόντας σειομένους κρατύνουσι σὺν ὄξει ἢ μέλιτι. ἄφθας δὲ ὠφελοῦσι σὺν μέλιτι, καὶ ἐξανθήματα καὶ ῥεύματα ἐν ὠσί, σὺν πολυγόνου χυλῷ· λέπραις δὲ ἁρμόζουσι σὺν κράμβης φύλλοις, ἢ σὺν μέλιτι ἑψηθεῖσαι· καὶ κνησμοῖς, ὄνυξί τε λεπρώδεσι καὶ πτερυγίοις καὶ χιμέτλοις, σὺν ὕδατι καταιονούμεναι. σὺν τρυγὶ δὲ ὄξους καταχριόμεναι μετὰ κηκῖδος ἴσης κεκαυμένης, πρὸς φαγεδαινικά· πρὸς δὲ νομάς, σὺν ἁλσὶ διπλοῖς. πιτυριάσεις δὲ σὺν ὀρόβῳ καὶ πίσσῃ "ὑγρᾷ σμήχουσι καταχριόμεναι· κονίδων τε καὶ φθειρῶν καὶ πυρικαύστων, σὺν ὕδατι καταχριόμεναι, βοήθημα. οἰδήμασί τε καὶ μασχαλῶν καὶ βουβώνων δυσωδίαις καταχρίουσι. "ἡ δὲ Μηλία καὶ πρὸς ἀσυλληψίαν συνεργεῖ, πρὸ τῆς συνόδου προστεθεῖσα τῷ στόματι τῆς ὑστέρας· καὶ ἔμβρυα ἐκτινάσσει· ἐπουλίσι τε καὶ σταφυλαῖς καὶ παρισθμίοις ἐπιτήδειοι· καὶ στόμασι, καὶ πρὸς ὦτα καὶ αἰδοῖα σὺν μέλιτι "ἐπιχρίουσι.

Περὶ Θείου. Κεφ. ρκδ'.

ΘΕΙΟΝ δὲ ἄριστον ἡγητέον, τὸ ἄπυρον καὶ λαμπυρίζον τῇ χρόᾳ, διαφανές τε καὶ ἄλιθον. τοῦ δὲ πεπυρωμένου, τὸ χλωρὸν

A gustus iudicio internoscitur, quòd nō astringat. Damnatur in rotundi genere, quod manu artéve tale effectū est: sed ex figura depreheditur. Assumēdum autē quod sponte naturæ rotundum est, bullis turgens, candido propius, & valenter astringens, prætereáque nonnihil palloris cum quadam pinguitudine præ B seferens: ad hæc calculorum expers ac friabile, & natione Melium aut Ægyptium. "Liquidum præfertur maximè pellucēs, lacteum, planum & æquabile, atq; omni ex parte succosum, insupérque minimè lapidosum, & quēdam caloris igniculum expirans. Vim habēt excalfaciendi, astringēdi, & expurgādi quę pu- C pillis oculorū caliginē offendūt, palpebrarum quoq; carnes aliásq; excrescentias absumendi. Scissile porrò efficacius rotundo censendū est. Vruntur verò torrentúrq;, chalcitidis modo. Vlcerū putrescētia compescunt, & sanguinis eruptiones inhibēt, gingiuas humore nimio flaccidas comprimunt, mobilésq; den- D tes cū aceto aut melle firmant. Oris vlceribus, quas aphthas vocant, ammixto melle prosunt, itémque papulis & aurium fluxionibus, cū polygoni succo. Lepris conueniunt cū brassicæ foliis aut melle cocta: necnon & pruritui, vnguium scabritijs, pterygiis & pernionibus, fotu ex aqua. Valent cum aceti fæce & gallæ E crematæ pari pondere ad phagedęnas vlcerum, & ad nomas cum salis duplo. Furfures cum eruo & liquida pice illita exterūt. Ad lendes, pediculos & ambusta cum aqua inuncta auxilio sunt. Contra œdemata & graue alarum inguinúmq; virus illinuntur. Ex Melo autē aduectum, F etiam mulieribus præstat ne concipiant, ante coitum ori vuluæ inditum: fœtus quoque pellit. Aluminū deniq; genera gingiuis excrescentibus, vuæ ac tōsillis accommodantur: itémque ori, auribus ac verendis cum melle illinuntur.

De Sulphure. Cap. CXXIIII.

G SVLPHVR optimū existimatur, quod viuū ignémve minimè expertum est, & spēdido colore nitet, translucens & calculorum expers. In genere autem sulphuris ignem experti probatur, quod viret

Ald. πυρῶδες

Addit Lac. ex v. cod. ὑγρὰ στυπτηρία ἐστὶν ἡ πλακίτις, ἡ ἀπὸ Φιλαδελφίας φερομένη, ᾗ οἱ βαφεῖς χρῶνται. i. liquidum alumen est, quod Placitis nomine ex Philadelphia adfertur, quóque lanarum infectores vtuntur.

Al. ἀποθεραπευτικήν

Deest ὑγρᾷ in vulg. exempl. sed addit Lac. ex vet. cod.

Lac. sic legit in vet. cod. ἡ δὲ Μηλία πρὸς ἔμμηνα καὶ πρὸς ἀσυλληψίαν σὺν ἐρίῳ πρὸ τῆς συνόδου παρατεθεῖσα. hoc est, Meliū ad mēses eliciendos valet, præstátq; mulieribus ne cōcipiant, appositū ante cōgressum, cum lana.

Goup. vet. libri add. καὶ σμύρνῃ, quod Hermolaus expressit & Myrrha.

ac præpingue ſpectatur. Plurimum in Melo & Lipara gignitur. Priore loco commemoratum ſulphur, calfacit, diſcutit & "maturat celeriter. Tuſſientibus, purulenta excreantibus & ſuſpirioſis prodeſt, tum in ouo ſumptum, tum etiam ſuffitum: præterea partus vſti nidore extrahit. Lepras itémque lichenas & ſcabros vngues aufert, cum terebinthi reſina. Ex aceto autem illitum, eſt quidem ad lepras efficax, ſed & vitiligines tollit. Scorpionum etiam ictibus addita reſina medetur. Cum aceto verò, draconis marini & ſcorpionum ictus ſanat. Pruritus totius corporis ſedat, nitro miſtum & affrictum. Regium quoque morbum emendat, inſperſum fronti cochlearis menſura, aut in ſorbili ouo ſumptum. Facit & ad grauedinem ac deſtillationes: ſudores quoque conſperſum inhibet: podagricis cum aqua & nitro illitum conducit: grauitatẽ auditus, ſuffiti nidore raptim per fiſtulam hauſto, ſanat. Lethargicos ſuffitu excitat. Sanguinis eruptionem ſiſtit: ac deniq; contuſis auribus cum vino & melle illitum medetur.

[illegible]

De Pumice. Cap. CXXV.

PVMICIS probatio, vt ſit quàm maximè leuis, multicauus ſeu ſpongioſus, ſciſſilis ac minimè "lapidoſus, inſupérque teri facilis atque candidus. Cremari autem oportet in hũc modum: Sumito eius quantum libuerit, & prunis candentibus obruito: ac vbi igne flagrauerit, extractum vino odorato reſtinguito: iterúmque incenſum pariter extinguito. Tertia vſtione exemptum ſinito perſe r efrigerari, tandémq; ad vſus condito. Vis eius aſtringere & gingiuas abſtergere: purgat cum calfactione quæ pupillis caliginem offundunt: explet vlcera & ad cicatricem perducit, inſupérque excreſcentia cohibet. Fit & è farina eius dentifricium. Corpori denique cruſtam obducit, éſtque pilis abolendis aptus. Theophraſtus autor eſt, ſi quis in feruentis muſti cadum pumicẽ immiſerit, vini feruorem confeſtim deſinere.

Pl. arenoſus infricando.

A τε καὶ εὔλιπές. γίνεται δὲ πλεῖστον ἐν Μήλῳ καὶ Λιπάρᾳ. θερμαίνει δὲ τὸ προειρημένον καὶ διαφορεῖ καὶ πεπαίνει ταχέως. βῆχας τε καὶ ἐμπύοις καὶ ἀσθματικοὺς ὠφελεῖ ἐν ᾠῷ λαμβανόμενον καὶ ὑποθυμιώμενον· πρὸς δὲ τούτοις ἔμβρυα καταστᾷ ὑποθυμιαθέν· καὶ λέ- B πρας, ἔτι δὲ λειχῆνας καὶ ὄνυχας λεπρούς αἴρει, τερεβινθίνῃ μιχθὲν ῥητίνῃ· σὺν ὄξει δὲ καταχριόμενον, ποιεῖ μὲν καὶ πρὸς λέπρας· αἴρει δὲ καὶ ἀλφούς. ἰᾶται καὶ σκορπίων πληγάς, μιχθὲν ῥητίνῃ· σὺν ὄξει δέ, καὶ δρακοντίου θαλασσίου καὶ σκορπίων πληγὴν ἰᾶται. παύει καὶ τοὺς C καθ' ὅλον τὸ σῶμα "κνησμούς, σὺν νίτρῳ σμηχόμενον· ἀποκαθαίρει δὲ καὶ ἴκτερον, κοχλιαρίου πλῆθος ἐπιπασσόμενον τῷ μετώπῳ, ἢ μετὰ ᾠοῦ ῥοφητοῦ λαμβανόμενον. καὶ πρὸς κόρυζαν δὲ καὶ κατάρρουν ποιεῖ· καὶ ἱδρῶτας στέλλει καταπασσόμενον· καὶ ποδαγρικοῖς σὺν νί- D τρῳ καὶ ὕδατι καταχρισθὲν συμβάλλεται· καὶ δυσηκοΐαν ὑποθυμιώμενον διὰ σίφωνος θεραπεύει· καὶ ληθαργικούς ὑποθυμιώμενον· αἱμορραγίαν τε ἴσχει. θλάσεις τε ὤτων σὺν οἴνῳ "καὶ μέλιτι καταχριόμενον ἰᾶται.

V. addit, θύμους καὶ

Cat. add. καὶ σμύρνη, quod expreſſit Marcellus.

Περὶ Κισσήρεως. Κεφ. ρκέ.

E ΚΙΣΣΗΡΙΝ δὲ προκριτέον τὴν ἄγαν κούφην καὶ πολύκενον, σχιστήν τε καὶ ἄλιθον, ἔτι δὲ ψαθυρὰν τε "καὶ λευκήν. καυστέον δὲ οὕτω· λαβὼν αὐτῆς ὁπόσον ἂν θέλῃς, διαπύροις ἔγκρυψον ἄνθραξιν· ὡς δ' ἂν ἐκπυρωθῇ, ἀνελόμενος σβέσον οἴνῳ εὐώδει· καὶ πάλιν πυρώσας σβέσον· "τὸ δὲ F τρίτον ἀνελόμενος αὐτήν, καθ' ἑαυτὴν ἔα ψυχῆναι, καὶ ἀποθέμενος χρῶ. Δύναμιν δ' ἔχει στυπτικήν τε καὶ σμηκτικὴν οὔλων", ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις μετὰ τοῦ θερμαίνειν· ἑλκῶν τε πληρωτικὴν καὶ κατουλωτικήν· ἔτι δὲ καὶ καταστaλτικὴν ὑπεροχῶν, καὶ σμηκτικὴν ὀ- G δόντων λεία· καὶ ἐσχαρωτικὴν σώματος· καὶ εἰς ψίλωσιν τριχῶν ἐπιτήδειον. "Θεόφραστος δὲ ἱστορεῖ, ἐάν εἰς ζέοντά τις οἴνου πίθον καθῇ κίσσηριν, παύεσθαι τὸ διάζεσμα τὴν ζέσιν τοῦ οἴνου.

V. λεπτωτικήν. al. λεπτήν.

V. τὸ δὲ τρίτον δὲ ἑαυτῆς ἔα ψυχῆναι.

Lacuna addit ex vet. cod. καὶ ὀδόντων.

In quibuſdã codicib. teſte Marcello, iſta deſunt ad capitis vſque calcem.

Περὶ Ἁλῶν. Κεφ. ρκϛʹ. A

Τῶν δὲ ἁλῶν ἐνεργέστερον μέν ἐστι τὸ ὀρυκτόν. τούτου δὲ κοινῶς μὲν τὸ ἄλιθον καὶ λευκὸν καὶ διαφανές, πυκνόν τε καὶ ὁμαλὸν τῇ συγκρίσει· ἰδίως δὲ τὸ Ἀμμωνιακὸν τῷ γένει, εὔσχιστόν τε καὶ εὐθείας τὰς διαφύσεις ἔχον. τοῦ δὲ θαλασσίου τὸ πυκνὸν παραληπτέον καὶ λευκὸν καὶ ὁμαλόν. B κάλλιστον δὲ ἐν Κύπρῳ καὶ Κύπρου τῇ Σαλαμῖνι γίνεται καὶ Μεγάροις, καὶ ἐν Σικελίᾳ καὶ Λιβύῃ. ἐν τοῖς λεγομένοις δέ, καὶ τὰ λιμναῖα προκριτέον. εὐτονώτατον δὲ αὐτῶν ἐστι τὸ Φρύγιον, καλούμενον δὲ Ταττaῖον. Δύναμιν δὲ ἔχουσιν οἱ προειρημένοι ἅλες κοινῶς πολύχρηστον, στυπτικήν C τε καὶ σμηκτικήν, καὶ ἀποκαθαρτικὴν καὶ διαχυτικήν, ἔτι δὲ καταστατικὴν καὶ ἰσχνωτικήν, καὶ ἐσχαρωτικήν, τῷ μᾶλλον καὶ ἧττον διαφέροντες. εἰσὶ δὲ καὶ σηπεδόνων ἐφεκτικοὶ καὶ σμήγμασι ψωρικαῖς μίγνυνται. στέλλουσι καὶ τὰς ἐν ὀφθαλμοῖς ὑπεροχάς, καὶ πτερύγια τήκουσι, καὶ τὰς ἄλλας D δὲ ὑπερσαρκώσεις αἴρουσι καὶ κλυσμοῖς εὔθετοι καὶ κόπου λυτήριοι, σὺν ἐλαίῳ χριόμενοι· καὶ πρὸς τὰ οἰδήματα τῶν ὑδρωπικῶν. πυρία τε ἡ δι' αὐτῶν ἐν σακκίοις, παρηγορικὴ ἀλγημάτων. καὶ κνησμοὺς δὲ παύουσι μετ' ἐλαίου καὶ ὄξους συγχριόμενοι παρὰ πυρί, ἄχρις ἂν ἱδρώσωσιν. E ὁμοίως καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας. συνάγχας τε κουφίζουσι, σὺν μέλιτι καὶ ὄξει καὶ ἐλαίῳ διαχριόμενοι. πρὸς δὲ παρίσθμια καὶ κιονίδας, σὺν μέλιτι ὀπτοί. καὶ ἄφθαις καὶ οὔλων πλαδόν, καὶ πρὸς φαγεδαίνας σὺν ἀλφίτῳ κεκαυμένοι * καταπλάσσονται. πρὸς δὲ σκορπίων πληγάς, F σὺν λινοσπέρμῳ· πρὸς δὲ ἐχιδνῶν δήγματα, σὺν ὀριγάνῳ καὶ μέλιτι καὶ ὑσσώπῳ· πρὸς δὲ κεράστου, μετὰ πίσσης ἢ κεδρίας ἢ μέλιτος· πρὸς δὲ σκολοπένδρας δῆγμα, σὺν μέλιτι καὶ ὄξει· πρὸς δὲ σφηκῶν πληγὰς καὶ * τενθρηδόνας, καὶ πρὸς ψυδράκια τὰ ἐν κεφαλῇ, θύμους τε καὶ φύματα, σὺν στέατι μοσχείῳ ἀνα- G ληφθέντες· σὺν σταφίδι δὲ ἢ στέατι ὑείῳ ἢ μέλιτι, δοθιῆνας διαφοροῦσι. καὶ ὀρχέων οἰδήματα σὺν ὀριγάνῳ καὶ ζύμῃ θᾶττον πεπαίνουσι.

V. caret.

Corn. κατεπάσσονται

V. add. δοθιῆνας

De Sale. Cap. CXXVI.

INTER Salis genera efficacissimum fossile. Et in hoc ipso genere cõmuniter quidẽ laudatur calculis vacãs, candidum & pellucidum, dẽsum & æquabili compage: peculiariter verò natione Ammoniacũ, quod quidẽ & findi facilè potest, & rectis est scissuris. In marino sale eligendus est densus, candidus & æquabilis. Probatissimus in Cypro fit & Salamine Cypri & Megaris, itémq; in Sicilia & Africa. Sed inter hæc ipsa salis genera lacustris præfertur: cẽsetúrq; validissimus Phrygius, qui Tattæus vocatur. Antedictorum salis generũ natura in communi est ad multa per quã vtilis, astringens, abstergẽs, repurgans, dissoluẽs dissipánsve, ac insuper reprimens, extenuãs & crustas inducẽs: sed intensioris remissiorísque facultatis ratione inter se differũt. Quin & vlcera putrescentia cohibent, & smegmatis seu medicamentis psoras abstergentibus ammiscẽtur. Excrescentia in oculis reprimunt, pterygia cõsumunt, cæterásque carnis extuberationes tollunt: clysteribus vtiliter infundũtur: lassitudines etiã discutiunt, ex oleo illita. Contra hydropicorum œdemata auxiliantur, doloréśq; sacculis indita fotu mitigant, & pruritus sedãt ex oleo & aceto infricata ad ignem, dũm sudor prouocetur. Similiter & lichenas, psoras ac lepras. Anginas ex melle, aceto & oleo inunctione leuãt. Tosta tonsillis vuæq; cum melle adhibentur. Cremata verò, vlceribus oris quas aphthas vocant, humidis gingiuarũ vitiis & phagedænis vlcerum cum polenta insperguntur. Aduersus scorpionum ictus, cum lini semine; cõtra viperarum morsus, cum origano, melle & hyssopo: aduersus cerasten, cum pice, aut cedria, aut melle auxiliantur. Contra scolopendræ verò morsus, ex melle & aceto: aduersus vesparum ictus & tenthredinum, itémque ad capitis psydracia, thymos atque tubercula, seuo excepta vitulino. Furunculos cum vua passa aut suillo adipe aut melle discutiunt. Testium tumores cum origano & fermento citius maturant.

vel à putredine vindicat

Crocodilorum morsibus auxiliantur trita, in linteolo inuoluta & in acetũ intincta, fasciis insuper additis quibus partes affectæ constringantur. Prosunt & ad virulentarum bestiarũ morsus & sugillata faciei, cum melle. Contra haustum opium & fungos cum aceto mulso bibuntur. Luxatis cum farina & melle imponuntur. Ambustis igni cum oleo imposita, pustulas *erumpere nõ patiuntur. Podagricis itidem adhibentur, & aurium doloribus cum aceto. Erysipelata & vlcera quæ serpunt cum aceto illita, aut cum *hyssopo imposita cohibent. Vri porro salem oportet fictili diligenter operculato ne dissiliat, conditóque prunis, vsquedum igni candefiat. Aliqui fossilem subacta farina oblitum carbonibus subijciunt, ibíque tandiu sinunt, dum illa exusta fuerit. Sed & sal communis vri hoc modo potest: aqua semel ablutum ac deinde siccatum in ollam mittito, obditóque operculo ignem succendito, tandémque salem moueto, donec haud amplius exiliat.

De Spuma salis, seu spuma maris arida. Cap. CXXVII.

Spuma maris arida, ramentum purgamentúmve maris spumosum est, quod in exilibus petris reperitur. Ei vis eadem quæ sali.

De Muria, seu Salsugine. Cap. CXXVIII.

Muria salis effectus præbet, abstergítque: dysentericis vtiliter infunditur, quorum intestina nome corripuit: itémque ischiadicis iam *diuturno dolore vexatis. Fotu vero aquæ marinæ vicem pensat.

De flore Salis. Cap. CXXIX.

Flos Salis è Nilo quidẽ flumine defluit, sed & stagnis quibusdã innatat. Assumendus qui croci colorẽ imitatur, & odore quodãmodo est ingratiore, veluti garũ: interdũ etiã magis graueolẽs, gustu mordaciore ac subpinguis. Fucatus autẽ rubrica aut grumosus, improbatur. Prętereà verus ac sincerus nõ nisi oleo resoluitur: adulteratus, nõnulla ex parte etiam aqua diluitur. Ad vlcera quæ cacoëthe, quasi maligna, vocãt, phagedænas, genitaliũ nomas & purulẽtas aures efficax est. Oculorũ hebetudi-

A καὶ κροκοδειλοδήκτοις βοηθοῦσιν, ἐνδεθέντες εἰς ὀθόνιον λεῖοι, καὶ βαπτόμενοι εἰς ὄξος, *συσφιγγομένων τῶν μερῶν τοῖς ἐνδέσμοις. θηριοδήκτοις τε βοηθοῦσι, καὶ πρὸς ὑπώπια προσώπου σὺν μέλιτι· καὶ πρὸς ὀποῦ μήκωνος πόσιν, καὶ πρὸς μύκητας σὺν ὀξυμέλιτι πινόμενοι· πρὸς δὲ στρέμματα, σὺν ἀλεύρῳ καὶ B μέλιτι· πρὸς πυρίκαυστα δὲ σὺν ἐλαίῳ ἐπιτεθέντες, οὐκ ἐῶσι φλυκταινοῦσθαι. ποδαγρικοῖς τε ὁμοίως ἐπιτίθενται, πρὸς ὠταλγίαν τε σὺν ὄξει· ἐρυσιπέλατά τε καὶ ἕρπητας ἴσχουσι μετ' ὄξους καταχριόμενοι, ἢ καταπλασθέντες σὺν *ὑσσώπῳ. καυστέον δὲ αὐτοὺς εἰς ὀστράκινον ἀγγεῖον ἐμβαλόντας καὶ ἐπιμελῶς πω- C μάσαντας, ἵνα μὴ ἐξάλλωνται, ἀνθρακιᾷ τε ἐγκρύψαντας ἄχρις ἐκπυρώσεως. τινὲς δὲ τοὺς ὀρυκτοὺς σταιτὶ περιπλάσαντες, εἰς ἄνθρακας ὑποθέντες ἐῶσιν, ἄχρις ἂν τὸ σταῖς καταχαῇ. ἔνεστι δὲ καὶ τοὺς κοινοὺς διὰ τοῦ τρόπου τούτου καίειν. ἀποκλύσας αὐτοὺς ἅπαξ ὕδατι, καὶ ἐάσας ξηρανθῆναι, ἔμβαλε εἰς χύ- D τραν, καὶ πωμάσας ὑπόκαιε, κινῶν ἕως ἂν μηκέτι ἐξάλλωνται.

Περὶ Ἄχνης ἁλός. Κεφ. ρκζ.

Ἁλὸς ἄχνη ἐπίψησμά ἐστιν ἁλὸς *ἀφρῶδες, εὑρισκόμενον ἐπὶ τῶν πετριδίων. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς ἁλσίν.

Περὶ Ἅλμης. Κεφ. ρκη.

E Ἅλμη τὴν αὐτὴν τοῖς ἁλσὶν ἔχει ἐνέργειαν, σμηκτικήν· δυσεντερικοῖς τε ἐστὶ τοῖς κατὰ νομὴν ἔγκλυσμα, καὶ ἰσχιαδικοῖς χρονίοις. πρός τε καταιονήσεις ἁρμόζει, ἐφ' ὧν θάλαττα ἐστὶ χρήσιμη.

Περὶ Ἄνθους ἁλός. Κεφ. ρκθ.

Ἁλὸς δὲ ἄνθος καταρρεῖ μὲν διὰ Νείλου F ποταμοῦ· ἐφίσταται δὲ λίμναις τισί. προαιρετέον δὲ τὸ κροκίζον τῇ χρόᾳ, ὑποδυσωδέστερον ὥσπερ γάρος· ἐνίοτε δὲ καὶ *δυσωδέστερον μᾶλλον, καὶ τῇ γεύσει δηκτικώτερον καὶ ὑπολίπαρον. τὸ δὲ *ἔμμιλτον ἢ θρόμβους ἔχον, φαῦλον ἡγητέον. ἐπὶ τὸ ἀκέραιον ἐλαίῳ συνανίεται μόνον· τὸ δεδολωμένον δέ, ἐκ μέρους G καὶ ὕδατος. Ποιεῖ δὲ πρός τε κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, καὶ νομὰς τὰς ἐν αἰδοίοις, καὶ ὦτα πυορροοῦντα· καὶ ἀμβλυωπίας

[illegible]

[illegible]

Pl. veteribus

Marcellus τυπομένων ex Plinio legendum suspicatur.

Malim, οἰσύπῳ

G. alter, δυσωδέστερον, vt legit Hermolaus.

Ald. ἔμμιλτον

καὶ τὰς οὐλὰς αἴρει καὶ λευκώματα. μίγνυται καὶ ἐμπλάστροις καὶ μύροις εἰς χρῶσιν, ὡς καὶ τῷ ῥοδίνῳ. ἔστι δὲ καὶ ἱδρώτων κινητικόν· κοιλίας ταρακτικόν, σὺν οἴνῳ καὶ ὕδατι ληφθέν· κακοστόμαχον. μίγνυται καὶ ἀκόποις, καὶ σμήγμασι πρὸς τριχῶν "λεπτυσμόν· καὶ καθόλου ἐστὶ δριμύ, πυρωτικόν, ὥσπερ οἱ ἅλες.

Vulg. exempl. λευκασμόν.

Περὶ Νίτρου. Κεφ. ρλ΄.

Νίτρον προκριτέον τὸ κοῦφον καὶ ῥοδωπὸν ἢ λευκὸν τὴν χρόαν, κατατετρημένον, οἱονεὶ σπογγῶδές τι. τοιοῦτον δέ ἐστι τὸ ἐκ τῶν "βουνῶν. Δύναμιν δ᾽ ἔχει μετασυγκριτικήν.

Orib. λόφων.

Περὶ Ἀφροῦ νίτρου. Κεφ. ρλα΄.

Ἀφρὸς δὲ νίτρου, ἄριστος μὲν εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης, εὔθρυπτός τε καὶ ἐμπόρφυρος, *ἢ ἀφρώδης, ἔτι δὲ δηκτικός· οἷός ἐστιν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ. δευτερεύει δὲ ὁ Αἰγύπτιος. γίνεται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας. Δύναμιν δ᾽ ἔχει καὶ καῦσιν αὐτοῖς τε τοῖς ἁλσὶν ἐμφερῆ καὶ τῷ νίτρῳ. ἐκ περισσοῦ δὲ τὸ νίτρον καὶ στρόφους παύει λεανθὲν μετὰ κυμίνου καὶ *ποθὲν μετ᾽ ὑδρομέλιτος, ἢ μετὰ ἑψήματος, ἢ τινὸς τῶν διαφορεῖν δυναμένων πνεύματα, οἷον πηγάνου ἢ ἀνήθου. ἔστι δὲ καὶ περιοδικῶν σύγχρισμα πρὸ τῆς ὑπόπτου προσβολῆς. μίγνυται καὶ διαφορητικαῖς καὶ ἐπισπαστικαῖς καὶ λεπτυντικαῖς ἐμπλάστροις, καὶ λεπρικαῖς. σὺν ὕδατι δὲ θερμῷ ἢ οἴνῳ ἐγχεόμενον, ἐμπνευματώσεις τε καὶ ἤχους ὤτων ἰᾶται, καὶ πυορροίας. καθαίρει δὲ καὶ ῥύπον, σὺν ὄξει ἐγχεόμενον. κυνοδήκτους τε ἰᾶται σὺν στέατι "ὀνείῳ ἢ ὑείῳ. ἀνάστομοῖ δὲ καὶ δοθιῆνας, ἀναληφθὲν τερμινθίνῃ ῥητίνῃ· μετὰ σύκων δὲ, ὑδρωπικῶν ἐστὶ κατάπλασμα· σὺν μέλιτι δὲ ἐγχριόμενον, ὀξυδερκὲς καὶ πρὸς μύκητας σὺν ὀξυκράτῳ ποθὲν ἁρμόζει· πρὸς δὲ βουπρήστεις, σὺν ὕδατι· πρὸς ταύρειον δὲ αἷμα, σὺν σιλφίῳ· "ἀτροφοῦσι τε χρήσιμον κατάπλασμα· παρακμάζουσί τε ὀπισθοτονικοῖς πάθεσι σὺν κηρωτῇ, καὶ στρέμμασι· μίγνυται καὶ ἄρτῳ ὠφελίμως ἐπὶ τῶν τὴν γλῶτταν παραλελυμένων.

Matthioli codex, αἰγείῳ, caprino.

Lac. legit in vet. cod. τρέμουσί τε καὶ στροφουμένοις χρήσιμον &c. iis quos tremor aut torminosus dolor infestant.

A nes, cicatrices albuginésque tollit. Emplastris vnguentisq; coloris gratia miscetur, vti & rosaceo. Sudoré quoque ciet: aluum "turbat in vino & aqua sumptus, stomachóque est inutilis. Additur & acopis, & smegmatis quæ extenuandorũ pilorum gratia componuntur: ac in vniuersum acris est atque igneę feruentísque naturæ, vti sal. B

Pl. fedat.

De Nitro. Cap. CXXX.

Nitrum præfertur leue & roseo colore aut candido, perforatum, perinde quasi spongiosum fistulosúmve quiddam. Tale verò est, quod è "collibus tumulísve affertur. Vim habet humores ex alto euocandi. C

vel, ex Bunis.

De Spuma nitri. Cap. CXXXI.

Spuma nitri, optima censetur leuissima, crustosa, friabilis, colore penè purpureo & spumosa, insuperq; mordens, qualis ex Philadelphia Lydiæ defertur. Secundas tenet Ægyptia. Quin & in Magnesia Cariæ gignitur. Sali parem vim & vstioné D hæc habet, æquè ac nitrum ipsum. Sed hoc ampliùs etiam tormina sedat, si cum cumino tritum bibatur in hydromelite, aut decocto aliquo eorum quæ flatus discutiendi vi prædita sunt, vti rutæ vel anethi. In febribus circuitu redeuntibus illinitur ante suspectam accessionem. E Miscetur & emplastris discutientibus, extrahétibus, extenuantibus & lepras exterentibus. Cum aqua autem calida aut vino infusum, auriũ inflationes ac sonitus, easdémque purulétas sanat. Sordes etiam eiusdem partis expurgat, cum aceto instillatum. Canum morsibus ex asinino adipe aut suillo medetur. Resi- F na exceptum terebinthina furunculos "aperit. Tusum cum ficubus, hydropicis illinitur: & cum melle inunctum, claritatem visus adiuuat. Succurrit venenis fungorũ, ex posca potum: buprestiũ verò, ex aqua: iis qui sanguinem tauri biberint ex "silphio datur: atrophis; hoc est, cibũ G non sentiẽtibus, adhibitũ prodest, & opisthotonis iam remissioribus cũ cerato, itémq; luxatis: in paralysi linguæ pani vtiliter permiscetur.

vl. extrahit.

pl. Laser, aut succus eius.

Aliqui supradicta ignitis indita carbonibus vrunt, subiecta prius testa noua, donec incanduerint.

A ἔνιοι δὲ καίουσι τὰ προειρημένα, ἐπ' ἄνθρακας πεπυρωμένους ἀπερειδόμενοι, προϋποκειμένου καινοῦ ὀστράκου, ἕως ἂν ἐκπυρωθῇ.

De Face. Cap. CXXXII.

Περὶ Τρυγός. Κεφ. ρλβ'.

ELIGENDA Fæx maximè à vino vetere Italico: sin minùs, ab alio consimili. Nam aceti fęx intensioribus est prædita viribus. Crematur vt alcyonium, antè diligenter exiccata. Sunt qui testæ nouæ inditam igni largo vrant, vsquedum altiùs tota incanduerit. Alij ignitis carbonibus fæcis glebam obruunt, & similiter faciunt. Experimentum est legitimè vstæ, vt candido aut aërio colore cōspiciatur, & linguam tactu vrere videatur. Eadem vrendæ fæcis aceti ratio. Vim porrò fæx habet supramodùm vrendi, detergendi, cicatricem inducendi, astringendi, & vehementer exedendi siccandíque. Sed recenti vtendum est, quoniam celeriter expirat & exanimatur: proinde non nisi tecta & vase aliquo condita inclusáve reponi debet. Lauatur eadem, vti pompholyx. Quæ vstionem experta non est, œdemata per se & cum myrto cohibet: ventris stomachíque rheumatismos adhibita sistit: muliebre profluuiū abdomini & verendis imposita mitigat: panos nondum exulceratos, itémque tubercula discutit. Turgētes mammas suíque lactis impatientes cum aceto peruncta extinguit. Cremata verò, scabros vngues cum resina aufert: addito lentiscino oleo illita nocte tota, flauum reddit capillū. Lota oculorum medicamentis, vti spodium, miscetur: & talis etiā eorundem cicatrices atque caligines abstergit.

[illegible] nocte vna [illegible] capillū

ΤΡΥΓΑ δὲ παραληπτέον μάλιστα μὲν τὴν ἀπὸ οἴνου παλαιοῦ Ἰταλικοῦ· εἰ B δὲ μὴ, ἀπὸ ἄλλου ὁμοίου. ἡ γὰρ ἀπὸ ὄξους, ἐπιτέταται τῇ δυνάμει. καυστέον δὲ ὡς ἀλκυόνιον προεξηραμμένην ἐπιμελῶς. τινὲς δὲ ἐπ' ὀστράκων καινῶν θέντες καίουσι πυρὶ δαψιλεῖ, ἕως ἂν ἐμπυρωθῇ κατὰ βάθος. ἄλλοι δὲ εἰς ἄνθρακας πεπυρωμένους ἐγκρύψαντες βῶλον, τὸ ὅμοιον ποιοῦσι. σημεῖον C δὲ τῆς δεούσης καύσεως ἡγητέον, τὸ λευκὸν ἢ ἀεροειδὲς εἶναι τοῦ χρώματος. καὶ τὸ προσενεχθεῖσαν τῇ γλώσσῃ οἱονεὶ φλέγειν αὐτήν. ὡσαύτως δὲ καὶ ἡ ἀπὸ ὄξους καίεται. Δύναμιν δὲ ἔχει καυστικὴν σφόδρα, καὶ σμηκτικὴν, καὶ ἐπουλωτικὴν, στυπτικὴν, καὶ σηπτικὴν ἄγαν καὶ ξηραντικήν. χρηστέον δὲ D τῇ τρυγὶ προσφάτῳ οὔσῃ· ταχὺ γὰρ διαπνεῖται· ὅθεν οὐδὲ ἀσκέπαστον, οὐδὲ χωρὶς ἀγγείοις αὐτὴν ἀποθετέον. πλύνεται δὲ αὕτη, ὡς πομφόλυξ. ἡ δὲ ἄκαυστος, στέλλει οἰδήματα καὶ καθ' ἑαυτὴν καὶ μετὰ μυρσίνης· κοιλίαν τε καὶ στόμαχον ῥευματιζόμενον καταπλασθεῖσα στέλλει· καὶ ῥοῦν γυναι- E κεῖον κατὰ ἤτρου καὶ αἰδοίου καταπλαττομένη, παραιρεῖ· καὶ φύγεθλα ἀνελκῆ καὶ διαφορεῖ καὶ φύματα· μαστούς τε σπαργῶντας καὶ ῥέοντας γάλα σβέννυσι, σὺν ὄξει καταχρισθεῖσα. ἡ δὲ κεκαυμένη, λεπροὺς ἀφίστησιν ὄνυχας σὺν ῥητίνῃ· καὶ μετὰ σχινίνου ἐλαίου συγχρισθεῖσα νύκτα ὅλην, ξανθὰς ποιεῖ F τὰς τρίχας. πλυθεῖσα δὲ μίγνυται εἰς τὰ ὀφθαλμικὰ, ὡς σποδός· σμήχει τε οὐλὰς καὶ ἄχλυς τὰς ἐν ὀφθαλμοῖς ἡ τοιαύτη.

De Calce viua. Cap. CXXXIII.

Περὶ Ἀσβέστου. Κεφ. ρλγ'.

CALX viua hoc modo fit: Marinorum buccinorum testas igni condito, aut ardēti clibano per noctem immittito. Postera die si candidissimæ fuerint, eximito. Sin minùs, iterum vrito, vsquedum vehemēter inalbuerint. Dein vbi in frigidā leuiter eas immerseris, ollę nouę indito, & exactè pannis operiēs, noctem vnam conquiescere sinito.

ΑΣΒΕΣΤΟΣ γίνεται οὕτω· τῶν θαλαττίων κηρύκων τὰ ὄστρακα λαβὼν, πυρὶ ἔγκρυψον, ἢ εἰς κλίβανον διάπυρον καθεὶς ἄφες ἐννυκτερεῦσαι· τῇ δὲ ἐχομένῃ, ἐὰν μὲν G * λευκότατα γένηται, ἀνελοῦ· εἰ δὲ μὴ, πάλιν καῖε ἄχρις ἂν ἱκανῶς λευκανθῇ. εἶτα ἀποβάψας αὐτὰ εἰς ψυχρὸν ὕδωρ, ἔμβαλε εἰς χύτραν καινὴν, καὶ σκεπάσας αὐτὰ ῥάκεσιν ἐπιμελῶς, ἔασον ἐνταῦθα νύκτα μίαν·

πρωῒ δὲ ἀνελόμενος ἀπειληφυῖαν τὸ παντελὲς τῆς κατεργασίας, ἀπόθεσο. σκευάζεται δὲ καὶ ἐκ λίθων κοχλάκων καιομένων, καὶ ἐκ τῆς χυδαίας μαρμάρου, ἥτις καὶ προκρίνεται τῶν ἄλλων. Δύναμιν δὲ ἔχει πᾶσα κοινῶς ἄσβεστος πυρωτικὴν, δηκτικὴν, καυστικὴν, ἐσχαρωτικήν. μιγνυμένη δὲ τισὶν ἑτέροις, ὡς στέατι ἢ ἐλαίῳ, γίνεται πεπτική, μαλακτική, διασκεδαστική, καὶ ἀπουλωτική. ἐνεργεστέραν δὲ αὐτῆς ἡγητέον τὴν πρόσφατον καὶ ἄβροχον.

V. add. ὕδω

Περὶ Γύψου. Κεφ. ρλδ'.

ΓΥΨΟΣ δύναμιν ἔχει στυπτικὴν, ἐμπλαστικήν· αἱμορραγίας τε καὶ ἱδρώτων ἐφεκτικήν. ποθεῖσα δὲ πνίγει τὰ κατὰ πνιγμὸν τρόπῳ.

Περὶ Τέφρας κληματίνης. Κεφ. ρλε'.

ΤΕΦΡΑ κληματίνη δύναμιν ἔχει καυστικήν· σὺν ὀξυγγίῳ δὲ ἢ ἐλαίῳ καταπλασθεῖσα, θλάσματα νεύρων καὶ ἄρθρων λυγίσματα καὶ συστροφὰς νεύρων ὠφελεῖ. σὺν νίτρῳ δὲ καὶ ὄξει, σαρκώσεις ὀσχέου στέλλει. καταπλασθεῖσα δὲ σὺν ὄξει, ἑρπετόδηκτα καὶ κυνόδηκτα ἰᾶται· ἐσχαρωτικοῖς τε μίγνυται. καὶ γίνεται ἡ ἐξ αὐτῆς κονία πρὸς πτώματα, καὶ μύκητας σὺν ὄξει καὶ ἁλσὶ καὶ μέλιτι.

V. πήγνυται

V. caret.

Περὶ Ἀλκυονίου. Κεφ. ρλς'.

ΤΟΥ δὲ Ἀλκυονίου πέντε γνωστέον εἴδη ὑπάρχειν. τὸ μὲν γὰρ πυκνόν ἐστι καὶ στρυφνὸν, καὶ τῷ ἰδεῖν σπογγῶδες, ἔτι δὲ βρωμῶδες καὶ βαρὺ, καὶ ἰχθύος ὄζον, ὃ δὴ πλεῖστον ἐπὶ τῶν ἠϊόνων εὑρίσκεται. τὸ δὲ ἑξῆς κατὰ μὲν τὸ σχῆμα πτερυγίῳ ὀφθαλμικῷ ἢ σπόγγῳ ἔοικε, κοῦφόν τε ἐστὶ καὶ πολύκενον, καὶ φυκώδη ἀποφορὰν ἔχον. τὸ δὲ τρίτον σκωληκοειδὲς ὑπάρχει τῷ τύπῳ, καὶ τῇ χρόᾳ πορφυρώτερον, ὅ τινες Μιλήσιον καλοῦσι. τὸ τέταρτον δὲ ἐρίοις οἰσυπηροῖς ὅμοιον, πολύκενον, κοῦφον. τὸ δὲ πέμπτον ἔοικε μὲν κατὰ σχῆμα μύκητι, ἄοσμόν τε ἐστὶ καὶ τραχὺ, ἔνδοθεν μὲν κισηρει κατά τι ἐοικὸς, ἔξωθεν δὲ λεῖον, δριμὺ, ὃ πλεῖστον ἐν τῇ Προποντίδι κατὰ τὴν καλουμένην Βέσβι-

V. διαφορεῖ

V. ἐμπόρφυρον

Orib. addit σωληνοειδὲς

Al. Βέμβικον

A Mane calcem perfecto omni opere elaboratam extrahito, atq; recondito. Conficitur & è silicibus calculísve littoreis igne crematis, nec non & è vulgari marmore: & hæc quidem cæteris antefertur. Vis omni calci in commune ignea, mordens, adurens & crustas inducens. Mista tamen alijs quibusdam, vt adipi oleóve, B concoquendi, molliendi, dissipandi, discutiendíve & vlcera ad cicatricem perducendi vim ascíscit. Efficacior porrò existimatur quæ recens est, nec aquis aspersa.

De Gypso. Cap. CXXXIIII.

GYPSVM vim habet astrictoriā & emplasticam. C Sanguinis eruptiones sudorésq; cohibet, sed potum strangulando iugulat.

De Sarmentitio cinere. Cap. CXXXV.

SARMENTORVM cinis vrendi vim habet. Cum axungia autem oleóve illitus, neruorum contusio- D nibus, articulorum contorsionibus ac neruorum collectionibus nodísve prodest. Cum nitro & aceto, carnis excrescētias in scroto reprimit. Idem serpentium canúmque morsibus illitus ex aceto medetur, atq; etiam crustas obducentibus medicamentis admiscetur. Fit & ex eo lixiuium contra præcipitationes & E fungorum venena, cum aceto, sale & melle.

De Alcyonio. Cap. CXXXVI.

ALCYONII quinque esse genera compertū est. Vnum enim spissum est, acerbi saporis, spongiosa facie, insupérque virosum, graue ac piscem olens: quod quidem plu- F rimùm in littoribus inuenitur. Alterum oculorum pterygio aut spongiæ simile, leue & multicauum, odore ferè algæ. Tertium vermiculi forma & colore penè purpureū est: quod Milesium quidam vocant. Quartum succidis velleribus non dissimile, multis inanitatibus hians G ac leue. Quintum figura fungi, inodorum, & intus quidem asperum, quodammodo pumicosum, foris verò læue, acre: quod plurimum in Propontide circa insulam Besby-

Pl. odoris foeti

cum appellatá gignitur, patrio nomine halos achnen, quasi maris spumam aut lanuginem, vocant. Duo quidem priora in smegmata fœminarum assumuntur, contra lentigines, lichenas, lepras, vitiligines, nigritias & maculas in facie reliquóque corpore. Tertium verò, iis qui difficili vrina vexantur, aut arenulas in vesica colligunt idoneum est: itémque nephriticis, & ad hydropem lienísque vitia. Vstum autem & ex vino illitum, alopecias replet. Postremum dealbandis dentibus aptum est: assumitur & in alia smegmata psilothráq; cum sale mistũ. Quòd si quis aliquod ex hisce alcyonij generibus cremare voluerit, addito sale in crudam ollam mittat, lutóque oblito eius spiraculo fornaci mandet: & cùm figlinum percoctum assatúmve fuerit, extrahat & ad vsus recondat. Cæterùm lauatur vti cadmia.

De Adarce. Cap. CXXXVII.

GIGNITVR in Galatia quod Adarces appellatur. Est autem tanquam concreta salsilago, quę humidis & palustribus locis siccitate emergit, & circa arundines gramináve concrescit, colore flori lapidis Asij similis, tota verò forma molli, & multiforo alcyonio proxima, vt videri possit alcyonium palustre. Ad exterendas lepras, maculas à solis ardore contractas, lichenas, lentigines, similiáque vitia, accommodatur: & in summa vis ei acris. Sed & humores ex alto euocat: quamobrem & ischiadicis opitulatur.

De Spongijs. Cap. CXXXVIII.

E SPONGIIS alias nonnulli mares appellauêre, quæ tenuibus sunt fistulis ac spissæ densæve, è quibus rursum duriores tragos nominauerunt: alias verò fœminas, quæ contrario ac antedictæ modo se habet. Vruntur autem similiter atque alcyonium. Nouæ recentésve ac minimè pingues, vulnerariæ sunt & tumores reprimunt: recentia vulnera ex aqua poscáve conglutinãt: at ex melle cocto, veteres sinus iungunt. Vetustæ autem, inutiles. Sed & ipsæ coëuntia præclusáve vlcera callósque diducunt atq; dirimunt,

A κον νῆσον δύναται, ὃ ἐπιχωρίως ἅλος ἄχνην καλοῦσι. τούτων δὲ μὲν πρῶτον καὶ τὸ δεύτερον, εἰς σμήγματα παραλαμβάνεται γυναικῶν, καὶ πρὸς φακοὺς, λειχῆνάς τε καὶ λέπρας, ἀλφούς τε καὶ μελανίας καὶ σπίλους τοὺς ἐπὶ προσώπου καὶ τοῦ λοιποῦ σώματος. τὸ δὲ τρίτον εὐθετεῖ πρὸς
B δυσουροῦντας καὶ ἀμμώδη συλλέγοντας ἐν τῇ κύστει· καὶ πρὸς νεφρικοὺς, πρὸς ὕδρωπα, σπλῆνα. καὲν δὲ καὶ καταπλασθὲν σὺν οἴνῳ, ἀλωπεκίας δασύνει. τὸ δὲ ὕστατον, ὀδόντας λευκαίνειν δύναται. παραλαμβάνεται δὲ καὶ πρὸς ἄλλα σμήγματα καὶ ψίλωθρα, μιγνύμενον σὺν ἁλσί.
C καῦσαι δέ τι τούτων βουλόμενος, μεθ' ἁλῶν εἰς ὠμὴν χύτραν ἔμβαλε, καὶ περιαλείψας τὸ στόμα αὐτῆς πηλῷ, δὸς εἰς κάμινον· ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος αὐτῆς, ἀνελόμενος ἀπόθου καὶ χρῶ. πλύνεται δὲ ὡς ἡ καδμεία.

Al. κατακλυσθὲν

V. θεραπεύει

Περὶ Ἀδάρκου. Κεφ. ρλζ'.

D ΟΔΕ προσαγορευόμενος Ἀδάρκης, γίνεται μὲν ἐν Γαλατίᾳ· ἔστι δὲ ὥσπερ ἐπίπαγος ὑφαλμυρίζων, καθ' ὑγρῶν καὶ τελματωδῶν τόπων ἐν ξηρασίᾳ ἐπιγινόμενος, καὶ περιπηγνύμενος καλάμοις καὶ χορταρίοις. ἔοικε δὲ τὴν χρόαν ἄνθει Ἀσίας λίθου, τῷ δὲ ὅλῳ τύπῳ, ἀλκυονίῳ
E τῷ μαλακῷ καὶ πολυκένῳ· καὶ ἔστιν οἱονεὶ λιμναῖον ἀλκυόνιον. Εὐθετεῖ δὲ πρὸς ἐκδορὰς λεπρῶν καὶ ἐφηλίδων καὶ λειχήνων, καὶ φακῶν, καὶ τῶν ὁμοίων. καθόλου δὲ ἐστι δριμὺ, καὶ μετασυγκριτικὸν, ὠφελεῖ καὶ ἰσχιαδικούς.

V. Καππαδοκίᾳ

V. ὑποκένῳ

Περὶ Σπόγγων. Κεφ. ρλη'.

ΤΩΝ δὲ Σπόγγων τοὺς μὲν ἄρρενας ἐ-
F κάλεσάν τινες λεπτοτρήτους καὶ πυκνοὺς ὄντας· ὧν τοὺς σκληροτέρους τράγους ὠνόμασαν· τοὺς δὲ, θηλεῖς, οἱ ἐναντίως τοῖς προειρημένοις διάκεινται. καῦσιν δὲ ἔχουσι τὴν αὐτὴν ἀλκυονίῳ. ὁ* κενὸς δὲ καὶ ἀλιπὴς, τραυματικός τε ἐστὶ καὶ οἰδήματα στέλλει· καὶ τὰ νεότερα κολλᾷ σὺν ὕδατι ἢ
G ὀξυκράτῳ· σὺν μέλιτι δὲ ἑφθῷ, παλαιοὺς κόλπους προσκολλᾷ. ὁ δὲ παλαιὸς, ἄχρηστος. διαστέλλουσι δὲ καὶ μεμυκότα ἕλκη, καὶ τύλους ἀποδεσμούμενοι λίνῳ καὶ αὐτοὶ

ξηραὶ παρεντιθέμεναι ὥσπερ μότα. τὰ δὲ ῥευματικὰ ὑπόνομα καὶ χρόνια ἕλκη ξηραίνουσιν, ἐπιτιθέμεναι ἄικμοι νέοι καὶ *κενοί. ἐπέχουσι δὲ καὶ *αἱμορραγίαν. σὺν ὄξει δὲ κεκαυμέναι, πρὸς ξηροφθαλμίας, καὶ ὅπου δεῖ σμῆξαί τι, *ἢ στύψαι.] βέλτιον δὲ ποιοῦσι πλυθέντες εἰς τὰ ὀφθαλμικά. σὺν δὲ πίσσῃ καέντες, πρὸς αἱμορραγίας ἁρμόζουσι. λευκαίνονται δὲ αὐτῶν αἱ ἁπαλώταται ἐν *τοῖς καύμασι, βρεχόμεναι τῇ ἐπὶ τῶν πετρῶν συνισταμένῃ ἁλὸς ἄχνῃ, καὶ ἡλιαζόμεναι· ἐπιβλεπέτω δὲ τὸ μὲν κοῖλον αὐτῶν ἄνω, κάτω δὲ ἡ ἀποτομή. εἰ δὲ εἴη αἰθρία θερεία, καὶ ὑπὸ τὴν σελήνην τίθενται βρεχόμεναι ἁλὸς ἄχνῃ ἢ θαλάσσῃ· γίνονται δὲ λευκόταται οἱ τοιοῦτοι.

V. μοτάρια

Mar. & Cor. legunt, αἱμορραγίαν σὺν ὄξει. κεκαυμέναι δὲ

V. caret.

G. ἐν τοῖς ὑπὸ κύνα καύμασιν.

A si aridæ lino alligatæ linamētorum modo adigantur: fluxione autem laborantia, cuniculosa seniliáque vlcera, humoris expertes, recentes ac nouæ impositæ, siccant: sanguinis etiam eruptiones cohibēt. Crematæ ex aceto, lippitudini aridæ auxiliantur: & vbi quid abstergere aut adstringere opus est. Sed vtilius B cinerem lauare in oculorum medicamentis. Earundem cinis cum pice crematarum, profluentē sanguinem sistit. Candidæ porrò cura fiunt quæ inter eas sunt mollissimę, si per æstiuos ardores salis spuma petris adhærescente tingantur, & insolentur inuersæ: ita vt parte caua sursum spectent, qua verò parte C resectæ fuerint, deorsum. Quòd si æstiua sit serenitas, etiā ad Lunam sternuntur, spuma salis marináve aqua perfusæ: ac tales candidissimæ euadunt.

Περὶ Κοραλλίου. Κεφ. ρλθ'.

ΤΟ ΔΕ Κοράλλιον ὅπερ ἔνιοι λιθόδενδρον ἐκάλεσαν, δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον, στερροποιεῖσθαι δὲ ἅμα ἐκ τοῦ βυθοῦ ἑλκυσθῆναι, ἔξαλον γινόμενον, καὶ *βαπτόμενον ὥσπερ ὑπὸ τοῦ περικεχυμένου ἡμῖν ἀέρος. εὑρίσκεται δὲ πλεῖστον ἐν τῷ κατὰ Συρακούσας ἀκρωτηρίῳ τῷ καλουμένῳ Παχύνῳ. ἄριστον δέ ἐστι τὸ πυῤῥὸν τῇ χρόᾳ καὶ ἐμφερὲς *αἰθειχῷ χρώματι, ἢ σάνδυκι κατακορεῖ, εὔθρυβές τε ὡσαύτως, καὶ ὁμαλὸν δι᾽ ὅλης τῆς συγκρίσεως, ἔτι δὲ ὀσμὴν *βρυώδη καὶ φυκίοις ἐμφερῆ ἔχον. πρὸς δὲ τούτοις πολύοζον καὶ κινναμωμίζον τῷ τύπῳ τῶν θαμνίσκων. τὸ δὲ λιθῶδες τῇ συγκρίσει καὶ τῇ *χρόᾳ ψαφαρόν, σεσηραγγωμένον τε καὶ χαῦνον, φαῦλον οἰητέον εἶναι. στύφει δὲ τῇ δυνάμει καὶ ψύχει ἐπιεικῶς. καταστέλλει δὲ τὰ *ὑπερέχοντα καὶ οὐλὰς σμήχει τὰς ἐν ὀφθαλμοῖς· πληροῖ δὲ καὶ κοιλώματα καὶ *οὐλὰς· πρός τε αἵματος ἀναγωγὰς ἱκανῶς ἐνεργεῖ, καὶ δυσουροῦσιν ἁρμόζει. καὶ σπλῆνα τήκει, σὺν ὕδατι πινόμενον.

V. addit, χαλκῖτιν, βρυώδη

V. addit, ὑπερσαρκοῦντα καὶ

V. & Drag. capitis calci addunt, τοῦτο καὶ φυλακτήριον καὶ παντὸς κακοῦ ἀποτρόπαιόν ἐστι. i. quasi præseruatorium amuletū est, quo mala omnia depelluntur & auerruncantur.

De Corallio. Cap. CXXXIX.

CORALLIVM, quod aliqui lithodendron appellarūt, mariná D esse plantam constat: quæ quidem alto mari exempta, duratur statim atque emergit, quasi à circumfuso nobis aëre lapidescat cōcrescátve. Plurimum inuenitur in promontorio Syracusis imminēte, cui Pachyno nomen est. Probatissimum rubens, colore sandarachæ aut sandycis saturatæ, nec secus terenti faci- E lè cedens, & æquabili vsquequaque concremēto, insupérque musci aut fuci marini odorem referens, & quàm ramosissimum, forma fruticis, cinnamomi æmulum. Quod autem in lapidis duritiam coiit, scabrosum, fistulosum seu cōcauū, prætereà & inane seu spongiosum, vi- F tiosum existimatur. Astringit & refrigerat mediocriter, excrescentia coërcet, oculorū cicatrices abstergit, vlcera eorundem caua explet, ac cicatrices extenuat. Contra sanguinis reiectiones excreationésve efficax est, & vrinæ difficultate laborantibus auxiliatur. Quin & potum ex aqua, lienem absumit.

Περὶ Ἀντιπαθοῦς. Κεφ. ρμ'.

Καὶ τὸ καλούμενον δὲ ἀντιπαθὲς, κοράλλιον οἰητέον ὑπάρχειν, εἰδικὴν ἔχον διαφοράν.

G De Antipathe. Cap. CXL.

Quod antipathes vocatur, corallium quoque esse censendum est, sed specie tantummodo distās.

Est autem colore nigro, arboris & ipsum figura, at magis ramosum. Vires supradicti habet.

De Phrygio lapide. Cap. CXLI.

PHRYGIVS lapis, quo infectores in Phrygia vtuntur, à qua etiam nomen accepit, nascitur in Cappadocia. Optimus habetur pallidus, modicè ponderosus, corporis compage minimè solida, & candidis intercurrentibus lineis, vt in cadmia. Vritur autem in hunc modum: Vino optimo perfusum, viuísque carbonibus obrutum follibus assiduè sufflato: ac vbi colore mutato magis fuluus euaserit, extractum eodem vino restinguito. Eadem iterum prunis imponens facito: sed & tertiò ipsum vrito: attamẽ attende ne comminuatur, & in fuliginẽ euanescat. Vim habet crudus vstúsque efficaciter astringendi, insupérq; expurgandi, & crustas quadantenus obducẽdi. Ambustis cum cerato medetur. Cæterùm lauatur, vti cadmia.

De Asio lapide. Cap. CXLII.

ASIVS lapis assumi debet pumicis colore, fungosus & leuis, insupérque friabilis, quíque fissilibus venis luteis ad imum vsque scindatur. Eius verò flos salsugo est subflaua, summo lapidi insidẽs: tenui quidem compage, attamen colore partim candido, partim pumici simili, ad luteum vergente. Admotus linguæ, aliquantum mordet. Vim habet, tum lapis, tum & ipse flos astrictoriam & leuiter exedentem, ita tamen vt ne erodat. Excepti resina terebinthina aut liquida pice, tubercula discutiunt: sed præstantior efficaciórve flos existimatur. Ex abundanti verò siccatus flos vetera & cicatrici repugnantia vlcera sanat: carnis excrescentias cohibet, fungis similia ac tetra ferináve vlcera cum melle repurgat: vlcerum caua explet & expurgat, cum melle: depascẽtiáque cum cerato sistit. Fit ex eo cataplasma podagricis, misto fabæ lomento: & lienosis, ex aceto & viua calce. Prodest itidem flos ex melle phthisicis linctu.

A ἔστι δὲ τῇ μὲν χρόᾳ μέλαν, δενδρίζον δὲ καὶ αὐτὸ, καὶ ὀζῶδες μᾶλλον. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Φρυγίου λίθου. Κεφ. ρμα´.

ΛΙΘΟΣ Φρύγιος, ᾧ οἱ βαφεῖς ἐν Φρυγίᾳ χρῶνται (ὅθεν καὶ ὠνόμασται,) γεννᾶται ἐν Καππαδοκίᾳ. ἄριστος δὴ ἐστὶν ὁ ὠ-
B χρὸς καὶ μέσως βαρὺς, "οὐκ εὔτονος τῇ συγκρίσει τοῦ σώματος, ἔχων δὲ διαφύσεις λευκὰς, ὡς καδμεία. καίεται δὴ ὁ λίθος οὕτω· βρέξας αὐτὸν καλλίστῳ οἴνῳ, διαπύροις ἔγκρυψον ἄνθραξι, καὶ ῥίπιζε συνεχῶς. ἐὰν δὲ μεταβάλλῃ τὴν χρόαν κιρρότερος γενόμενος, ἐξελὼν αὐτὸν τῷ αὐτῷ σβέσον οἴ-
C νῳ. καὶ πάλιν εἰς τοὺς ἄνθρακας ἀποθέμενος τὰ αὐτὰ ποίει. καῖε δὲ αὐτὸν ἐκ τρίτου, προσέχων μὴ θρυβῇ καὶ ἀποσβολωθῇ. Δύναμιν δὲ ἔχει ὠμός τε καὶ κεκαυμένος στυπτικὴν "ἐνεργῶς, ἔτι δὲ ἀνακαθαρτικὴν καὶ ἐσχαρωτικὴν "ποσῶς, ["καταπλασμάτων τε ἰατικὴν σὺν κηρωτῇ. πλύ-
D νεται δὲ, ὡς ἡ καδμεία.

Ald. ἐναργῶς

V. caret. Sic v. cod. quem & Ruellius videtur secutus: at vulg. exẽpl. καταπλασμάτων

Περὶ Ἀσίου λίθου. Κεφ. ρμβ´.

ΑΣΙΟΝ δὲ λίθον παραληπτέον τὸν "*κισσηρώδη τὴν χρόαν, χαῦνόν τε καὶ κοῦφον, ἔτι δὲ εὔθρυπτον, καὶ διαφύσεις μηλίνας ἔχοντα διὰ βάθους. τὸ δὲ ἄνθος αὐτοῦ ἐστὶν ἡ ἐφιζάνουσα ἐπίξανθος ἁλμυρὶς τῇ
E ἐπιφανείᾳ τῶν λίθων, τῇ μὲν συστάσει λεπτὴ, τῇ δὲ χρόᾳ τὸ μέν τι λευκόν ἐστι, τὸ δὲ τι ἔοικε κισσήρει, ἐπὶ τὸ μήλινον τετραμμένον· προσαγόμενόν τε τῇ γλώττῃ δάκνει ποσῶς. Δύναμιν δὲ ἔχει ἑκάτερον στυπτικὴν, σηπτικὴν ἡσυχῇ, καὶ διαφορητικὴν φυμάτων, τερεβινθίνῃ ἀναλαμβανό-
F μενον ῥητίνῃ ἢ ὑγρᾷ πίσσῃ. εὐτονώτερον δὲ τὸ ἄνθος ἡγητέον. ἐκ περιουσίας δὲ τοῦτο ξηραινόμενον, τὰ παλαιὰ καὶ δυσκατούλωτα ἕλκη ἰᾶται· καταστέλλει δὲ τὰ ὑπερσαρκοῦντα, καὶ ἀνακαθαίρει σὺν μέλιτι τὰ μύκησιν ὅμοια καὶ θηριώδη· πληροῖ δὲ καὶ τὰ κοῖλα τῶν ἑλκῶν καὶ ἀνακαθαίρει σὺν μέλιτι· καὶ τὰ νεμόμενα δὲ ἵστη-
G σι, μιγνύμενον κηρωτῇ· καὶ ποδαγρικοῖς ἐν καταπλάσμασι μετὰ ἐρεγμοῦ· καὶ σπληνικοῖς, μεθ' ὄξους καὶ ἀσβέστου. ἐκλειχόμενόν τε τὸ ἄνθος μετὰ μέλιτος, φθισικοὺς ὠφελεῖ.

Aëtius πωρώδη scribit κατά τε τὴν χρόαν καὶ τὴν σύστασιν, callosum & colore & consistentia.

κατασκευάζονται δὲ καὶ πύελοι ἐκ τοῦ λίθου, εἰς ἃς οἱ ποδαγρικοὶ τοὺς πόδας ἐνθέντες ὠφελοῦνται. καὶ σοροὶ σαρκοφάγοι γίνονται. *ἰσχναίνουσαι τὰ πολύσαρκα καὶ παχέα σώματα, *καταπλασσόμεναι ἀντὶ νίτρου ἐν βαλανείῳ. ἐὰν δέ τις πλῦναι θέλῃ τὰ προγεγραμμένα, πλυνέτω ὡς τὴν καδμείαν.

Περὶ Πυρίτου λίθου. Κεφ. ρμγ΄.

Πυρίτης εἶδός ἐστι λίθου, ἀφ' οὗ χαλκὸς μεταλλεύεται. ληπτέον μέντοι τὸν χαλκοειδῆ, εὐχερῶς δὲ σπινθῆρας ἀφιέντα. καυστέον δὲ τρόπῳ τοιούτῳ. μέλιτι δεύσας αὐτόν, ἔνθες εἰς ἄνθρακας μαλακούς, καὶ ῥίπιζε συνεχῶς, ὡς ἂν τὴν χροιὰν πυρρὸς γένηται. (Forte, ἕως ἂν) ἔνιοι δὲ εἰς πολλοὺς καὶ πεπυρωμένους ἄνθρακας ἀποτίθενται ἱκανῶς βεβρεγμένον τῷ μέλιτι τὸν λίθον. ὅταν δὲ μεγάλη τρέπεσθαι ἐπὶ τὸ κιρρόν, αἴρονται. καὶ ἀποφυσήσαντες τὴν σποδόν, πάλιν καίουσι διάβροχον, ἕως ἂν ψαθυρώτερος γένηται ὁμαλῶς· πολλάκις γὰρ μόνον ἐπικαίεται τὸ ἐπιφανές. οὕτω δὲ ἀποκαύσαντες καὶ ξηράναντες, ἀποτίθενται. ἐὰν δὲ πεπλυμένου χρεία ᾖ παρ' ἀρχῇ, πλυτέον ὡς καδμείαν. Δύναμιν δὲ ἔχει κεκαυμένος καὶ ὠμὸς "θερμαντικήν, σμηκτικήν, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς "ὄψεσι, διαφορητικήν τε καὶ πεπτικὴν σκληρωμάτων. ἀναληφθεὶς δὲ ῥητίνῃ καταστέλλει τὰ ὑπερσαρκοῦντα μετὰ ποσῆς θερμασίας καὶ στύψεως. καλοῦσι δὲ ἔνιοι τὸν οὕτω καέντα, διφρυγές.

V. caret.

V. κόρας, significantius.

Περὶ Αἱματίτου λίθου. Κεφ. ρμδ΄.

Αἱματίτης δὲ λίθος ἄριστός ἐστιν ὁ εὔθρυπτος μὲν καὶ κατακορής, ἤτοι μέλας, ἐν ἑαυτῷ δὲ σκληρὸς καὶ ὁμαλός, ἀνεπίμικτος ῥυπαρίας τινὸς ἢ διαζωμάτων. Δύναμιν δὲ ἔχει στυπτικήν, θερμαντικὴν ποσῶς, καὶ λεπτυντικὴν καὶ σμηκτικὴν οὐλῶν τῶν ἐν ὀφθαλμοῖς καὶ τραχωμάτων, σὺν μέλιτι· σὺν δὲ γάλακτι γυναικείῳ, πρὸς ὀφθαλμίας καὶ ῥήξεις, καὶ ὑφαίμους ὀφθαλμούς. πίνεται δὲ σὺν οἴνῳ πρὸς δυσουρίαν καὶ ῥοϊκάς, καὶ πρὸς αἵματος πτύσεις σὺν χυλῷ ῥοιᾶς. γίνεται δὲ καὶ κολλύρια ἐξ αὐτοῦ καὶ ἀκόνια, πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη ἐπιτήδεια.

A Iuuantur etiam podagrici, pedibus in solio ex eo lapide cauato inditis. Fiunt & loculi, qui defunctorũ carnes exedunt. Extenuantur quoque valdè carnosa & obesa corpora, si eiusmodi flore in balneo nitri vice inspergantur. Quod si seu lapidem, seu florẽ ipsum lauare libet, cadmię modo lauato.

B *De Pyrite lapide. Cap. CXLIII.*

PYRITES lapidis genus est, ex quo æs conflatur. Eligi debet æris similitudine, quique facilè scintillas edat. Vritur autẽ in hunc modum: Irrigatus melle, carbonibus lętis inditur, & assiduè sufflatur follibus, donec rufescat. Alij lapidem C copioso melle perfusum in multos carbones igni candentes demittũt: ac vbi ad fuluum colorem vergere cœperit, ab igne amouent, difflatóque cinere denuò perfusum cremãt, donec æqualiter assiccat⁹ friabilior reddatur: siquidem sæpenumerò facies summa solùm amburitur. Ita porrò crematum siccatúmD que recondunt. Sin eloto opus sit, lauari debet vti cadmia. Tam vsti quàm crudi vis est excalfacere, abstergere, offusam oculis caliginem expurgare, duritias & discutere & maturare. Idem resina exceptus, excrescentia in carne cohibet cum aliquantula caliditate & astrictione. Neque verò desunt, qui ita vE stum diphryges appellent.

De Hæmatite lapide.
Cap. CXLIIII.

HÆMATITES optimus habetur friabilis & saturato sanguinis colore, seu niger, suapte natura durus & æquabilis, nulla sorde admista, nullóque zonarum discursu. F Vim habet astrictoriam, aliquãtum excalfacientẽ & extenuantẽ. Oculorum cicatrices & scabritias cum melle exterit. Cũ lacte verò muliebri, lippitudini & diruptis atque cruore suffusis oculis cõuenit. Bibitur autẽ cõtra difficultatẽ vrinæ & "fluores muliebres in vino: & cõtra (Pl. profluuia) sanguinis excreationes, cum Punici G mali succo. Fiunt & ex eo collyria itémque coticulæ, quæ aduersus oculorum affectus accommodantur.

Vritur

Vritur vt Phrygius lapis, dempto ſaltem vino. Modus vſtionis eſt, vt modicè leuis fiat, & bullis quibuſdam intumeſcat. Sunt porrò qui hæmatiten ita adulterant. Glebam ſchiſti lapidis denſam rotundámque, cuiuſmodi ſunt quæ eius radices vocantur, in vrceum figlini operis, qui feruentem cinerem contineat, condunt: deindéque breui interpoſita mora eximunt, atque explorant num ad cotem trita hæmatitæ colorem reddat. Quòd ſi ita res habet, reponunt: ſin minùs, iterum nouo cinere obruunt, & ſubinde conſpicientes periculum faciunt: quoniam diutiùs in cinere dimiſſa colorem mutat, móxque diffunditur. Diſcernitur autem adulteratus, primùm ſciſſilibus venis: quippe per venarum ductus in rectum diffringitur, at hæmatites non item. Deinde etiam colore: nanque hic floridum reddit, hæmatites verò ſaturatiorem atque cinnabarin imitantem. Inuenitur & hæmatites in rubrica Sinopica, & è magnete lapide vehementer vſto paratur: ac natiuus quidem in Ægypto effoditur.

De Schiſto, ſeu Sciſſili lapide. Cap. CXLV.

SCISSILIS lapis in Occidentali Iberia naſcitur. Probatur maximè qui croci colorem æmulatur, friabilis ac ſuapte natura fiſſilis, tū concremento, tum etiam mutua venarum cohærentia ſali Ammoniaco ſimilis. Vim exhibet hæmatitæ, ſed ad omnia infirmiorem. Quin & caua oculorum vlcera explet muliebri lacte dilutus, itémque ad diruptos & procidentes oculos, inſupérque craſſitiem genarum & ſtaphylomata, magnoperè efficax eſt.

De Gagate lapide. Cap. CXLVI.

PRÆFERENDVS Gagates q. celeriter accēditur, & odorē bituminis reddit. Eſt autē niger plerunque & ſquallidus, prætereaq; cruſtoſus & perquàm leuis. Vis ei molliēdi &

A καίεται δ' ἐμφερῶς τῷ Φρυγίῳ λίθῳ τοῦ οἴνου περιῃρημένου. μέτρον δὲ ἔστω τῆς καύσεως, τὸ γίνεσθαι αὐτὸν μέσως κοῦφον καὶ πεπομφολυγωμένον. δολοῦσι δέ τινες τὸν περιειρημένον οὕτω· λαβόντες βῶλον σχιστοῦ λίθου πυκνόν τε καὶ στρογγύλον (τοιαῦται δέ εἰσιν αἱ λεγόμεναι ῥίζαι αὐτοῦ) εἰς κεραμίαν γάστραν ἔχουσαν θερμοσποδιὰν θερμὴν ἐγκρύπτουσιν. εἶτα διαλιπόντες μικρόν, ἀναιροῦνται, καὶ ἐπ' ἀκόνης τρίβουσι, δοκιμάζοντες εἰ τὴν τοῦ αἱματίτου χρόαν ἀπείληφε· κἂν μὲν οὕτως ἔχῃ, ἀποτίθενται· εἰ δὲ μή, πάλιν ἐγκρύπτουσι, συνεχῶς ἐφορῶντες καὶ δοκιμάζοντες· ἀφεθεὶς γὰρ ἐπιπολὺ ἐν τῇ σποδιᾷ μεταβάλλει τῷ χρώματι, ἔπειτα διαχεῖται. ἀπελέγχεται δὲ ὁ κεκακοτεχνημένος, πρῶτον μὲν ταῖς διαφύσεσι. ὁ μὲν γὰρ εἰς κτηδόνας ἐπ' εὐθείας ἀποκλᾶται. ὁ δὲ αἱματίτης, οὐχ οὕτως ἔχει· ἐν * τῇ χρόᾳ· ὁ μὲν γὰρ εὐανθῆ ἀνίησιν· ὁ δὲ αἱματίτης, βαθυτέραν καὶ τῷ κινναβάρει ἐοικυῖαν. εὑρίσκεται δὲ καὶ ἐν τῇ Σινωπικῇ μίλτῳ, καὶ ἐκ τῆς μαγνήτιδος πέτρας καιομένης ἐφ' ἱκανὸν κατασκευάζεται αἱματίτης. ὁ δὲ αὐτοφυής, ἐν Αἰγύπτῳ μεταλλεύεται.

Περὶ Σχιστοῦ λίθου. Κεφ. ρμέ.

ΣΧΙΣΤΟΣ δὲ λίθος, γίνεται μὲν ἐν τῇ κατὰ ἑσπέραν Ἰβηρίᾳ. ἄριστος δὲ εἶναι δοκεῖ ὁ παρακροκίζων τῇ χρόᾳ, εὔθρυβής τε καὶ εὔσχιστος ὡς ἐν ἑαυτῷ. ἔοικε δὲ τῆς συνθέσεως ἕνεκεν καὶ τῆς ἀλληλουχίας τῶν κτηδόνων αὐτοῦ Ἀμμωνιακῷ ἁλί. Δύναμιν δὲ τὴν αὐτὴν τῷ αἱματίτῃ εἰσφέρεται, τῇ εὐτονίᾳ μόνον λειπόμενος αὐτοῦ. πληροῖ δὲ καὶ κοιλώματα γυναικείῳ διεθεὶς γάλακτι, καὶ πρὸς ῥήξεις καὶ προπτώσεις, ἔτι δὲ παχύτητας βλεφάρων καὶ σταφυλώματα λίαν ἐνεργεῖ.

Περὶ Γαγάτου λίθου. Κεφ. ρμϛ'.

ΤΟΥ δὲ Γαγάτου προκριτέον τὸν ταχέως ἐξαπτόμενον, καὶ ἀσφαλτίζοντα τῇ ὀσμῇ· μέλας δὲ κοινῶς ὑπάρχει καὶ αὐχμηρός, ἔτι δὲ πλακώδης καὶ κοῦφος ἄγαν. Δύναμιν δὲ ἔχει μαλακτικὴν

A καὶ διαφορητικήν. ἔστι δὲ καὶ ἐπιληπτικῶν ἔλεγχος ὑποθυμιαθεὶς, καὶ ὑστερικὰς ἀνακαλεῖται· διώκει δὲ καὶ ἑρπετὰ θυμιαθεὶς, καὶ ποδαγρικαῖς καὶ ἀκόποις μίγνυται δυνάμεσι. γίνεται δὲ ἐν *Κιλικίᾳ κατά τινα ποταμοῦ εἴσρευσιν εἰς θάλασσαν ἐκχεομένου· ἔστι δὲ πλησίον τῆς λεγομένης Πλαγιουπόλεως. καλεῖται δὲ ὁ τόπος ἢ *ὁ ποταμὸς Γάγας, παρ' οὗ τῷ στόματι εὑρίσκονται οὗτοι οἱ λίθοι. B

Περὶ Θρακίου λίθου. Κεφ. ρμζ'.

Ὁ δὲ λεγόμενος Θρακίας, γίνεται μὲν ἐν Σκυθίᾳ, ἐν ποταμῷ τῷ λεγομένῳ Πόντῳ. Δύναται δὲ τὰ αὐτὰ τῷ Γαγάτῃ. ἱστορεῖται δὲ ἐκκαίεσθαι μὲν αὐτὸν ὕδατι, C σβέννυσθαι δὲ ὑπὸ ἐλαίου· ὅπερ καὶ ἐπὶ τῆς ἀσφάλτου γίνεται.

Περὶ Μαγνήτου. Κεφ. ρμη'.

Τοῦ δὲ Μαγνήτου λίθου ἄριστός ἐστιν ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων, καὶ τὴν χρόαν κυανίζων, πυκνός τε καὶ οὐκ ἄγαν βαρύς. Δύναμιν δὲ ἔχει πάχους ἀγωγόν, D διδόμενος μετὰ μελικράτου τριωβόλου βάρος. ἔνιοι δὲ τοῦτον καίοντες, ἀντὶ αἱματίτου πιπράσκουσιν.

Περὶ Ἀραβικοῦ λίθου. Κεφ. ρμθ'.

Ὁ δὲ Ἀραβικὸς λεγόμενος λίθος ἔοικεν *ἐλέφαντι ἀσπίλῳ. οὗτος λεῖος καταπλασθεὶς, αἱμορροΐδας ἀποξηραίνει· ὀδόντων δὲ σμῆγμα γίνεται, "καυθείς. E

Al. additur, χάλλισον

Περὶ Γαλακτίτου λίθου. Κεφ. ρν'.

Ὁ δὲ Γαλακτίτης ὠνόμασται, ἀπὸ τοῦ γαλακτῶδες ἀνιέναι. ἔστι μέντοι ὅμως ἔντεφρος τὴν χρόαν, γλυκὺς πρὸς τὴν γεῦσιν· ἁρμόζει δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ ἕλκη, ἐγχριόμενος· δεῖ δὲ τρίψαντας αὐτὸν ὕδατι, F ἀποτίθεσθαι ἐν πυξίδι μολιβδίνῃ, διὰ τὸ περὶ αὐτὸν κολλῶδες.

Περὶ Μελιτίτου λίθου. Κεφ. ρνα'.

Ὁ δὲ Μελιτίτης κατὰ πάντα ἔοικε τῷ γαλακτίτῃ· διαφέρων ἐν τῷ γλυκύτερον ἀνιέναι τὸν χυλόν. ποιεῖ δὲ πρὸς ἃ καὶ ὁ γαλακτίτης. G

Περὶ Μορόχθου λίθου. Κεφ. ρνβ'.

Lac. in vet. cod. μόρεξος V. ὀρειοσκόπος

Λίθος "Μόροχθος, ὃν ἔνιοι γαλαξίαν ἢ λευκογραφίδα ἐκάλεσαν, ἐν Αἰγύπτῳ γίνεται· ᾧ καὶ οἱ "ὀθονοποιοὶ πρὸς

discutiendi. Suffitus morbum sonticum deprehēdit, recreátque vuluæ strangulationes: fugat & serpentes nidore. Podagricis medicaminibus & acopis additur. In Lycia porrò nascitur, quà influens amnis in mare effunditur, proximè oppidum quod Plagiopolis dicitur. Vocatur autē Gagas & locus, & amnis ad cuius ostium id genus lapidum inuenitur.

De lapide Thracio. Cap. CXLVII.

LAPIS Thracius dictus, gignitur in flumine quodam Scythiæ, cui Ponto nomen est. Vis eadem quæ Gagatæ. Traditur autem accendi aqua, oleo verò restingui: id quod etiam bitumini accidit.

De Magnete. Cap. CXLVIII.

LAPIS Magnes optimus est, qui ferrum facilè attrahit, & colore vergit ad cæruleum, densus, nec admodum grauis. Vim habet crassos humores educendi, si ex aqua mulsa detur trium obolorum pondere. Sunt verò qui crematum hunc pro hæmatite vendant.

De Arabico lapide. Cap. CXLIX.

ARABVS lapis ebori minimè maculoso similis est. Is tritus illitu hęmorrhoidas exiccat. Crematus autem, dentifricijs accommodatur.

De Galactite lapide. Cap. CL.

GALACTITES nomē inde traxit, quòd lacteum succū remittat: alioqui tamen cinerei est coloris, & gustu dulcis. Ad oculorū fluxiones & vlcera cōuenienter inungitur. Oportet autē in aqua tritum pyxide plumbea recōdere, propter lentorem qui illi obhæret.

De Melitite lapide. Cap. CLI.

MELITITES omnino Galactitæ similis: hoc tantùm interest, quòd dulciorem succum resudat. Eiusdem vt galactites effectus.

De Morochtho lapide. Cap. CLII.

MOROCHTHVS lapis, quem aliqui galaxiā aut leucographida vocauerunt, in Ægypto nascitur: ac eo quidē, quippe cū mollis sit, fa-

cileq; diluatur, linteones dealbādis linteis vtuntur. Creditur ſpiracula corporis obducere, conuenítq; ſanguinem excreantibus, cœliacis & veſicę dolore vexatis, cum aqua potus: itémque fœminis fluxione vuluæ laborātibus, & ſimiliter potus & in peſſo appoſitus. Mollibus etiam oculorum medicamentis miſcetur: caua enim eorum vlcera explet, fluxionéſque ſiſtit. Idem cerato exceptus, quæ fiunt in teneris corporis partibus vlcera ad cicatricem perducit.

De Alabaſtrite lapide. *Cap. CLIII.*

ALABASTRITES, vocatus onyx, exuſtus & reſina aut pice exceptus, duritias diſcutit: ſtomachi dolores cum cerato leuat, & gingiuas reprimit.

De Thyite lapide. *Cap. CLIIII.*

LAPIS nomine Thyites in Æthiopia gignitur, ſubuiridis quidem & iaſpidem referens: attamen cum diluitur, lacteum reddens ſuccum. Vehementer mordet, valétque ad expurgāda quæ pupillis tenebras offundunt.

De lapide Iudaico. *Cap. CLV.*

IVDAICVS lapis in Iudæa naſcitur, glandis effigie, candidus, perquam eleganti forma, diſcurrētibus lineis æquali ſpatio inter ſe diſtantibus, & quaſi induſtria detornatis. Dilutus nullam qualitatem manifeſtam guſtui repræſentat: attamen ciceris magnitudine ſolutus ad cotem collyrij inſtar cum aquæ calidę cyathis tribus, potu vrinæ difficultati auxiliatur, & veſicæ calculos frangit.

De lapide Amianto. *Cap. CLVI.*

AMIANTVS lapis in Cypro naſcitur, ſciſſili alumini ſimilis, è quo elaborato, vtpote flexili, telas ſpectaculi gratia texunt: quæ ignibus iniectæ ardent quidē, ſed flammis inuictæ ſplendidiores exeunt.

De Sapphiro lapide. *Cap. CLVII.*

SAPPHIRVS lapis ictis à ſcorpione potu prodeſſe exiſtimatur. Bibitur & cōtra inteſtinas exulcerationes. Extuberātia in oculis, eorūq; vuas & puſtulas reprimit: ſed & ruptas eorundē membranas cogit atque glutinat.

A λευκῶσι τῶν *ἱματίων χρῶνται, μαλακῷ καὶ εὐανέτῳ ὄντι. Δοκεῖ δὲ περιεμπλάσσειν, ἁρμόζων ἐπὶ αἱμοπτοϊκῶν καὶ κοιλιακῶν, καὶ *κύστεων ἀλγήματα, σὺν ὕδατι πινόμενος· καὶ ῥοικαῖς ὁμοίως, καὶ ἐν προσθέματι. εἴς τε τὰ μαλακὰ ὀφθαλμικὰ μίγνυται· πληροῖ γὰρ κοιλώματα, καὶ ῥεύματα B ἵστησι. σὺν δὲ κηρωτῇ ἀναληφθεὶς, τὰ τρυφερὰ τῶν ἑλκῶν ἀπουλοῖ. V. ἀθονίων.

Περὶ Ἀλαβαστρίτου λίθου. Κεφ. ρνγ'.

ΛΙΘΟΣ Ἀλαβαστρίτης ὁ καλούμενος ὄνυξ, ἀναληφθεὶς κεκαυμένος ῥητίνῃ ἢ πίσσῃ, διαφορεῖ σκληρίας· στομάχου δὲ ἀλγήματα μετὰ κηρωτῆς παρηγορεῖ· στέλ- C λει δὲ καὶ οὖλα.

Περὶ Θυΐτου λίθου. Κεφ. ρνδ'.

ΛΙΘΟΣ ὁ καλούμενος Θυΐτης, γεννᾶται μὲν ἐν τῇ Αἰθιοπίᾳ, ἔστι δὲ ὑπόχλωρος, ἰασπίζων· ἐν δὲ τῷ διίεσθαι γαλακτώδης φαινόμενος, ἀναδάκνων σφοδρῶς. Δύναμιν δὲ ἔχει ἀποκαθαρτικὴν τῶν ταῖς D κόραις ἐπισκοτούντων.

Περὶ Ἰουδαϊκοῦ λίθου. Κεφ. ρνε'.

Ο ΔΕ Ἰουδαϊκὸς λίθος γεννᾶται μὲν ἐν τῇ Ἰουδαίᾳ, τῷ σχήματι βαλανοειδὴς, λευκὸς, εὔρυθμος ἱκανῶς, ἔχων καὶ γραμμὰς παραλλήλους, ὡς ἀπὸ τόρνου· ἀνιέμενος δ' ἐστὶν ἄποιος ἐν τῇ γεύσει. δύ- E ναται δὲ ἐρεβινθιαῖον μέγεθος, διεθὲν ὡς κολλύριον ἐπ' ἀκόνης σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ καὶ ποθὲν, δυσουρίαις βοηθεῖν, καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν.

Περὶ Ἀμιάντου λίθου. Κεφ. ρνϛ'.

ΛΙΘΟΣ Ἀμίαντος γεννᾶται μὲν ἐν Κύπρῳ, στυπτηρίᾳ σχιστῇ ἐοικώς. ὃν "ἐργα- F ζόμενοι ὑφάσματα ποιοῦσιν ἐξ αὐτοῦ ὄντος ἱμαντώδους πρὸς θέαν· ἃ βληθέντα εἰς πῦρ, φλογοῦνται μὲν, λαμπρότερα δὲ ἐξέρχονται, μὴ κατακαιόμενα. Lacuna legit ex vet.cod. ἐργαζόμεναι αἱ Αἰθιοπίδες

Περὶ Σαπφείρου λίθου. Κεφ. ρνζ'.

ΛΙΘΟΣ Σάπφειρος δοκεῖ ὠφελεῖν σκορπιοπλήκτους πινόμενος· πίνεται δὲ G καὶ πρὸς τὰς ἐντὸς ἑλκώσεις· καὶ "πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπεροχὰς, καὶ σταφυλώματα, καὶ φλυκταίνας στέλλει, καὶ τὰς ῥήξεις τῶν ὑμένων συνάγει. Istud πρὸς redūdare videtur.

Περὶ Μεμφίτου λίθου. Κεφ. ρνη'. A

Λίθος Μεμφίτης εὑρίσκεται ἐν Αἰγύπτῳ κατὰ Μέμφιν, ἔχων ψηφίδων μέγεθος, λιπαρὸς καὶ ποικίλος. τοῦτον ἱστορεῖται καταχρισθεὶς λεῖος ἐπὶ τῶν μελλόντων τέμνεσθαι ἢ καίεσθαι τόπων, ἀναισθησίαν ἀκίνδυνον ἐπιφέρειν.

Περὶ Σεληνίτου λίθου. Κεφ. ρνθ'. B

Λίθος Σεληνίτης, ὃν τινες ἀφροσέληνον ἐκάλεσαν, διὰ τὸ εὑρίσκεσθαι αὐτὸν νυκτὸς μεστὸν ἐν τῇ τῆς σελήνης παραυξήσει. γεννᾶται δὲ ἐν Ἀραβίᾳ, λευκός, διαυγής, κοῦφος. τοῦτον ὑποξύσαντες, διδόασι πόμα ἐπιληπτικοῖς. καὶ ἀντὶ φυλακτηρίου δὲ περιάμματι C αὐτῷ αἱ γυναῖκες χρῶνται. δοκεῖ δὲ καὶ δένδρεσι προσδεθεὶς, καρπογόνος εἶναι.

Περὶ Ἰάσπιδος λίθου. Κεφ. ρξ'.

Λίθος Ἴασπις, ὁ μέν τις ἐστὶ σμαραγδίζων· ὁ δέ, κρυσταλλώδης, ἐοικὼς φλέγματι· ὁ δέ, ἀερίζων· ὁ δέ, καπνίας, ὡσ- D περεὶ κεκαπνισμένος· ὁ δέ τις καὶ διαφύσεις ἔχων διαλεύκους καὶ ἀποστιλβούσας, Ἀσύριος καλούμενος· ὁ δέ τις τερεβινθίζων λέγεται, καλλαΐνῳ χρώματι παρόμοιος. λέγονται δὲ πάντες εἶναι φυλακτήρια περίαπτα καὶ ὠκυτόκια, μηρῷ περιαπτόμενα.

Lacuna legit in vet. cod. ἄσριος.

Περὶ Ἀετίτου λίθου. Κεφ. ρξα'. E

Hoc caput de Aëtite in codicibus quibusdam desideratur.

Ἀετίτης λίθος, ὁ ἐν τῷ κινεῖσθαι ἦχον ἀποτελῶν, ὡς ἑτέρου ἐγκύμων λίθου ὑπάρχων, κατόχιον ἐμβρύων ἐστίν, ὅταν ὀλισθηραὶ ὦσιν αἱ μῆτραι, περιαπτόμενος ἀριστερῷ βραχίονι· ἐν δὲ τῷ καιρῷ τῆς ἀποτέξεως, ἄρας ἐκ τοῦ βραχίονος, περίαπτε τῷ μηρῷ, καὶ ἐκτὸς ὠδίνων τέξεται. ἔστι F δὲ κλεπτέλεγχος, εἰ ἐπιθείη τις εἰς τὸν προσφερόμενον ἄρτον· ὁ γὰρ κλέψας οὐκ ἂν δυνηθείη καταπιεῖν τὰ μασηθέντα. φασὶ δὲ ὅτι καὶ συνεψόμενος ὁ ἀετίτης τοῖς ἐδέσμασι, κλεπτέλεγχος γίνεται· οὐ γὰρ δυνήσεται ὁ κλέψας καταπιεῖν τὰ συνεψόμενα αὐτῷ. λειωθεὶς δὲ καὶ ἀναλαμβανόμενος κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου G ἢ γλευκίνου ἢ τινὸς ἑτέρου τῶν θερμαινόντων, ὀνίνησι μεγάλως ἐπιληπτικούς.

De lapide Memphite. Cap. CLVIII.

Lapis Memphites in Ægypto iuxta Memphin inuenitur, calculorum magnitudine, pinguis & versicolor. Hoc tradunt trito & illito partes quæ vrendæ secandæve sunt citra periculũ, ita obstupescere vt non sentiant cruciatum.

De lapide Selenite. Cap. CLIX.

Lapis Selenites, quem aliqui Aphroselenon appellarũt, quod noctu plenus luna crescente reperiatur: nascitur in Arabia, cãdidus, translucens & leuis. Huius ramenta comitialibus in potu exhibentur. Eum etiam mulieres sibi pro amuleto alligant. Sed & eodem adalligato, arbores frugiferæ reddi creduntur.

De Iaspide. Cap. CLX.

Ex Iaspidum generibus quædam smaragdum imitatur, alia crystallum, pituitæ similis: alia non dissimilis aëri, ob id aërizusa vocatur: alia veluti fumo infecta, quæ capnias ex argumẽto appellatur: quędam lineis albis & resplendentibus præcingitur, Assyrios nuncupata: alia denique terebinthizusa dicitur, colore callaida gemmam imitata. Omnes pro amuletis gestari, ac femoribus adalligatæ partum accelerare traduntur.

De Aëtite lapide. Cap. CLXI.

Aetites lapis, alio dum quatitur intra se ac velut in vtero sonante prægnans, grauidis, quibus lubricæ & parũ tenaces sunt vuluæ, partus continet, sinistro earum brachio adalligat⁹: sed cùm parturiũt, è brachio remoueatur, ac femori alligetur, vt citra dolores pariant. Furem quoque deprehendit, si quis in pane conditum offerat: fur enim commanducata deuorare minimè poterit. Quin & si cum eduliis coquatur, furem prodere & coarguere dicitur: quippe fur quæ cum eo decocta fuerint haudquaquam glutire poterit. Porrò tritus & cerato exceptus cyprino, gleucinóve aut alio quopiam excalfaciente, comitiales magnificè iuuat.

De lapide Ophite. Cap. CLXII.

IN hoc lapidum genere quidam est ponderosus ac niger: alter cinereo colore spectatur, punctis distinctus: tertius lineis quibusdā candidis intercinctus est. Omnes alligati, morsis à serpente & caput dolentibus opitulantur. Priuatim verò qui lineas habet, lethargo & capitis dolorib⁹ auxiliari perhibetur.

De Spongiarum lapidibus. Cap. CLXIII.

LAPIDES qui in Spongiis inueniuntur, in vino poti, calculos vesicæ rumpunt.

De Lithocolla. Cap. CLXIIII.

LITHOCOLLA, seu glutinum quo lapides ferruminantur, mistura est marmoris aut lapidis Parij & taurini glutinis. Potest candente specillo admota incommodos oculis pilos replicare.

De Ostracite lapide. Cap. CLXV.

OSTRACITES testæ similitudinem habet, crustosus & in laminas fissilis, quo mulieres ad pilos amouēdos pro pumice vtuntur. Menses drachmæ pōdere potus ex vino sistit: quòd si ad dies quatuor à menstrua purgatione drachmarum duarum pondere bibatur, fœminis præstat ne concipiant. Cum melle autem impositus, mammarū inflammationes lenit, & nomas cohibet.

Illenigandā causa

De Smyride. Cap. CLXVI.

SMYRIS lapis est, quo annularij sculptores gemmas expurgāt, ad septica & caustica medicamenta vtilis. Prodest & humore nimio flaccescentibus gingiuis, dentifriciisque commendatur.

De Arena. Cap. CLXVII.

ARENA litoralis sole feruefacta, hydropicorū corpora resiccat, si capitetenus ea vndiq; obruātur. Torretur & ad aridos fotus, pro milio aut sale.

De Cote. Cap. CLXVIII.

E COTE Naxia quod exacuendo ferro deteritur, illitum alopecias ad pilū reducit: virginúmq; mammas cohibet, nec increscere patitur: potū verò ex aceto, lienem absumit, & comitialibus prodest.

A Περὶ Ὀφίτου λίθου. Κεφ. ρξβ'.

ΛΙΘΟΣ ὀφίτης· ὁ μὲν τίς ἐστι βαρὺς καὶ μέλας· ὁ δὲ, σποδοειδὴς τὴν χρόαν καὶ κατεστιγμένος· ὁ δὲ, τις γραμμὰς ἔχων λευκάς. Πάντες δ' εὐεργετοῦσι περιαπτόμενοι ἐπὶ ὀφιοδήκτων καὶ κεφαλαλγούντων. ὁ δὲ τὰς γραμμὰς ἔχων, ἰδίως ἱστόρηται
B ληθάργῳ καὶ κεφαλαλγίαις βοηθεῖν.

Val. Cordus hāc grauitatem non ad pondus, sed ad odorē refert.

Περὶ τῶν ἐν τοῖς Σπόγγοις λίθων. Κεφ. ρξγ'.

ΛΙΘΟΙ οἱ ἐν τοῖς Σπόγγοις εὑρισκόμενοι, σὺν οἴνῳ ποθέντες, τοὺς ἐν κύστει λίθους θρύπτουσιν.

Περὶ Λιθοκόλλης. Κεφ. ρξδ'.

C Η ΔΕ Λιθοκόλλα, μίγμα οὖσα μαρμάρου ἢ λίθου Παρίου καὶ ταυροκόλλης, δύναται διὰ μηλωτίδος πεπυρωμένης τρίχας ἀνακολλᾶν τὰς ἐν ὀφθαλμοῖς.

Περὶ Ὀστρακίτου λίθου. Κεφ. ρξε'.

ΛΙΘΟΣ Ὀστρακίτης ὅμοιός ἐστιν ὀστράκῳ πλακώδης καὶ εὔσχιστος, ᾧ χρῶνται
D ἀντὶ κισσήρεως πρὸς τριχῶν ἄρσιν αἱ γυναῖκες. ἵστησι δὲ καὶ καταμήνια, πινόμενος σὺν οἴνῳ < α'. πλῆθος. δυοῖν δὲ < βάρος ἐάν πίνῃ τις ἐφ' ἡμέρας δ'. μετὰ τὴν ἄφεδρον, ἀσυλλήψιον ποιεῖ. σὺν μέλιτι δὲ ἐπιτιθέμενος, φλεγμαίνοντας μαστοὺς πραΰ-
E νει, καὶ νομὰς ἵστησι.

Περὶ Σμύριδος. Κεφ. ρξς'.

ΣΜΥΡΙΣ λίθος ἐστὶν, ᾗ τὰς ψήφους οἱ δακτυλογλύφοι σμήχουσι, χρησίμη εἰς σηπτικὰ καὶ καυστικά· καὶ πρὸς οὔλων πλάδον καὶ ὀδόντων σμῆξιν.

Περὶ Ἄμμου. Κεφ. ρξζ'.

F ΑΜΜΟΣ ἡ παρὰ τοῖς αἰγιαλοῖς πυρωθεῖσα ὑπὸ τοῦ ἡλίου, ἐξικμάζει τὰ ὑδρωπικὰ σώματα περιχωννύμενα δίχα κεφαλῆς. φώγνυται δὲ καὶ εἰς τὰς ξηρὰς πυρίας ἀντὶ κέγχρου ἢ ἁλῶν.

Περὶ Ἀκόνης. Κεφ. ρξη'.

G ΑΚΟΝΗΣ Ναξίας τὸ ἀπότριμμα τοῦ πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου ἐγχριόμενον, ἀλωπεκίας τριχοῖ· καὶ μαστοὺς παρθένων κωλύει αὔξεσθαι· ποθὲν δὲ μετ' ὄξους, σπλῆνα τήκει, καὶ ἐπιληπτικοὺς ὠφελεῖ.

Lego αὐξεσθαι aut αὐξάνεσθαι

Περὶ Λίθου γεώδους. Κεφ. ρξθʹ. A

ΛΙΘΟΣ γεώδης στύφει, ξηραίνει, ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα τοῖς ὀφθαλμοῖς. καταχρισθεῖσα δὲ μεθ' ὕδατος, μαστῶν καὶ ὄρχεων παύει φλεγμονάς.

Περὶ Γῆς. Κεφ. ροʹ.

ΓΗ πᾶσα ἡ πίπτουσα εἰς ἰατρικὴν χρῆσιν, τὴν μὲν ἀνωτάτω δύναμιν ἔχει B ψύχουσαν καὶ παρεμπλάττουσαν· κατ' εἶδος δὲ διαφέρει, ἄλλης εἰς ἄλλα μετά τινος σκευασίας χρησιμευούσης.

Περὶ Ἐρετριάδος γῆς. Κεφ. ροαʹ.

ΤΗΣ Ἐρετριάδος γῆς, ἡ μέν ἐστι λευκὴ ἐπιτεταμένως, ἡ δὲ, σποδοειδής. ἀρίστη δὲ ὑπάρχει ἡ τῇ χρόᾳ σποδίζουσα καὶ μαλακὴ C ἄγαν, πρός τε χαλκώματα ἑλκυσθεῖσα γραμμὴν ἰώδη ἀποφερομένη. πλύνεται δὲ ὡς ψιμμύθιον, ἢ οὕτω· λεάνας αὐτῆς ὅσον ἂν θέλῃς, "κατ' ἰδίαν τε καὶ σὺν ὕδατι ἔασον καταστῆναι· εἶτα τὸ μὲν ὑγρὸν ἐλαφρῶς ἀπήθησον· τὴν δὲ γῆν ἐν ἡλίῳ ξηράνας, πάλιν τρίβε ἐπὶ ἡμέρας ἐπιδοὺς D ὕδωρ, ἑσπέρας δὲ ἐάσας ὑποστῆναι, περὶ τὸν ὄρθρον ἀπήθησον, καὶ λεάνας ἐν ἡλίῳ τροχίσκους ἀνάπλασσε ὡς δυνατόν. ἐὰν δὲ καὶ ὠπτημένης χρεία ὑπάρχῃ, λαβὼν ἐρεβινθιαῖα μεγέθη τῆς γῆς, δὸς εἰς ἀγγεῖον κεραμεοῦν κατατετρημένον· πωμάσας τε τὸ στόμα ἐπιμελῶς, ἔνθες εἰς διαπύρους ἄνθρακας, E καὶ ῥίπιζε συνεχῶς. ὅτε δὲ ἡ σποδὸς αἰθαλωθῇ, ἤτοι ἀερώδης μᾶλλον γένηται τὴν χρόαν, ἀνελόμενος ἀπόθου. Δύναμιν δὲ ἔχει στυπτικὴν καὶ ψυκτικὴν, κούφως μαλακτικὴν καὶ κοιλωμάτων πληρωτικὴν, καὶ ἐναίμων κολλητικήν.

Marc. καθ' ἡμέραν legendum suspicatur.

Περὶ Σαμίας γῆς. Κεφ. ροβʹ. F

ΤΗΣ δὲ Σαμίας γῆς τὴν ἄγαν λευκὴν προκριτέον, καὶ ἐλαφράν. καὶ ἐν τῷ θιγεῖν τῆς γλώσσης, κρατουμένην ἐχεκόλλως, ἔτι τε εὔχυλον καὶ μαλακὴν καὶ εὔθρυπτον, οἵα ἐστὶν ἥν τινες κολλύριον "καλοῦσιν. ἔστι γὰρ αὐτῆς δύο εἴδη· τό, τε προειρημένον· καὶ ὁ καλούμενος ἀστήρ, πλακώδης ὢν καὶ πυκνός, ὡς G ἀκόνη. Δύναμιν δὲ ἔχει καὶ καῦσιν καὶ πλύσιν ἐμφερῆ Ἐρετριάδι. ἵστησι δὲ αἵματος ἀναγωγήν, καὶ ῥοικαῖς δίδοται γυναιξὶ

Al. ἐκάλεσαν. καὶ &c.

De Geode lapide. Cap. CLXIX.

GEODES lapis astringit, siccat, caligines oculorum discutit. Illitus autem ex aqua, mammarum testiúmque inflammationes sedat.

De Terra. Cap. CLXX.

TERRA omnis quæ quidem in medicum vsum venit, primam ac summam vim habet refrigerādi, meatúsque obducēdi: sed specie distat, quum alia hoc vel illo modo præparata ad alia sit vtilis.

De Terra Eretria. Cap. CLXXI.

IN genere terræ Eretriadis quædam vehementer alba est, altera cinerea. Optima verò habetur ad cinereū colorē vergēs & per quàm mollis, quæq; si per æramenta tractim ducatur, "violacei coloris lineamenta reddit. Lauatur vt cerussa, aut hunc in modum: Ex ea quantum libuerit terito seorsum & aqua perfusa: ac vbi pessum ierit, humorem leuiter excolato: terram verò siccatam solibus iterum terito per diem, adiecta aqua, vt vespere considat. Matutinò deinde colo excernito, demúmque ad solem tritam digerito in pastillos, quatenus fieri poterit. Quòd si assata tostáve desideretur, terræ frusta ciceris magnitudine in fictile perforatum cōiicito, oréque vasis diligenter obturato candentibus indito carbonibus, ac follibus continenter perflato. Vbi verò cinis in fauillas sese cōuerterit, aut aëreum potiùs colorē contraxerit, exemptum reponito. Vim habet astringentem & refrigeratoriam, ac leuiter emollientem: caua itidem explet, vulneráque cruenta glutinat.

vel æruginei

De Terra Samia. Cap. CLXXII.

SAMIÆ præfertur perquàm candida, leuis & tangenti linguę glutinis modo adhærescens, insupérque succosa, mollis & friabilis: cuiusmodi est quam aliqui collyrium vocant. Duo enim sunt eius genera, nempe quod modò dictum est, & quod Aster appellatur, glebosum ac densū cotis in modū. Vritur ac lauatur vt Eretria, vimq; cōsimilē habet: sanguinis excreationes sistit: & fœminis fluxione vuluæ laborantibus

cum flore syluestris Punicæ datur. Testium quoq; & mammarum inflammationes illita ex rosaceo & aqua sedat: compescit & sudores: denique contra venenatorum morsus & exitialia medicamenta pota è vino auxiliatur.

De lapide Samio. Cap. CLXXIII.

SAMIVS lapis in Samia terra inuenitur, quo aurifices ad poliendum illustrandúmque aurum vtuntur. Præstat in eo genere candidus & grauis. Vis ei astrictoria & refrigerans: quapropter prodest stomachicis potus: est & vis instrumenta sensuũ adiuuandi & ab iniuria vindicandi: ad oculorum fluxiones & vlcera cũ lacte efficax est. Creditur & adalligatus accelerare partus & conceptus fœminarum custodire.

De terra Chia. Cap. CLXXIIII.

CHIA eligi debet candicans, ad cinereum vergẽs colorem & Samiæ similis. Est autem glebosa ac tenuis, sed fictitiis formis differens. Effectus eius qui Samię: faciei ac totius corporis cutem erugat, illustrat & amabili coloris bonitate cõmendat: ac in balneis ꝓ nitro deterget.

De terra Selinusia. Cap. CLXXV.

IDEM effectus & Selinusiæ: maximè verò laudatur quę vehemẽter resplẽdet, candidáq; est ac friabilis, quæq; facillimè in succum resoluitur, cùm primùm humore diluitur.

De Cimolia terra. Cap. CLXXVI.

CIMOLIA quædam est candida, altera ad purpureũ inclinans, quæ innatam quandam habet pinguitudinẽ & tactu frigida sentitur: & hęc quidem optima existimatur. Vtraque aceto diluta, parotidas & alia tubercula discutit: ambustis igni confestim inuncta, partes affectas à pustularum eruptione vindicat: testium duritias ac totius corporis inflammationes cohibet, insupérque aduersatur erysipelatis. In summa multiplici sunt in vsu, dummodò genuinæ ac minimè spuriæ assumantur.

De terra Pnigitide. C.CLXXVII.

QVÆ Pnigitis dicitur, colore quodámodo Eretrię similis est.

A σὺν βαλανείῳ. καὶ ὄρχεων καὶ μαστῶν φλεγμονὰς καταχριομένη σὺν ὕδατι καὶ ῥοδίνῳ παύει· στέλλει καὶ ἱδρῶτας· καὶ θηριοδήκτοις καὶ θανασίμοις ἀρήγει, "σὺν ὕδατι πινομένη.

Mate. ὀφθαλμῶν legendum suspicatur.

Lacuna ex vet. cod. legit, σὺν οἴνῳ.

Περὶ τοῦ ἐν Σάμῳ λίθου. Κεφ. ρογ΄.

ΕΥΡΙΣΚΕΤΑΙ δέ τις ἐν τῇ Σαμίᾳ γῇ λίθος, ᾧ οἱ χρυσοχόοι χρῶνται πρὸς B τὸ λεαίνειν καὶ στιλβοῦν. διαφέρει δὲ ὁ λευκὸς καὶ στιβαρός." Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν· ὠφελῶν στομαχικοὺς ἐν πότῳ· *ἀμβλυωτικὴν τοῖς αἰσθητηρίοις ποιεῖ πρὸς τὰ ἐν ὀφθαλμοῖς ῥεύματα καὶ ἕλκη, σὺν γάλακτι· δοκεῖ δὲ καὶ ὠκυτόκιος εἶναι καὶ φυλακτήριος τῶν συλλήψεων, πε-C ριαπτόμενος.

V. cod. addit, καὶ αἱμοστάτην καλοῦσι, χρήσιμος ἐπιληπτικοῖς καὶ αἱμορραγίαις γυναικείαις.

Περὶ Χίας γῆς. Κεφ. ροδ΄.

ΚΑΙ τῆς Χίας δὲ τὴν λευκὴν καὶ ὑπότεφρον παραληπτέον, καὶ τῇ Σαμίᾳ ἐμφερῆ· πλακώδης δέ ἐστι "καὶ λευκή, τοῖς δὲ σχήμασι τῆς ἀναπλάσεως διαφέρουσα. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ Σαμίᾳ· D ῥυτιδωτικὸν δὲ καὶ στίλβον, ἔτι δὲ εὔχρουν τὸ πρόσωπον καὶ ὅλον τὸ σῶμα ἀποτελεῖ· σμήχει δὲ ἀντὶ νίτρου ἐν βαλανείῳ.

Orib. καὶ λεπτή.

Περὶ Σελινουσίας. Κεφ. ροε΄.

ΤΑ αὐτὰ δὲ ποιεῖ καὶ ἡ Σελινουσία γῆ· ἀρίστη δέ ἐστιν ἡ ἄγαν στίλβουσα καὶ λευκή, εὔθρυπτος δὲ καὶ ταχέως ἄγαν χυλουμένη, E ἐπειδὰν ὑγρὸν λάβῃ.

Περὶ Κιμωλίας γῆς. Κεφ. ροϛ΄.

ΤΗΣ δὲ Κιμωλίας ἡ μέν ἐστι λευκή· ἡ δὲ ἐμπόρφυρος, καὶ λιπαρίαν τινὰ ἔμφυτον κεκτημένη, πρός τε τὴν ἁφὴν καταψυχρός, ἣν ἀρίστην ἡγητέον. ἑκάτεραι δὲ διαφοροῦσιν ὄξει διειμέναι, παρωτίδας καὶ F τὰ ἄλλα φύματα· πρός τε τὰ πυρίκαυστα ποιοῦσιν ἐπιχριόμεναι παραχρῆμα, ὥστε ἀφλυκταίνωτα διατηρεῖν τὰ πεπονθότα μέρη· καταστέλλουσι δὲ καὶ διδύμων σκληρίας καὶ φλεγμονὰς τὰς περὶ ὅλον τὸ σῶμα· ἔτι δὲ ἐρυσιπέλασιν ἐνίστανται. καθόλου δὲ πολύχρηστοι εἰσὶν αἱ γνήσιοι, ἐὰν μὴ G νόθοι παραλαμβάνωνται.

Περὶ Πνιγίτιδος γῆς. Κεφ. ροζ΄.

Η ΔΕ λεγομένη Πνιγῖτις γῆ, τῇ χρόᾳ ἔοικέ πως τῇ Ἐρετριάδι. ἔστι δὲ ἀδρό-

Orib. εὔθρυβης, aut quid simile.

βῶλος, ψυκτικὴ πρὸς τὰς τῶν χειρῶν ἐπιβολάς· τῇ τε γλώσσῃ μάλιστα κολλᾶται ὡς ἐκκρεμᾶσθαι. Δύναμιν δὲ τὴν αὐτὴν ἔχει τῇ Κιμωλίᾳ, βραχὺ τῆς εὐτονίας ὑστεροῦσα. Ταύτην ἀντὶ Ἐρετριάδος τινὲς πιπράσκουσι.

Περὶ Ὀστράκων. Κεφ. ροη'.

ΟΣΤΡΑΚΑ δὲ τὰ ἐξ ἰπνῶν, τὰ λίαν κατοπτὰ, ἐσχαρωτικά· ὅθεν ἐπιχριόμενα σὺν ὄξει, κνησμοὺς καὶ ἐξανθήματα ἰᾶται, καὶ ποδαγρικοὺς ὠφελεῖ· ἀναληφθέντα τε κηρωτῇ, χοιράδας διαφορεῖ.

Περὶ τῆς ἐκ τῶν Καμίνων γῆς. Κεφ. ροθ'.

ΚΑΙ ἡ ἐκ τῶν Καμίνων δὲ κατοπτὸς γῆ πυῤῥὰ, τὴν αὐτὴν ἔχει δύναμιν τοῖς ὀστράκοις.

Περὶ Μηλίας γῆς. Κεφ. ρπ'.

Η ΔΕ Μηλία τὴν μὲν χρόαν καὶ αὐτὴ ἐστὶν ἐμφερὴς Ἐρετριάδι τῇ σποδοειδεῖ· ἐντραχὺς δὲ καὶ περιτριβομένη τοῖς δακτύλοις, ὡς ψιθυρισμόν τινα ἀποτελεῖν ὅμοιον ψωχομένῃ κισσήρει. τῇ δὲ δυνάμει στυπτηριώδης ἐστὶν, ἐκλελυμένως δὲ μᾶλλον· ὃ δὴ καὶ διὰ τῆς γεύσεως ἐμφαίνει. ἀναξηραίνει δὲ καὶ τὴν γλῶσσαν πραέως· δύναται δὲ καθαρὸν καὶ εὔχροον ἀποτελεῖν τὸ σῶμα· λεπτύνει δὲ καὶ τὰς τρίχας, καὶ ἀλφοὺς καὶ λέπρας σμήχει. χρησιμεύει δὲ καὶ ζωγράφοις πρὸς πλείονα παραμονὴν χρωμάτων, καὶ χλωραῖς δυνάμεσι συνεργεῖ. * καὶ ταύτης δὲ κοινῶς ἁπάσης γῆς τὴν ἄλιθον ἐκλεκτέον καὶ πρόσφατον, μαλακήν τε καὶ εὔθρυπτον, καὶ εὔλυτον ὅταν ὑγροῦ θίγῃ.

Περὶ Ἀμπελίτιδος γῆς. Κεφ. ρπα'.

ΤΗΣ δὲ Ἀμπελίτιδος γῆς, ἣν τινες φαρμακῖτιν καλοῦσι, γεννωμένης ἐν Σελευκείᾳ τῇ κατὰ Συρίαν, τὴν μέλαιναν προκριτέον, ἢ πευκίνοις ἄνθραξι μικροῖς ἐμφερής ἐστιν, ὑποσχιδακώδης τε καὶ στίλβουσα ἴσως· ἔτι δὲ οὐδὲ βραδέως τηκομένη, ὅταν λεανθείσῃ ἐπιχυθῇ ποσῶς ἔλαιον. τὴν δὲ λευκὴν καὶ τεφρώδη καὶ ἄτηκτον, φαύλην ἡγητέον. Δύναμιν δὲ ἔχει διαχυτικὴν καὶ ψυκτικήν· παραλαμβάνεται δὲ καὶ πρὸς καλλιβλέφαρα καὶ βαφὰς τριχῶν· καὶ τὰς τῶν ἀμπέλων χρίσεις πρὸς τὴν τῆς ἐκβλα-

Fortè, ἢ

Orib. μακροῖς: quem secutus est Ruellius.

Al. κολλωμένη, nescio quo sensu.

V. & Orib. λεπτὴν

V. add. ἄδηκτον

A Crassiusculis autem prędita est glebis: si quis manus admoueat, refrigerans: tactúque linguæ vsqueadeò glutinosa vt pensilis hæreat. Huic effectus idem qui Cimoliæ, paulò tamen infirmior. Hanc porrò aliqui pro Eretriade vendunt.

De Testis. Cap. CLXXVIII.

B FORNACEÆ Testæ vehementer tostæ, crustas vlceribus obducunt: quare prurigini & papularum eruptionibus ex aceto inunctæ medétur. Podagricis etiam prosunt: & cerato exceptæ, strumas discutiunt.

De terra Fornacum. CCLXXIX.

FORNACVM terra, quæ quidē retosta rufescit, eiusdem est cum
C testis effectus.

De terra Melia. Cap. CLXXX.

IMITATVR & Melia colore cineream Eretriam: aspera autem animaduertitur, etiam dum digitis atteritur, adeò vt stridorē quēdam edat, qualē pumex quando deradi-
D tur. Vim habet aluminosam, sed remissiusculā: id quod & gustu depreheditur. Leniter quoque linguā tactu siccat. Corpus mundū ac probè coloratū reddit: pilos extenuat: vitiligines ac lepras exterit. Pictoribus etiam vsum præbet, vt colores diutiùs perennent. Emplastris viri-
E dibus efficaciter inseritur. Porrò tū ex hac terra, tum & alia omni in vniuersum eligi debet minimè lapidosa, recēs, mollis ac friabilis, queq; cùm humorem attigerit, facilè resoluatur.

De terra Ampelitide. Cap. CLXXXI.

F EX Ampelitide terra, quā Pharmacitin quidam nominant, queq; in Seleucia Syriæ nascitur, laudatur imprimis nigra & paruos piceę carbones referens, assulosè quodammodo scissilis & æqualiter splendens: quæque insuper trita citò liquescit, si olei aliquantulum affundatur. Vitiosa censetur candida, ci-
G nerea, queq; minimè liquescit. Vim dissipandi & refrigerādi habet: calliblepharis additur, atq; inficiendis capillis idonea est. Est & eius vsus ad illinendas vites sub germi-

nationis tempus: quippe quæ innascentes vermiculos enecet.

De Fuligine pictoria.
Cap. CLXXXII.

FVLIGO qua pictores vtuntur, è vitrariis officinis peti solet: siquidem huic palma tribuitur. Vis ei septica & acris. Fracta itidē cum cerato rosaceo ad cicatricem perducit.

De Atramento librario.
Cap. CLXXXIII.

ATRAMENTVM quo scribimus, è fuligine ex tædis collecta conficitur. In singulas gummi vncias, ternæ fuliginis vnciæ adiiciuntur. Fit etiā è resinæ fuligine & illa pictoria modò dicta. Sumi autē oportet fuliginis huius minam vnam, gummi sesquilibram, taurini glutinis & atramenti sutorij, singulorum sescunciam. Septicis medicamētis conueniēter additur. Ambustis etiam confert ex aqua paulò crassius inunctum, tandiúq; dimissum, dum cicatrix obducatur: sanatis siquidē vlceribus, sponte sua excidit. Cæterùm, amicissime Aree, tum pro operis modo quē destinaueramus, tum pro materiæ auxiliorúmque medicinalium copia quam colligere licuit, hucusque dicta sufficiant.

Libri quinti & vltimi de materia medica finis.

A στήσεως ὥραν, κλείνουσα τοὺς ἐπιγινομένους σκώληκας.

Περὶ Ἀσβόλης. Κεφ. ρπβ'.

ΑΣΒΟΛΗ ᾗ οἱ ζωγράφοι χρῶνται, λαμβάνεται μὲν ἐκ τῶν ὑελουργῶν. (Fortè, ὑελουργείων) διαφέρει γὰρ αὕτη. Δύναμιν δ' ἔχει σηπτικήν, δριμεῖαν. (V. add. καυστικήν, id est, vrentem.) ἀπουλοῖ δὲ καὶ κατάγματα σὺν ῥοδίνῃ κηρωτῇ. B

Περὶ Μέλανος. Κεφ. ρπγ'.

ΜΕΛΑΝ ᾧ γράφομεν, συνάγεται (Fortè σκευάζεται vt inferiùs.) ἐκ λιγνύος συναγομένης ἐκ δᾳδίων. μίγνυνται δὲ πρὸς τὴν οὐγκ. α. τοῦ κόμμεως, οὐγγίαι τρεῖς λιγνύος. σκευάζεται δὲ καὶ ἀπὸ τῆς ῥητίνης λιγνύος καὶ τῆς προειρημένης ζωγραφικῆς ἀσβόλης. δεῖ C δὲ τῆς μὲν ἀσβόλης μνᾶν μίαν λαμβάνειν, (G. alter, λαβεῖν, sed leui discrimine.) κόμμεως δὲ λίτραν μίαν ἥμισυ, ταυροκόλλης οὐγγίαν μίαν ἥμισυ, χαλκάνθου οὐγγίαν μίαν ἥμισυ. Ἁρμόζει δὲ εἴς τε σηπτὰς, καὶ πυρίκαυστα, καταχριόμενον μεθ' ὕδατος παχὺ, καὶ ἐώμενον ἄχρις ἀπουλώσεως· ἀποπίπτει γὰρ αὐτόματον, ὑ- D γιασθέντων τῶν ἑλκῶν. Καὶ δὴ σχεδὸν ἐφ' ὅσον ἱκανὸν ἐδόξαμεν, ὦ φίλτατε Ἄρειε, ἅμα εἰπεῖν καὶ μήκους συντάξεως, καὶ πλήθους ὕλης τε καὶ βοηθημάτων ταμιεύσασθαι, ἅλις ἔχει.

Τέλος τοῦ τῶν ὑλικῶν βιβλίου πέμπτου καὶ τελευταίου.





PEDACII DIOSCORIDIS ANAZARBÆI liber de Venenis, eorundémq; præcautione ac medicatione.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ περὶ Δηλητηρίων φαρμάκων, καὶ τῆς αὐτῶν προφυλακῆς καὶ θεραπείας.

IANO ANTONIO SARACENO LVGDVNÆO INTERPRETE.

Præfatio.

A *QVONIAM superioribus libris, amicissime Aree, tradidimus de aromatibus, oleis, vnguentis, arboribus ac earundem fructibus & lacrymis, insuperque de animalibus, melle, lacte, seuo, frugibus, oleribus, radicibus, herbis, succis: denique de vinorum metallicorúmque generibus: in hoc operis totius vltimo de viribus noxiorum medicamentorum, ac eorũ quæ contrà prodesse possunt, differemus. Vitata igitur sermonis prolixitate opus institutum prosequamur.* Huiusmodi autem de venenis tractatus cùm bipartitò distributus sit: in eam videlicet partem quæ docet quo pacto ipsa præcauere debeamus, ita vt planè non assumantur, aut, siquando per imprudentiam data fuerint, vt tum quoque innoxia irritáque fiant: & alteram, quæ rationem tradit iis succurrendi qui iam noxam sensere: priore loco disseram de præcauendi modo: quem quidem esse difficilem prisci existimauerunt, quòd clanculum venena exhibentes, iis vtuntur artibus, quibus etiã peritissimum quenque fallant. Siquidem exitialia venena permistis dulcibus amaritudine sua spoliant, & graue odoris virus mistura odoramen-

Τὸ προοίμιον.

A ἈΠΟΔΟΝΤΕΣ* ἐν τοῖς προγεγραμμένοις βιβλίοις, φίλτατε Ἀρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων καὶ τῶν ἐξ αὐτῶν καρπῶν καὶ δακρύων· ἔτι τε ζώων καὶ μέλιτος, καὶ γάλακτος καὶ B στέατος, καὶ τῶν λεγομένων σιτηρῶν καὶ λαχάνων, ἔτι τε τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν "καὶ χυλισμάτων, καὶ οἴνων καὶ μεταλλικῶν λόγον· ἐν τούτῳ, τελευταίῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας, καταλεξόμεθα περὶ τῆς τῶν ὠφελεῖν ἡμᾶς ἢ βλάπτειν δυναμένων φαρμάκων ἐνεργείας. Παραιτησάμενοι C οὖν τὴν πολυλογίαν, ἐπελευσόμεθα ἐπὶ τὸ προκείμενον.] *Μεριζομένου δὲ τοῦ τοιούτου διχῶς· εἴς τε προφυλακὴν τοῦ μηδὲ τὴν ἀρχὴν "λαμβάνειν, ἢ εἰ καί ποτε λάθοι διδόμενα, ἀνενέργητα γενέσθαι· καὶ εἰς τὸ βοηθηματικὸν τῶν πεπωκότων. πρότερον δίειμι περὶ τοῦ προφυλακτικοῦ τόπου, δυσχερεστάτου ὄντος, ὡς οἱ ἀρχαῖοι ὑπέλαβον, διὰ τὸ τοὺς λάθρα διδόντας οὕτω μηχανᾶσθαι, ὡς καὶ τοὺς ἐμπειροτάτους ἐξαπατᾶν· τὰς μὲν γὰρ πικρίας ἐξαιροῦνται τῶν φθαρτικῶν φαρμάκων ταῖς μιγνυμέναις γλυκύτησι· τὰς δὲ δυσωδίας, ταῖς τῶν ἀρωμά-

Addit Lacuna. ex v. cod. καὶ σπερμάτων

Al. λαβεῖν

των καταμίξεσιν, ἢ ταῖς τῶν ὑλῶν ἐπ' ὠφελείᾳ δοκουσῶν προσφέρεσθαι, μάλιστα δ' ἐν ταῖς ἀσθενείαις, ὡς ἀψινθίῳ ἢ τραγοριγάνῳ ἢ ὑσσώπῳ, ἢ θύμβρα, θύμῳ τε καὶ ὀριγάνῳ "ἢ ἀβροτόνῳ, "ἢ ἴρεδι ἢ καστορίῳ, καὶ εἴ τι δοκεῖ κατάλληλον τοῖς* καταρχομένοις φαρμάκοις ἔχειν ποιότητα. ἐπὶ δὲ τῶν "πινομένων, ἐν "οἴνοις σκληροῖς ἢ ζωμοῖς, ἢ ἐν γλυκεῖ, ἢ ἐν μελικράτῳ, "ἢ ἐν γλεύκει, |ἢ ἐν χυλοῖς, ἢ φακῷ, ἢ ἐν ἀλφίτοις, "ἢ ἐν φαρμάκοις| ἢ ἐν ἄλλοις τισὶ τῶν προσφερομένων συναποποιοῦντες. ὅθεν τοὺς ὑποπτεύοντας δεῖ παραιτεῖσθαι τὰ κατηρτυμένα τῶν ἐδεσμάτων, καὶ πᾶσαν ἐπιτεταμένην ποιότητα γεύσεων, ὅσαι εἰσὶ διὰ τῶν γλυκέων ἢ ἁλυκῶν ἢ ὀξέων διαφυλάττεσθαι· καὶ τοὺς δεδιψηκότας ἢ πεινῶντας δι' ἐπιτάσεως μὴ ἀθρόως πίνειν ἢ ἐσθίειν, προσέχοντας τῇ ποιότητι τούτων, μάλιστα δὲ ψυχρὸν ὕδωρ προλαμβάνειν πίνοντας. ἀποπληρωθείσης γὰρ τῆς ὀρέξεως, *ἀπεπλότατοι γίνονται τὸ λοιπὸν αἱ ποιότητες· καὶ ἐπὶ μὲν τῶν "ἀσθενούντων, καλῶς παραιτούμεθα τὰς παρὰ τῶν "ἐπ' ὠφελείᾳ διδομένων φαρμάκων πόσεις, ἃς εἰσφέρουσιν οἱ κακουργοῦντες τὰ δηλητήρια· ὥς τε διὰ τοῦτο δυσεπιχειρήτους γίνεσθαι τοὺς νοσοῦντας. καὶ ἡ μὲν πρὸς τὸ μὴ εὐχερῶς ἁλίσκεσθαι πλανωμένοις ἔφοδος, αὕτη· ἑτέρα δὲ, ἣ *τις ἐστὶν αὐθεντικωτέρα. δεῖ τοὺς ὑποπτεύοντάς τι τοιοῦτον προλαμβάνειν τι, καὶ ἀδύνατα κατασκευάζειν τὰ φάρμακα. ὡς τάς τε ἰσχάδας μασσωμένους μετὰ βασιλικῶν καρύων, καὶ τὰ καλούμενα δὲ κεδρόμηλα, βουνιάδος τε σπέρματος ὁλκὴν μετ' οἴνου, ἢ καλαμίνθης "τῶν φύλλων ὁμοίως, ἢ μίλτου, τῆς καλουμένης λημνίας σφραγῖδος, τὸ αὐτὸ πλῆθος σὺν οἴνῳ· ἢ πηγάνου *φύλλα καὶ καρύων βασιλικῶν τὸ ἐντὸς, "ἢ ἁλῶν χόνδρον καὶ ἰσχάδας δύο νήστεις προσφερέσθωσαν, (καὶ ὑπ' οὐδενὸς ὅπως οὖν βλαβήσονται) φαρμάκου. καὶ ἀντίδοτοι δὲ προσλαμβανόμεναι μετ' οἴνου, τὸ αὐτὸ ποιοῦσιν· ὧν ἐστὶν ἡ διὰ τοῦ σκίγκου,

V.caret. Deest in Ald.

Corn.addit, ἐσθιομένων καὶ

Corn.legit, σιτίοις

V.caret.

V.itidem caret, & nos consultò prætermittimus.

Marc. ὑγιαινόντων legisse videtur.

Addendum fortasse δοκέντων, aut quid simile.

V. καὶ φύλλου

Lac.legit in vet. cod. καὶ ἁλῶν &c.

A torum eximunt, aut medicamentorum quæ potissimùm in minùs firma valetudine vtilitatis gratia exhiberi putantur, veluti sunt absinthiũ, tragoriganũ, hyssopus, satureia, itémque thymus, origanum, abrotonum, iris aut castoriũ, & siquid aliud malefica vi præditis medicamentis cognatam qualitatem habere videatur: B vel ea potulentis inserunt, vti vinis asperis, iusculis, passo, aquæ mulsæ, musto, aut variis succorum generibus: vel ipsi lenticulæ polentæve, aut aliis quæ edulij specie offerũtur, immiscent. Quamobrem suspiciosi curiosiùs apparata fercula vitare debent, omníque intenso sapore dulcium, salsorum C aut acidorum abstinere. Quin neque sitibundi affatim bibere, aut esurientes auidiùs deuorare debent, sed ad eorum quę edunt bibúntve, saporem qualitatémque diligenter attendere, & ante omnia potu frigidam aquam præsumere: sic enim satiato appetitu, qualitates posteà facilè deprehenduntur. D Quòd ad ægros verò spectat, honestè recusamus potiones auxilij prætextu dari solitas, quas offerunt improbi veneficiorum artifices: quò fit vt ægrotantes audentium iniuriis minùs pateant. Et hæc quidem, ne facilè incauti homines capiantur dolis veneficorum, ratio est & facultas. E Verùm altera superest expeditior, vt suspiciosi aliquid præsumát, quod venenorum vires hebetet, ac inefficaces irritásque reddat: cuiusmodi caricæ sunt cum iuglandibus nucibus manducatæ, & quæ citria mala vocantur, seminísque buniadis drachma vna cum vino: itidémque folia calaminthæ, aut rubri- F ca quæ sigillum Lemnium appellatur, pari pondere cum vino: aut rutæ folia, nucis iuglãdis nucleum, salis grumum & caricas duas ieiuni sumant, & nullo veneni genere offendentur. Quin & antidota ex vino præsumpta eundem prębent effectum: ex quorum numero sunt, quod ex scinco paratur, G

quod

quod è sãguinib' tẽperatur, & quod magni Mithridatij nomen obtinet. Quin & sæpenumerò naturali dissidio venenis aduersantur proprię ac peculiares quędã corporum constitutiones, insuperq; antecedẽtes eorundẽ dispositiones, pro varia ciborum potuúmve qualitate aut vini copia inductæ. Siquidẽ venenorum quæ insuper ingeruntur vires frangunt & exoluunt, eorúmq; in mẽbra distributionẽ impediunt, priore alimento antè infarctis præclusísq; meatibus. Verũenimuerò quandoquidẽ inter peregrinandũ incõmodi casus varij absq; vllis hominum insidiis similia frequẽter inuehunt pericula, nonnihil etiam hac de re agere necessariũ duco. Ante omnia igitur loco subdiali, quoad eius fieri poterit, coquinari, fercula struere, omniáq; cibo potuíq; necessaria apparare oportebit. Quòd si non nisi sub tecto cõmodè ista fieri possunt, tùm quoq; laquearia diligẽter obseruanda sunt. Etenim haud rarò è superioribus contignationibus mortifera decidunt animalcula, vti phalágia, quędã alia reptilia, & qui stellio appellatur. Sed & vinaria vasa diligẽter & in luce intueri oportet: nanque reptilia vini odore illiciuntur, quæ interdũ sorbendo noxium virus eructarunt, interdũ verò illapsa immersáque perierunt, & iis qui posteà vinum hauserunt exitij causam attulêre. Et hęc quidẽ de insidiis vitandis præcauendísq; hactenus dicta sint. At si qui seu vltrò, seu ex quorundã insidiis venenum hauserint, iis nulla interposita mora auxiliari oportebit. Siquidẽ dum signa, quæ singula comitari venena solent, expectãtur, immedicabile fit malum, aut certè diutius neglectũ, ægrè deinde medicamentis cedit. Quare si qui venenũ se hausisse pro cõperto habent, aut qui iis adfuere quod qualéve sit haustũ genus veneni fateantur, protinus accedẽtes ad cõgrua particulariáve remedia, illos facilè naturali pristinæq; cõstitutioni propriæ restituemus. Neque verò iis assẽtimur, qui prorsus auxilia in huiusmodi casu frustra adhiberi cõtendũt. Quo enim modo morbi, quorũ causę cæcæ latentésq; corporibus insidẽt, medicaminibus curabũtur, quæ verò forinsecus incurrunt venena medicinã haudquaquam admittẽt?

A καὶ ἡ διὰ τῶν αἱμάτων, καὶ ἡ καλουμένη Μεγάλη Μιθριδάτειος. ἀντιπάσχουσι δὲ πολλάκις καὶ ἰδιοσυγκρίσεις σωμάτων αἱ πρὸς διαθέσεις (Lego cũ Corn. καὶ προδιαθέσεις vti inferiùs.) διά τινας βρωμάτων ἢ πομάτων ποιότητας, ἢ πλῆθος οἴνου· ἐκλύουσι γὰρ τὰς ἐνεργείας τῶν ἐπεισαγομένων φαρμάκων, καὶ τὴν ἀνάδοσιν αὐτῶν κωλύουσι, προπεπληρωμένων τῶν πόρων ὑπὸ τῆς προληφθείσης τρο- B φῆς. (Ald. δίχα) Ἐπειδὴ δὲ καὶ προϊσάσης τινὲς ἐν ἀποδημίᾳ δίχα ἐπιβουλῆς πολλάκις ἐπιφέρουσιν ὁμοίοις κινδύνοις, ἀναγκαῖον ὑπολαμβάνω καὶ περὶ τούτου διαλαβεῖν. δεήσει γὰρ πρῶτον μὲν ἐν ὑπαίθροις τόποις, ὡς δυνατὸν, ἕψειν, καὶ ἑτοιμάζειν τὰ πρὸς βρῶσιν καὶ πόσιν. C δεύτερον δὲ ἐν ὑποστέγῳ ἐπιμελῶς καταμανθάνειν τὰς ὀροφάς. πολλάκις γὰρ ἐκ τῶν ὑπερκειμένων πίπτει ζωΰφια φθοροποιὰ, ὥσπερ φαλάγγια, καὶ ἄλλα τινὰ ἑρπετὰ, καὶ ὁ καλούμενος ἀσκαλαβώτης. καὶ τοῖς περιέχουσι δὲ τὸν οἶνον (Ald. ἐπιχέουσι) ἀγγείοις ἐναργῶς καὶ ἐπιμελῶς προσέχειν D δεῖ. ἕλκεται γὰρ ὑπὸ τῆς ὀσμῆς τοῦ οἴνου τὰ ἑρπετὰ, ἅτινα πολλάκις πίοντα μὲν τὸν ἰὸν ἀπήμεσαν, ἐμπεσόντα δὲ ἀπέθανον, καὶ ἀπωλείας ἐγένοντο αἴτια τοῖς προσενεγκαμένοις. Περὶ μὲν οὖν ἀνεπιβούλευτον εἶναι καὶ προφυλάσσεσθαι, ταῦτα εἰρήσθω. εἰ δέ τινες ἑκουσίᾳ γνώμῃ προσενέγκοιντο, ἢ καὶ ἐξ E ἐπιβουλῆς τινων λάβοιεν, δεήσει μηδὲν ἀναβαλλομένους βοηθεῖν· εἰς γὰρ τὸ περιμένειν τὰ παρακολουθοῦντα σημεῖα ἑκάστου τῶν φαρμάκων ἀνίατόν ἐστι, δυσβοηθήτων αὐτῶν διὰ τὸν χρόνον γινομένων. ἐὰν μὲν οὖν οἱ προσενεγκάμενοι νοήσαντες ὁμολογήσωσι τὸ ποθὲν φάρμακον, ἤ τινες τῶν F συμπαρόντων, παραχρῆμα ἐλθόντες ἐπὶ τὰ κατάλληλα βοηθήματα, ῥᾳδίως εἰς τὸ κατὰ φύσιν καὶ οἰκεῖον ἄξομεν αὐτοὺς κατάστημα. οὐ συγκατατιθέμεθα τοῖς λέγουσιν ἐπ' αὐτῶν κατὰ πᾶν ἀθεράπευτα γίνεσθαι. πῶς γὰρ τὰ μὲν ἐπὶ τῶν ἐν τῷ σώματι γινομένων αἰτίων πάθη θεραπείαν (Ald. αὐτῶν) G ἐπιδέχεται, τὰ δὲ ὑπὸ τῶν ἔξωθεν συμπίπτοντα φαρμάκων ἀθεράπευτα τυγχάνει;

ὁμοίως γὰρ πάντα τὰ περὶ τὰ σώματα γινόμενα νοσήματα, θεραπευτά τε καὶ ἀθεράπευτα, κατὰ τὰ μεγέθη τῶν προσπιπτόντων αἰτίων, καὶ τὰς προδιαθέσεις καὶ ἐπιτηδειότητας τοῦ σώματος. εἰ δέ τινες αὐτῶν καταληφθέντες ἀφωνίαις ἢ παροινίαις, ἢ ἄλλως, διὰ τὸ μὴ βούλεσθαι ἐξάγειν αὐτὸ, ἀσυμφανὲς ἡμῖν ποιοῦσι τὸ φάρμακον, τότε δεῖ ταχέως ἔρχεσθαι ἐπὶ τὰ κοινῶς ἁρμόττοντα τοῖς οἱονδήποτε φάρμακον πεπωκόσιν. οὐδὲν δὲ δύναται κοινότερον βοήθημα δίδοσθαι, τοῦ τὸ δοθὲν φάρμακον, πρὸ τοῦ ἐνισχῦσαι, διὰ τοῦ ἔγγιστα τόπου κενοῦν εἰς τὸ ἐκτός. ὅθεν μηδὲν ἀναβαλλομένοις προσφέρειν δεῖ ἔλαιον θερμὸν, ἢ κατ' ἰδίαν ἢ μεθ' ὕδατος ἐμεῖν ἀναγκάζοντας. εἰ δὲ μὴ παρείη ἔλαιον, τῶν τόπων μὴ φερόντων, βούτυρον ἀντὶ ἐλαίου μεθ' ὕδατος θερμοῦ ἢ μαλάχης, ἢ λινοσπέρμου ἢ τράγου, ἢ τήλεως, ἢ κνίδης σπέρματος, ἢ χόνδρου ἀφεψήματος. οὐ μόνον γὰρ κενώσει ταῦτα διὰ τῶν ἐμέτων, εὐχερῶς χαλασμὸν καὶ ναυτίαν ἐμποιοῦντα, ἀλλὰ καὶ ὑπάξει τὴν κοιλίαν, καὶ ἐνδυναμωθήσεται τῇ *κενώσει τῶν σωμάτων, ἀμβλυντικὰ τῶν δριμυτήτων καθεστῶτα. *ἔστι δὲ ἐναργῶς καταλαβέσθαι τοῦτο. εἰ γάρ τις ἑλκῶσαι προαιρούμενος δι' ἀσβέστου, ἢ τρυγὸς ἢ κανθαρίδος ἢ τινος ἄλλου δριμέως, τὸ σῶμα, ὑπαλείψει ἐλαίῳ, οὐχὶ ἑλκωθήσεται ὑπὸ τούτου. καὶ μὴν οὐδ' εἴ τις στύψαι θελήσει ἰσχυρῶς ἢ ψῦξαι, δύναται περιλιπαίνων. ἔτι μὴν ἔμετος οὐ μόνον καθ' ὃ κενοῖ καὶ ἀποκρίνει τὸ βλάπτον ὠφελεῖ, ἀλλ' ὅτι καὶ δείκνυσι τὸ ληφθὲν ἐνίοτε, ἔκ τε ὀσμῆς ἢ θρόμβων ἢ χρώματός τινος· ἐκ μὲν γὰρ τῆς ὀσμῆς καὶ πικρίας, μηκώνειον· ἐκ δὲ χρόας, ψιμμύθιον ἢ γύψον· ἀπὸ δὲ θρόμβου, "γάλα ἢ τὸ νεοσφαγὲς αἷμα· ἀπὸ δὲ βρώμου καὶ ποιότητος τοῦ ἐμουμένου καὶ ὀσμῆς, λαγωὸν θαλάττιον καὶ φρῦνον, ὡς διὰ *τοῦτο ἢ δι' ἕτερον ἔνια δύνασθαι βοηθεῖν, ἐρχομένοις ἐπὶ τὰ ἑκάστῳ ἁρμόζοντα βοηθήματα· παραμίγνυται δὲ τῷ ἐλαίῳ μαλά-

Lego cũ Corn. παρανοίαις

Marc. γάλα ἐμπιτυασθὲν ἢ ταύρειον αἷμα νεοσφαγές.

A Æquè porrò omnes corporibus adueniẽtes morbi pro causarũ ingruẽtium magnitudine, próque antecedentibus affectionibus ac opportunitate habilitatéque corporum, vel medicabiles sunt, vel nullis cedunt medicamentis. Quòd siqui forsan vocis interceptione aut mẽtis alienatione correpti, aut alioqui nolentes B veneno liberari, nullam nobis eius cognitionem præbeát: tum protinus ad ea transeundum remedia, quę in communi epotis quibuscunque venenis opitulari consueuerũt. Atqui nullum communius auxiliũ dari potest, quàm quod exhibitum venenum per proximum locum foràs pellit, priusquàm ipsum inualeC scat. Quamobrẽ illis sine mora calidum oleũ seu per se, seu ex aqua, vt ad vomitũ cogãtur, exhiberi cõuenit. Quòd si oleũ natura loci negat, eius vice butyrũ cũ aqua calida, aut maluæ vel seminis lini vel tragi, vel fœnigræci, vel seminis vrticæ, vel alicæ decocto potest administrari. Hæc enim nõ modò venenũ vomiD tionib⁹ exigẽt, facilè laxãdo subuertẽdóq; vẽtriculũ, sed & aluum subducẽt, ac simul etiã qua pollẽt acrimoniã obtundẽdi hebetandíq; facultate impediẽt, quominus corpora vlcerẽtur. Verùm inter cætera illud maximè pręstabit oleũ: id quod euidenter huiuscemodi argumẽto deprehẽdere licet. Nã si quispiã viE ua calce, aut fæce aut cãtharidibus, aut alio quouis acri corpus exulcerare cõtẽdat, id si priùs oleo leniter oblitũ fuerit, in eo vlc⁹ excitare minimè poterit. Imò verò si quis corpus pręunctũ vehemẽter astringere aut perfrigerare velit, frustrà id tentauerit. Vomitus præterea nõ ob id F modò, quòd vacuet ac virus noxiũ excernat, iuuamẽtum affert, sed & quòd haustũ venenũ nonnunquam odore, concretis grumis aut colore prodat: quippe cùm odore & amaritudine papaueris succũ, colore cerussam gypsúmve, grumis lac aut sanguinẽ animalis recens iugulati ostendat. Sic quoq; ex eorũ quę voG mitu regesta fuerint qualitate virosóq; odore, leporis marini & rubetę veneficia facile est deprehẽdere: vt hac potiùs ratione, q̃ alia quapiã opẽ quibusdã afferre nobis in prõptu sit, ad ꝓpria & singulis venenis accõmodata auxilia trãseuntibus. Oleo porrò mal-

uę decoctum admiſcetur, aut adeps anſerinus, aut pinguium carnium iuſculum, aut lixiuium lignorum cinere factum. Vbi verò vomitus diligenter citatus fuerit, nequid prorſum in ventre relinquatur, quæ inteſtinis hæſerint reliquias acriore clyſtere deuocabimus. Faciũt & ad hoc ipſum nitrum tritum cum hydromelite aſſumptum & vina vetera liberalius epota: iura itidem gallinacea, præpingues piſces, carnes vetuſtę ſimul & pingues, & quę eduliorum genera adipe aut recenti butyro conſtant. Dum nanque aluum ſubducunt, vti diximus, ac ventriculum reſoluunt, proniorem ipſum ad vomitionem reddunt: hebetát & venenorum acrimoniam, atque meatus obſtruentia, celerem venenorum penetrationem inhibent. Quinetiam medicamenta dátur quæ communi dote proſunt: è quorum numero eſt rubrica Lemnia, agaricum, abrotonum, irio, radix eryngij, ſemen paſtinacæ & calaminthæ, Celtica nardus, caſtorium, ferulæ virentis medulla, flos nerij quod rhododendron appellatur, marrubij ſuccus, laſerpitium ipſiúſve ſuccus & radix quam etiã magudarin appellarunt, ſagapenum, opopanax, peucedani ſuccus, ariſtolochia longa, ſylueſtris rutæ ſemen & ceſtri, quæ & betonica vocatur, folia. Singula porrò cum vino drachmæ vnius pondere exhibentur. Eundem effectum præbét polij decoctum, ſcordium, & lęuis liquidæque picis linctus. Egregiè quoque opitulantur antidota, quorum præparationes in operis calce deſcribemus. Communis itaque ratio præſtandi auxilij ſic ſe habet. Cæterùm & ab iis quæ comitantur conſequuntúrve ſymptomatis communia remedia ſumptitari poſſunt. Ferè enim plurimorum venenorum facultates in conſimiles affectus corpus tandem deducunt: quam ob cauſam pleriſque communia conducunt auxilia. Varia ſiquidem ſunt venenorum genera: communes tamen nec ita multi qui ex iis oriuntur affectus. Enimuero fieri nequit, vt ad vnũ veneni genus omnia ſympto-

A χῆς ἀφέψημα, ἢ *γλαύκιον, ἢ στέαρ χήνειον, ἢ ζωμὸς ἐκ λιπαρῶν κρεῶν γεγονώς, ἢ κονία ἢ διὰ τῶν ξύλων. κομισαμένοις δὲ διὰ τῶν ἐμέτων ἐπιμελῶς, διὰ τὸ μηδὲν ὑπολείπεσθαι ἐν τῇ κοιλίᾳ, τὸ ἐμμεῖναν ἐν τοῖς ἐντέροις κλύσματι δριμεῖ κομιούμεθα. ποιεῖ δὲ καὶ τὸ νίτρον λεῖον σὺν B ὑδρομέλιτι παραλαμβανόμενον, καὶ οἶνοι πολλοὶ καὶ παλαιοὶ πινόμενοι, καὶ ζωμοὶ ὀρνίθειοι, ἰχθύες λιπαροί, καὶ κρέα παλαιὰ καὶ λιπαρά, καὶ τὰ διὰ στέατος ἢ βουτύρου προσφάτου. ὑπάγοντα γὰρ τὴν κοιλίαν, ὥσπερ εἶπον, καὶ τὸν στόμαχον ἀναλύοντα, ἑτοιμότερον κατασκευάζει τὸν C στόμαχον πρὸς τὸν ἔμετον· ἀμβλύνει τε τὴν δριμύτητα αὐτῶν, καὶ παρεμπλασσόμενα τοῖς πόροις κωλύει τὴν ὀξύτητα τῆς τῶν φαρμάκων δυνάμεως*. δίδονται δὲ καὶ ἁρμόζοντα φάρμακα κοινῶς· ὧν ἐστι ἡ Λημνία μίλτος, ἀγαρικόν, ἀβρότονον, ἐρύσιμον, ἠρυγγίου ῥίζα, D σταφυλίνου σπέρμα καὶ καλαμίνθης, νάρδος Κελτική, καστόριον, νάρθηκος χλωροῦ ἐντεριώνη, νηρίου τοῦ καλουμένου ῥοδοδένδρου ἄνθος, πρασίου χυλός, σίλφιον, ἢ ὁ ὀπὸς αὐτοῦ, *σαγάπηνον, ὀποπάναξ, πευκεδάνου ὀπός, καὶ ἡ ῥίζα ἣν καὶ μαγύδαριν ἐκάλεσαν, ἀριστολοχία E μακρά, πηγάνου ἀγρίου σπέρμα, κέστρου τῆς βετονίκης καλουμένης τὰ φύλλα. δίδοται δὲ ἕκαστον σὺν οἴνῳ < α. πλῆθος. ποιεῖ καὶ πολίου ἀφέψημα, καὶ *σέσελι καὶ πίσσα ὑγρὰ λεία ἐκλειχομένη. γενναιότατα δὲ βοηθοῦσι καὶ ἀντίδοτοι, ὧν τὰς σκευασίας ἐπὶ τέλει ἀναγράψομεν. F κοινῶς δὲ βοηθητέον τούτοις τὸν τρόπον τοῦτον· δυνατὸν δὲ καὶ ἐκ τῶν παρακολουθούντων συμπτωμάτων, κοινὰ καὶ τὰ βοηθήματα συμπαραλαμβάνεσθαι. σχεδὸν γὰρ αἱ τῶν πλείστων φαρμάκων δυνάμεις, εἰς ὁμοιοτρόπους περιάγουσι τὸ σῶμα διαθέσεις. δι' ἣν αἰτίαν ἐπὶ τῶν πλείστων τὰ κοινὰ βοηθήματα ὀνίνει. G ποικίλα μὲν γὰρ τὰ δηλητήρια φάρμακα, κοιναὶ δὲ καὶ οὐ πολλαὶ αἱ ἐξ αὐτῶν γινόμεναι διαθέσεις. ἀδύνατον γὰρ πάντα τὰ συμπτω-

V. caret.

ματα ἑνὶ παρακολουθῆσαι. εἰ γὰρ ἦν τοῦτο, περιεῖλκεν ἂν ἡ καθ' ἕκαστον φαρμακον διὰ τῶν βοηθημάτων παράδοσις. τό, τε γὰρ ἀλγεῖν στόμαχόν τε λίαν καὶ ἔντερα, ἧπάρ τε καὶ νεφροὺς καὶ κύστιν· ἔτι δὲ λύζειν καὶ δάκνεσθαι καὶ τρέμειν, ἀφώνους τε εἶναι καὶ περιψύχεσθαι, σπᾶσθαί τε καὶ ἀσφυκτεῖν καὶ δυσπνοεῖν, καὶ καταφέρεσθαι καὶ σκοτοῦσθαι, καὶ πνίγεσθαι καὶ διψᾶν καὶ αἱμορραγεῖν, πυρέσσειν τε καὶ δυσουρεῖν, καὶ στροφοῦσθαι, καὶ ἐμεῖν πυκνὰ ἢ ναυτιᾶν, ἐρυθραίνεσθαί τε καὶ πελιδνοῦσθαι καὶ ὠχριᾶν, παραφρονεῖν τε καὶ ῥέγχειν καὶ παρίεσθαι, καὶ ἄλλα πολλὰ ποιεῖν καὶ διάφορα πάσχειν· ἑνὶ μόνῳ δύσκολον εὑρεῖν παρεπόμενον, ἕκαστον μερισθὲν εἰς καθολικὰς διαθέσεις ὀλίγων ἀριθμὸν καὶ κοινῶν ἀποδεῖξαι συμπτωμάτων. διὸ καὶ ἐφ' ἑνὸς ἑκάστου τῶν προειρημένων οὐκ εὔκολον τὸ εἰλημμένον φάρμακον γινώσκεσθαι. τὸ γὰρ δάκνεσθαι τὸ στόμα καὶ γλῶτταν, καὶ φλεγμαίνειν στόμαχον καὶ κοιλίαν τε καὶ νεφροὺς καὶ κύστιν, δυσουρεῖν τε ἰσχυρῶς, ἐνίοτε δὲ καὶ αἷμα δι' οὔρων πορεύεσθαι, καὶ λακιδοῦσθαι, διαπεπρῆσθαί τε πολλὰ μέρη τοῦ σώματος, οὐ μόνον ἐπὶ κανθαρίδων εὑρίσκεται παρακολουθοῦντα, ἀλλὰ καὶ ἐπὶ πιτυοκάμπης καὶ βουπρήστεως καὶ σαλαμάνδρας. τό, τε καταφέρεσθαι ἢ καροῦσθαι ἢ ῥέγχειν, πελιοῦσθαί τε καὶ νωθριᾶν καὶ καταψύχεσθαι καὶ ναρκᾶν, ἀναισθητεῖν τε καὶ ὀδαξᾶσθαι τὸ ὅλον σῶμα, οὐ μόνον τοῖς τὸ μηκώνιον πεπωκόσι παρέπεται, ἀλλὰ καὶ τοῖς μανδραγόραν ἢ κώνειον προσενεγκαμένοις. τό, τε παραφρονεῖν οὐ μόνον ὑοσκύαμος ἐπιφέρει, ἀλλὰ καὶ τὰ τοξικὰ καλούμενα τῶν φαρμάκων· καὶ ἀκόνιτον δέ, καὶ τὸ μέλι τὸ γινόμενον ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ. καὶ τὸ πνίγεσθαι δὲ οὐ μόνον ἐπὶ μυκήτων ὁρᾶται, ἀλλὰ καὶ ἐπὶ αἵματος ταυρείου, καὶ γάλακτος καὶ ἀκονίτου καὶ γύψου καὶ ψιμμυθίου, καὶ καθόλου δύσκολον ἐστὶ θέλης εὑρεῖν σημεῖον δυνάμενόν τι τῶν πινομένων ἢ γευομένων φαρμάκων δηλῶσαι·

Videtur legisse Ruell. κοιλίαν

Ald. ὀλίγας

